

PLATONIS
QUAE EXSTANT

OPERA.

ACCEDUNT

PLATONIS QUAE FERUNTUR SCRIPTA.

AD

OPTIMORUM LIBRORUM FIDEM

RECENSUIT

IN LINGUAM LATINAM CONVERTIT

ANNOTATIONIBUS EXPLANAVIT INDICESQUE

RERUM AC VERBORUM ACCURATISSIMOS

ADIECIT

FRIDERICUS ASTIUS.

TOMUS PRIMUS

PROTAGORAM, PHAEDRUM, GORGIAM ET PHAEDONEM CONTINENS.

LIPSIAE MDCCCXIX.

IN LIBRARIA WEIDMANNIA.

PRAEFATIO.

AEQUO ATQUE ERUDITO LECTORI.

Quam abhinc annis quinque indicavimus Platonis ſcriptorum editionem, hanc emittere nunc inſtituimus. Quo eam conſilio ſusceperimus quum ipſa libri ſpecies ſatis declaret, non eſt quod uberius explicemus.

Textum qui dicitur ita conſtituimus, ut libri principis, Aldini, prae ceteris rationem haberemus eumque, quantum per ſenſum linguaeve rationes liceret, ſequeremur. Plura, quae noſtris novata temporibus ſunt in vocum ſcribendarum ratione, v. c. ἀνήρ, ἄνθρωπος, τἄλλα, antiquanda, nonnulla contra e libris veteribus revocanda eſſe putavimus, de quibus, ne quid temere feciſſe videamur, breviter moneamus. Princeps exemplum, Aldinum, ſequuti in terminationibus infinitivi ῆν et ᾶν notam vocalis ι omiſimus, scribentes non ſolum ζῆν, πεινῆν alia, verum etiam γελᾶν, δρᾶν, ἐᾶν alia; de quo iam veteres Grammatici praeceperunt, vid. *Phavorin.* in ἀπαρέμφ. *Etymol. M.* v. βοᾷ p. 231, 47. v. ᾔδει p. 419, 52. Add. *Pier-*

son. ad Moer. p. 300. *Villoison.* ad Long. p. 12. et *Fischer.* ad Weller. I. p. 118. Prae ceteris vero conferenda sunt quae cl. *Wolfius* ea qua pollet et doctrina et sagacitate de hoc loco disputavit in *Analect. litter.* II. p. 419 sq. Quamquam exstiterunt etiam viri docti qui hanc scribendi rationem reprobarent, in eis, qui nunc sunt Grammaticorum facile princeps, *Hermannus* ad Viger. annot. 168. Ut meum qualecumque iudicium hac de causa interponam, Attici quum in aliis tum in hoc mihi videntur Doricam linguam sequuti esse; quemadmodum enim more Dorico $\bar{\alpha}$ et $\bar{\varepsilon}$ in $\tilde{\eta}$ contraxerunt (v. *Etymol.* M. p. 413, 10. *Fischer.* ad Weller. I. p. 127. *Macrobius* de differ. et societ. graeci latinique verbi T. II. p. 325. Bip. „unde quae in ην desinunt, ut ζῆν, πεινῆν, διψῆν, non sunt communia, sed Dorica; eiusdem sunt dialecti et quae in $\bar{\varepsilon}\nu$ exeunt"), ita etiam ad illas infinitivi contractiones Doricam eos huius modi terminationem $\bar{\varepsilon}\nu$ *) accommodasse existimamus. — Item Aldinum sequuti exemplum scripsimus φῃς sine nota vocalis ι, idque praeterea in dictionibus quae vocantur encliticis retulimus (vid. *Matthiae* Grammat. graec. p. 277. Quamquam *Etymol.* M. p. 791, 50. et Censor in Ephemer. litter. Jenens. 1818. N. 147. p. 261. refragantur). Unum hoc novavimus, quod in vocibus com-

*) Quae sine dubio pristina fuit infinitivi graeci terminatio respondens illa quidem vernaculae. Sic λέγεν (quod *Eustathius* ad Il. α. p. 54, 33. affert) est germanissimum *legen*, et similiter lingua vernacula contractam infinitivi formam *ahn* (Graecorum ᾶν) habuit, v. c. *gahn*, *stahn* alia.

pofitis, eis folis exceptis in quibus aliae afperiores litterae funt vicinae, ut συζητεῖν, συζῆν, συζυγία, conftanter ξ pro σ pofuimus; quis enim ferat in uno et eodem orationis circuitu σύμφης et ξυμφῆσαι (ut Soph. 236. D.), modo συνεῖναι modo ξυνεῖναι, συνουσία et ξυνουσία, et quae alia funt generis eiusdem? Cf. quae ad Legg. p. 8. monuimus. Accedit quod pofterioris fcriptores aetatis Platonis locos citantes paffim ξ fervarunt, ubi Platonis exemplaria σ exhibent fine ulla controverfia a librariis illatum.

Nihil fere fponte noftra mutavimus, nifi fi fermonis leges correctionem efflagitabant certaque fefe offerebat emendatio, velut Phaedr. p. 162. ἅττ' ἂν μοι εἴποις pro ἅττ' ἂν ἐμοὶ εἴπῃς: qualia etiam libris omnibus adverfantibus emendare quis graece fciens dubitaverit? Similiter Phaedr. p. 165. loco admodum depravato levi admiffa mutatione, quod fenfus aperte poftulat, repofuimus: ἅτ' ἐκ διανοίας πορίζομένων ἀνθρωπίνῃ οἰήσει νοῦ τε καὶ ἱστορίας, pro eo quod volgo legitur: νοήσει νοῦν τε καὶ ἱστορίαν. P. 230. ex emendatione noftra facere non potuimus quin fcriberemus: ὅτῳ τί ποιεῖν — ἢ ὅ τι παθεῖν ὑπὸ τοῦ, pro: τὸ τί ποιεῖν — ἢ τὸ τί παθεῖν: de quo copiofius expofuimus in annotationibus translationi vernaculae fubiectis p. 246. Eadem pagina emendavimus τέχνην λόγων pro τέχνῃ λόγους, quod quin omnes ftatim amplexuri fint non dubitamus. Plura forfitan *Bekkero*, viro eruditiffimo, praeeunte mutaffemus, fi apparatu critico, quem a viro illo ornatiffimo exfpectamus, nobis iam uti licuiffet.

Textui fubiecimus notas criticas triplicis generis.

Primum enim, ubi ſcripturam a libris veteribus vel pleriſque exemplaribus abhorrentem recepimus, vulgarem indicavimus lectionem nota γρ. (γράφεται); deinde, ubi libri vel veteres vel recentiores aliam exhibent ſcripturam, et eam quidem vel probabilem vel noſtram bonitate fere aequiparantem, id ſignificavimus nota ἄλλ. (ἄλλοι); denique probabiles locorum corruptorum emendationes vel ab aliis excogitatas vel a nobismet ipſis inventas indicavimus nota ἴσ. (ἴσως); in poſteriore autem hoc genere permultae etiam reperientur coniecturae, id eſt, locorum, qui depravati mihi viſi erant, correctiones veriſimiles, quae non ſemper huc ſpectant, ut, quomodo locus corrigi vel poſſit vel etiam debeat, indicent, ſed ſaepius huc tantum, ut lectorem faciant attentum viamque ad emendationem, vere ita dictam, muniant inveniendam.

Nonnulla hic iuvat addere. Phaedr. p. 202, 12. ſine dubio ſcribendum eſt: μή τι λέγουσι pro: μή τι λέγωσι; particula enim μή eſt interrogantis. P. 248, 12. ſine ulla controverſia ſcribendum eſt: οὐκ ἐκφεύγει τῇ ἀληθείᾳ τὸ μὴ οὐκ ἐπονείδιστον εἶναι; nam linguae uſus poſtulat, ni fallor, articulum τό interpoſitum. Gorgia p. 312, 6. a fin. ſcribendum videtur ζηλωτός, et vertendum: *felix eſt iudicandus.* P. 352, 17. equidem malim ᾧ ἂν χορηγοίην pro: ᾧ χορηγοίην.

Quod ad latinam attinet interpretationem, initio *Cornarii* translationem, et eam quidem caſtigatam, adiungere conſtitueram; ſed primum ſtatim, quod in ea emendanda feci, periculum ſatis me docuit, et immenſum et moleſtum hoc fore negotium. Quocirca libentius novae interpretationis onus, id eſt, laborem

paene Herculeum, suscepi; quod quidem quo difficilius est opus, eo magis, si quid peccaverim, aequum spero lectorem mihi esse condonaturum. In hac autem translatione conficienda id potissimum contendi, ut, quae sunt interpretationis officia, et fidelem et latinam eam fingerem. Et quum persuasum mihi habuissem, rem quampiam aggredienti diligenterque conanti exsequi nec minuta esse negligenda, rectam etiam vocum scribendarum rationem quam potui accuratissime sequutus sum. Iccirco scripsi ab*it* (perf.), ab*isse*, *as*sequi, *as*sentior, *as*sidere, d*is*serere, di*s*tinguere, red*isse*, su*s*picor, su*s*tinere, ta*m*quam, u*m*quam, val*i*tudo, volgus, volt, et quae sunt alia generis eiusdem; certe ita semper scriptum volui (video enim aliquoties a*ss*idere, a*ss*equi, dis*t*inguere, etiam *ac* ante vocales itemque litteras c, h, q et x, alia, irrepsisse). Etiam plur*is*, part*is*, sapient*is* (accus.), nego*ti*, *oti* alia scripsissem, nisi volgarem scribendi rationem putassem orationem meam magis redditurum esse perspicuam. Saepius nova erant vocabula fingenda eaque vel artificiosa vel ridicula, quae et Graecis responderent et Platonis consilio convenirent, veluti verba nove et artificiose ficta *διπλασιολογία*, *γνωμολογία*, *εἰκονολογία* alia visum est reddere: *dupliciloquentia*, *sententiloquentia*, *simililoquentia* (p. 223. 227.), convenienter illis *breviloquentia*, *superbiloquentia*, et si quae alia id genus Latini frequentarunt. Eiusdem generis sunt *superrefutatio*, *subdeclaratio* pag. 222. Pariter *augeratio* p. 167. et *insanitio* p. 165. novanda erant, itemque *Avor* p. 185. lasciva fere Platonis irrisio flagitare mihi visa est. Quae forsitan obscura

videantur, velut p. 117. *ut timeant*, p. 191. *ut exsistant* (ubi *ut* est i. q. hoc posito), ea in Lexico Platonico illustrabuntur.

Ceterum Platonis dialogi hoc, quo etiam videntur conditi esse, ordine se excipient:

T. I. *Protagoras, Phaedrus, Gorgias* et *Phaedo.*
T. II. *Theaetetus, Sophista* et *Politicus.*
T. III. *Parmenides, Cratylus, Philebus* et *Convivium.*
T. IV. *Politia,* lib. I—VIII.
T. V. *Politia,* lib. IX—X. *Timaeus* et *Critias.*
T. VI. *Leges,* lib. I—VI.
T. VII. *Leges,* lib. VII—XII.

Reliquae tres partes minores complectentur dialogos eosque vel addubitatos vel suppositicios, de quibus in Commentariis accuratius exponemus.

Quod superest, Deum Optimum Maximum precamur, ut tam animi quam corporis valitudinem nobis conservet ad opus amplissimum profligandum atque absolvendum quam maxime necessariam; ipsum vero hoc opus ut quam possit maximas iuventuti studiosae litterisque praebeat utilitates, cupimus optamusque.

Scr. Landshuti, mense Maio 1819.

Fridericus Astius.

ΠΡΩΤΑΓΟΡΑΣ.

ΣΩΚΡΑΤΗΣ ΕΤΑΙΡΟΣ

ΙΠΠΟΚΡΑΤΗΣ ΠΡΩΤΑΓΟΡΑΣ
ΑΛΚΙΒΙΑΔΗΣ ΚΑΛΛΙΑΣ ΚΡΙΤΙΑΣ
ΠΡΟΔΙΚΟΣ ΙΠΠΙΑΣ

SOCRATES AMICVS

HIPPOCRATES PROTAGORAS
ALCIBIADES CALLIAS CRITIAS
PRODICVS HIPPIAS

ΕΤ. Πόθεν, ὦ Σώκρατες, φαίνει; ἢ δῆλα δὴ ὅτι ἀπὸ κυ- 309
νηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ
πρώην ἰδόντι καλὸς μὲν ἐφαίνετο ἀνὴρ ἔτι, ἀνὴρ μέντοι, ὦ
Σώκρατες, ὥς γ' ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι, καὶ πώγωνος ἤδη
ὑποπιμπλάμενος.

ΣΩ. Εἶτα τί τοῦτο; οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης
εἶ, ὃς * ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου, ἣν νῦν B
Ἀλκιβιάδης ἔχει;

ΕΤ. Τί οὖν τὰ νῦν; ἢ παρ' ἐκείνου φαίνει; καὶ πῶς
πρὸς σὲ ὁ νεανίας διάκειται;

ΣΩ. Εὖ ἔμοιγε ἔδοξεν, οὐχ ἥκιστα δὲ καὶ τῇ νῦν
ἡμέρᾳ· καὶ γὰρ πολλὰ ὑπὲρ ἐμοῦ εἶπε, βοηθῶν ἐμοί· καὶ
οὖν καὶ ἄρτι ἀπ' ἐκείνου ἔρχομαι· ἄτοπον μέντοι τί σοι ἐθέλω
εἰπεῖν· παρόντος γὰρ ἐκείνου οὔτε προςεῖχον τὸν νοῦν ἐπε-
λανθανόμην τε αὐτοῦ θαμά.

ΕΤ. Καὶ τί ἂν γεγονὸς εἴη περὶ σὲ * κἀκεῖνον τοσοῦ- C
τον πρᾶγμα; οὐ γὰρ δήπου τινὶ καλλίονι ἐνέτυχες ἄλλῳ ἔν
γε τῇδε τῇ πόλει.

ΣΩ. Καὶ πολύ γε.

ΕΤ. Τί φῄς; ἀστῷ ἢ ξένῳ;

ΣΩ. Ξένῳ.

ΕΤ. Ποδαπῷ;

ΣΩ. Ἀβδηρίτῃ.

ΕΤ. Καὶ οὕτω καλός τις ὁ ξένος ἔδοξέ σοι εἶναι, ὥςτε
τοῦ Κλεινίου υἱέος καλλίων σοι φανῆναι;

ΣΩ. Πῶς δ' οὐ μέλλει, ὦ μακάριε, τὸ σοφώτερον κάλ-
λιον φαίνεσθαι;

ΕΤ. Ἀλλ' ἦ σοφῷ τινὶ ἡμῖν, ὦ Σώκρατες, ἐντυχὼν
πάρει;

Am. Unde tandem, Socrate, venis? an id quidem dubium non est quin a venanda Alcibiadis pulchritudine? sane quidem etiam nuper quum eum viderem pulcher mihi visus est vir adhuc, vir tamen, Socrate, quod inter nos dictum sit, et barba iam oppletus.

So. Quid tum? nonne tu Homeri es adstipulator, qui venustissimam dixit pubertatem eius esse cui barba suboriretur, qua quidem aetate nunc est Alcibiades?

Am. Quid igitur nunc? num ab illo venis? et quomodo in te iuvenis est animatus?

So. Bene mihi visus est, et maxime quidem hoc die; etenim multa pro me dixit, opem mihi ferens; atque modo etiam ab eo venio; mirabile tamen quid tibi sum dicturus: ipso enim praesente nec animum adverti et oblitus sum eius saepenumero.

Am. Et quid tandem accidere potuerit tibi et illi, quod tanti esset momenti? non enim credibile est, te alium quemquam pulchriorem in hac quidem urbe offendisse.

So. Quin etiam multo pulchriorem.

Am. Quid ais? civemne an peregrinum?

So. Peregrinum.

Am. Cuiatem?

So. Abderitem.

Am. Et tam pulcher tibi visus est peregrinus, ut eum Cliniae filio pulchriorem existimares?

So. Quidni, o egregie, sapientius pulchrius reperiatur?

Am. An sapientem aliquem nobis, Socrate, offendisti indeque venis?

ΣΩ. Καὶ σοφωτάτῳ μὲν οὖν δήπου τῶν γε νῦν, εἴ D
σοι δοκεῖ σοφώτατος εἶναι Πρωταγόρας.

ΕΤ. Ὦ τί λέγεις! Πρωταγόρας ἐπιδεδήμηκεν;

ΣΩ. Τρίτην γε ἤδη ἡμέραν.

ΕΤ. Καὶ ἄρτι ἄρα ἐκείνῳ ξυγγεγονὼς ἥκεις;

ΣΩ. Πάνυ γε * πολλὰ καὶ εἰπὼν καὶ ἀκούσας. 310

ΕΤ. Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν, εἰ μή σέ
τι κωλύει, καθιζόμενος ἐνταυθοῖ, ἐξαναστήσας τὸν παῖδα
τουτονί;

ΣΩ. Πάνυ μὲν οὖν· καὶ χάριν γε εἴσομαι, ἐὰν
ἀκούητε.

ΕΤ. Καὶ μὴν καὶ ἡμεῖς σοί, ἐὰν λέγῃς.

ΣΩ. Διπλῆ ἂν εἴη ἡ χάρις. ἀλλ' οὖν ἀκούετε.

Τῆς παρελθούσης νυκτὸς ταυτησί, ἔτι βαθέος ὄρθρου,
Ἱπποκράτης ὁ Ἀπολλοδώρου υἱός, Φάσωνος δὲ ἀδελφός,
τὴν θύραν τῇ βακτηρίᾳ πάνυ * σφόδρα ἔκρουε, καὶ ἐπειδὴ B
αὐτῷ ἀνέῳξέ τις, εὐθὺς εἴσω ᾔει ἐπειγόμενος, καὶ τῇ φωνῇ
μέγα λέγων Ὦ Σώκρατες, ἔφη, ἐγρήγορας ἢ καθεύδεις;
Καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ Ἱπποκράτης, ἔφην, οὗ-
τος, μή τι νεώτερον ἀγγέλλεις; Οὐδέν γ', ἦ δ' ὅς, εἰ μὴ
ἀγαθά γε. Εὖ ἂν λέγοις, ἦν δ' ἐγώ· ἔστι δὲ τί, καὶ τοῦ
ἕνεκα τηνικάδε ἀφίκου; Πρωταγόρας, ἔφη, ἥκει, στὰς παρ'
ἐμοί. Πρώην, ἔφην ἐγώ, σὺ δὲ ἄρτι πέπυσαι; Νὴ τοὺς
θεούς, ἔφη, ἑσπέρας γε. Καὶ * ἅμα ἐπιψηλαφήσας τοῦ C
σκίμποδος ἐκαθέζετο παρὰ τοὺς πόδας μου, καὶ εἶπεν Ἑσπέ-
ρας δῆτα, μάλα γε ὀψὲ ἀφικόμενος ἐξ Οἰνόης. ὁ γάρ τοι
παῖς με ὁ Σάτυρος ἀπέδρα· καὶ δῆτα μέλλων σοι φράζειν ὅτι
διωξοίμην αὐτόν, ὑπό τινος ἄλλου ἐπελαθόμην. ἐπειδὴ δὲ
ἦλθον καὶ δεδειπνηκότες ἦμεν καὶ ἐμέλλομεν ἀναπαύεσθαι,
τότε μοι ἀδελφὸς λέγει ὅτι ἥκει Πρωταγόρας. καὶ ἔτι μὲν
ἐνεχείρησα εὐθὺς παρὰ σὲ ἰέναι, ἔπειτά μοι λίαν πόῤῥω ἔδοξε
τῶν νυκ*τῶν εἶναι. ἐπειδὴ δὲ τάχιστά με ἐκ τοῦ κόπου ὁ D
ὕπνος ἀνῆκεν, εὐθὺς ἀναστὰς οὕτω δεῦρο ἐπορευόμην.
Καὶ ἐγὼ γιγνώσκων αὐτοῦ τὴν ἀνδρείαν καὶ τὴν πτόησιν Τί

So. Et quidem ſapientiſſimum, ut opinor, eorum qui nunc ſunt, ſi tibi videtur ſapientiſſimus eſſe Protagoras.

Am. O quid dicis! Protagoras advenit?

So. Nudius iam tertius.

Am. Et modo cum ipſo colloquutus ades?

So. Sane permultis et dictis et auditis.

Am. Quin refers nobis ſermonem, niſi quid te impedit, ſurgere iubens huncce puerum et hic aſſideus?

So. Sane quidem faciam; quin etiam gratiam vobis habebo, ſi audiatis.

Am. Quin immo nos tibi, ſi dicas.

So. Duplex erit gratia; audite dum.

Praeterita hac nocte, primo adhuc diluculo, Hippocrates, Apollodori filius et Phaſonis frater, ianuam baculo admodum vehementer pulſavit, et quum ipſi aliquis eam aperuiſſet, ſtatim intro ivit feſtinans et clare vociferans Socrate, inquit, vigilas an dormis? Tum ego, cognita ipſius voce, Hippocrate, inquam, num quidnam novi affers? Nihil vero, inquit, niſi ipſa bona. Bene narras, inquam; quid vero eſt et cur tam mane veniſti? Protagoras, inquit, venit, ad me aſſiſtens. Nudius tertius; tu vero modo comperiſti? Et mehercule, inquit, ipſa veſpera. Simul ſcabellum prehendens aſſedit ad pedes meos et Utique veſpere, inquit, quum admodum ſero Oenoe adveniſſem. etenim ſervus meus Satyrus aufugerat, et quum iam in eo eſſem, ut tibi indicarem me illum perſequuturum eſſe, per aliud quid oblitus ſum. quum vero rediſſem et poſt coenam quieti nos dare vellemus, tum mihi frater dixit veniſſe Protagoram; et adhuc in animum inſtitueram me confeſtim ad te conferre; poſtea ſerum eſſe noctis putavi. ſimulac vero poſt laſſitudinem ſomnus me reliquerat, ſtatim ſurrexi et huc profectus ſum. Atque ego vehementiam eius ſtupidamque cupiditatem cognoſcens Quid,

οὖν σοι, ἦν δ' ἐγώ, τοῦτο; μῶν τί σε ἀδικεῖ Πρωταγόρας; Καὶ ὃς γελάσας Νὴ τοὺς θεούς, ἔφη, ὦ Σώκρατες, ὅτι γε μόνος ἐστὶ σοφός, ἐμὲ δὲ οὐ ποιεῖ. Ἀλλὰ ναὶ μὰ Δί', ἔφην ἐγώ, ἂν αὐτῷ διδῷς ἀργύριον καὶ πείθῃς ἐκεῖνον, ποιήσει καὶ σὲ σοφόν. Εἰ γάρ, ἦ δ' ὅς, ὦ Ζεῦ καὶ θεοί, ἐν τούτῳ εἴη· ὡς * οὔτ' ἂν τῶν ἐμῶν ἐπιλίποιμι οὐδὲν οὔτε E
τῶν φίλων. ἀλλ' αὐτὰ ταῦτα καὶ νῦν ἥκω παρὰ σέ, ἵνα ὑπὲρ ἐμοῦ διαλεχθῇς αὐτῷ· ἐγὼ γὰρ ἅμα μὲν καὶ νεώτερός εἰμι, ἅμα δὲ οὐδὲ ἑώρακα Πρωταγόραν πώποτε οὐδ' ἀκήκοα οὐδέν· ἔτι γὰρ παῖς ἦ, ὅτε τὸ πρῶτον ἐπεδήμησεν. ἀλλὰ γάρ, ὦ Σώκρατες, πάντες τὸν ἄνδρα ἐπαινοῦσι καί φασι σοφώτατον εἶναι λέγειν. ἀλλὰ τί οὐ βαδίζομεν παρ' αὐτόν, ἵν' ἔνδον καταλάβωμεν; καταλύει δ', ὡς ἐγὼ ἤκουσα, παρὰ Καλλίᾳ τῷ 311
Ἱππονίκου· ἀλλ' ἴωμεν. Καὶ ἐγὼ εἶπον Μήπω, ὦ 'γαθέ, ἐκεῖσε ἴωμεν· πρῲ γάρ ἐστιν· ἀλλὰ δεῦρο ἐξαναστῶμεν εἰς τὴν αὐλήν, καὶ περιϊόντες αὐτοῦ διατρίψωμεν, ἕως ἂν φῶς γένηται, εἶτα ἴωμεν· καὶ γὰρ τὰ πολλὰ Πρωταγόρας ἔνδον διατρίβει· ὥστε, θάῤῥει, καταληψόμεθα αὐτόν, ὡς τὸ εἰκός, ἔνδον.

Μετὰ ταῦτ' ἀναστάντες εἰς τὴν αὐλὴν περιῇμεν. Καὶ ἐγὼ ἀποπειρώ*μενος τοῦ Ἱπποκράτους τῆς ῥώμης διεσκόπουν B
αὐτὸν καὶ ἠρώτων Εἰπέ μοι, ἔφην ἐγώ, ὦ Ἱππόκρατες, παρὰ Πρωταγόραν νῦν ἐπιχειρεῖς ἰέναι, ἀργύριον τελῶν ἐκείνῳ μισθὸν ὑπὲρ σεαυτοῦ, ὡς παρὰ τίνα ἀφιξόμενος καὶ τίς γενησόμενος; ὥσπερ ἂν εἰ ἐπενόεις παρὰ τὸν σαυτοῦ ὁμώνυμον ἐλθὼν Ἱπποκράτη τὸν Κῶον, τὸν τῶν Ἀσκληπιαδῶν, ἀργύριον τελεῖν ὑπὲρ σαυτοῦ μισθὸν ἐκείνῳ, εἴ τίς σε ἤρετο Εἰπέ μοι, μέλλεις τελεῖν, ὦ Ἱππόκρατες, Ἱπποκράτει * μι- C
σθὸν ὡς τίνι ὄντι; — τί ἂν ἀπεκρίνω; Εἶπον ἄν, ἔφη, ὅτι ὡς ἰατρῷ. Ὡς τίς γενησόμενος; Ὡς ἰατρός, ἔφη. Εἰ δὲ παρὰ Πολύκλειτον τὸν Ἀργεῖον ἢ Φειδίαν τὸν Ἀθηναῖον

inquam, tua hoc refert? ecquid iniuriam tibi facit Protagoras? Tum ille ridens Sane quidem hercle, inquit, Socrate, quod videlicet ſolus eſt ſapiens, me autem non efficit ſapientem. At mehercule, inquam, nae ille, ſi pecuniam ipſi des eique perſuadeas, te quoque reddet ſapientem. Utinam, inquit, per Iovem deosque, in hoc res vertatur; nam neque mearum neque amicorum facultatum quicquam reliquum facerem. atque hanc ipſam ob cauſam ad te nunc veni, ut meo nomine eum convenires; ego enim partim iunior ſum, partim Protagoram numquam neque vidi neque de ipſo quicquam audivi; nam puer adhuc eram, quum primum adveniſſet. enimvero, Socrate, omnes virum laudant et peritiſſimum eum dicunt eſſe dicendi. quare cur non vadimus ad ipſum, ut intus eum offendamus? divertit vero, ut audivi, ad Calliam, Hipponici filium. agedum eamus. Tum ego Nondum, o bone, inquam, illuc eamus, nam bene mane eſt, ſed huc pergamus in atrium ibique ambulantes commoremur, donec illuxerit; tunc eamus; etenim plerumque Protagoras intus commoratur; quocirca (bono animo ſis) offendemus ipſum haud dubie intus.

Deinde profecti ſumus in atrium et ambulavimus. Atque ego Hippocratem, ut eius conſtantiam explorarem, perſcrutabar et interrogabam Dic mihi, Hippocrate, inquam, ad Protagoram nunc inſtituis pergere, pecuniam ipſi pro mercede ſoluturus: ad quem adire et quem te ipſum evaſurum eſſe cogitas? Velut ſi cogitares ad cognominem tui Hippocratem Coum, ab Aſclepiadis oriundum, vadere et mercedem pro te ipſi ſolvere, quisquam autem ex te quaereret Dic mihi, Hippocrate, Hippocrati vis mercedem ſolvere: quemnam ipſum eſſe iudicas? quid reſponderes? Dicerem, inquit, me pro medico ipſum habere. Quem te ipſum evaſurum eſſe cogitas? Medicum, inquit. Quodſi ad Polycletum Argeum vel Phidiam Athenienſem cogitares va-

ἐπενόεις ἀφικόμενος μισθὸν ὑπὲρ σαυτοῦ τελεῖν ἐκείνοις, εἴ
τίς σε ἤρετο Τελεῖν τοῦτο τὸ ἀργύριον ὡς τίνι ὄντι ἐν νῷ
ἔχεις Πολυκλείτῳ τε καὶ Φειδίᾳ; — τί ἂν ἀπεκρίνω; Εἶπον
ἂν ὡς ἀγαλματοποιοῖς. Ὡς τίς δὲ γενησόμενος αὐτός; Δῆ-
λον ὅτι ἀγαλματοποιός. Εἶεν, ἦν δ' ἐγώ, πα*ρὰ δὲ δὴ D
Πρωταγόραν νῦν ἀφικόμενοι ἐγώ τε καὶ σὺ ἀργύριον ἐκείνῳ
μισθὸν ἕτοιμοι ἐσόμεθα τελεῖν ὑπὲρ σοῦ, ἂν μὲν ἐξικνῆται
τὰ ἡμέτερα χρήματα καὶ τούτοις πείθωμεν αὐτόν, εἰ δὲ μή,
καὶ τὰ τῶν φίλων προςαναλίσκοντες· εἰ οὖν τις ἡμᾶς περὶ
ταῦτα οὕτω σφόδρα σπουδάζοντας ἔροιτο Εἰπέ μοι, ὦ
Σώκρατές τε καὶ Ἱππόκρατες, ὡς τίνι ὄντι τῷ Πρωταγόρᾳ
ἐν νῷ ἔχετε χρήματα τελεῖν; — τί ἂν αὐτῷ ἀποκριναί-
μεθα; τί ὄνομα ἄλλο γε λε*γόμενον περὶ Πρωταγόρου E
ἀκούομεν, ὥςπερ περὶ Φειδίου ἀγαλματοποιὸν καὶ περὶ
Ὁμήρου ποιητήν; τί τοιοῦτον περὶ Πρωταγόρου ἀκούομεν;
Σοφιστὴν δή τοι ὀνομάζουσί γε, ὦ Σώκρατες, τὸν ἄνδρα
εἶναι, ἔφη. Ὡς σοφιστῇ ἄρα ἐρχόμεθα τελοῦντες τὰ χρή-
ματα; Μάλιστα. Εἰ οὖν καὶ τοῦτό τίς σε προςέροιτο
Αὐτὸς δὲ δὴ ὡς τίς γενησόμενος ἔρχει πα*ρὰ τὸν Πρωτα- 312
γόραν; Καὶ ὃς εἶπεν ἐρυθριάσας (ἤδη γὰρ ὑπέφαινέ τι
ἡμέρας, ὥςτε καταφανῆ αὐτὸν γενέσθαι) Εἰ μέν τι τοῖς
ἔμπροσθεν ἔοικε, δῆλον ὅτι σοφιστὴς γενησόμενος. Σὺ
δέ, ἦν δ' ἐγώ, πρὸς θεῶν, οὐκ ἂν αἰσχύνοιο εἰς τοὺς
Ἕλληνας σαυτὸν σοφιστὴν παρέχων; Νὴ τὸν Δία, ὦ Σώ-
κρατες, εἴπερ γε ἃ διανοοῦμαι χρὴ λέγειν. Ἀλλ' ἄρα, ὦ
Ἱππόκρατες, μὴ οὐ τοιαύτην ὑπολαμβάνεις σου τὴν παρὰ
Πρωταγόρου μάθησιν ἔσεσθαι, ἀλλ' οἵα*περ ἡ παρὰ τοῦ B
γραμματιστοῦ ἐγένετο καὶ κιθαριστοῦ καὶ παιδοτρίβου·
τούτων γὰρ σὺ ἑκάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημι-
ουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ
τὸν ἐλεύθερον πρέπει. Πάνυ μὲν οὖν μοι δοκεῖ, ἔφη, τοι-
αύτη μᾶλλον εἶναι ἡ παρὰ Πρωταγόρου μάθησις. Οἶσθα
οὖν ὃ μέλλεις νῦν πράττειν, ἤ σε λανθάνει; ἦν δ' ἐγώ.
Τοῦ πέρι; Ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ * παρασχεῖν C

dere atque mercedem pro te his solvere, et quisquam ex te quaereret Hancce pecuniam quum in animo habeas Polycleto et Phidiae solvere, quemnam eum esse iudicas? — quid responderes? Dicerem pro statuariis me ipsos habere. Quem vero te ipsum exstiturum esse censes? Nimirum statuarium. Iam vero, inquam, ad Protagoram nunc vadentes ego et tu, ad pecuniam pro mercede ipsi solvendam parati et prompti erimus, ita ut, si nostrae facultates sufficiant iisque ipsi persuadeamus, has impendamus, sin minus, amicorum quoque facultates erogemus: si igitur nos tam sedulo hoc agentes quisquam interroget Dicite mihi, Socrate et Hippocrate, quemnam existimatis Protagoram, quod pecuniam ipsi solvere in animo habetis? — quid illi respondeamus? quodnam aliud nomen de Protagora usurpari scimus? veluti de Phidia statuarii et de Homero poëtae nomen usurpari scimus: quodnam eiusmodi nomen de Protagora usurpatur? Sophisten videlicet, Socrate, virum appellant, inquit. Sophistae igitur aggredimur pecuniam solvere? Maxime. Quodsi quis hoc quoque te interroget Ipse vero quis evasurus accedis ad Protagoram? Atque ille dixit erubescens (etenim aliquantum iam illuxerat, ita ut conspicuus esset): Si de hoc ita, ut de superioribus, statuendum est, patet me sophistam evasurum ad eum accedere. Te vero, inquam, per deos, nihilne pudet, Graecis te sophisten exhibere? Sane mehercule, Socrate, siquidem quod sentio dicam oportet. Fortasse autem, Hippocrate, non talem existimas doctrinam eam, qua Protagoras te instituturus sit, sed qualis fuerit grammatistae et citharistae et palaestrae magistri; horum enim unumquodque non artis causa, ut artifex publicus exsisteres, didicisti, sed eruditionis gratia, quemadmodum privatum et liberum decet. Utique mihi videtur, inquit, talis potius esse Protagorae institutio. Scin igitur quid nunc facere velis, an te latet? inquam. Quid dicis? Hoc, te velle animum tuum

θεραπεῦσαι ἀνδρί, ὡς φῄς, σοφιστῇ, ὅ τι δέ ποτε ὁ σοφιστής ἐστι, θαυμάζοιμ' ἂν εἰ οἶσθα· καίτοι εἰ τοῦτ' ἀγνοεῖς, οὐδέ, ὅτῳ παραδίδως τὴν ψυχήν, οἶσθα, οὔτ' εἰ ἀγαθῷ οὔτ' εἰ κακῷ πράγματι. Οἶμαί γ', ἔφη, εἰδέναι. Λέγε δή, τί ἡγεῖ εἶναι τὸν σοφιστήν; Ἐγὼ μέν, ἦ δ' ὅς, ὥσπερ τοὔνομα λέγει, τοῦτον εἶναι τὸν τῶν σοφῶν ἐπιστήμονα. Οὐκοῦν, ἦν δ' ἐγώ, τοῦτο μὲν ἔξεστι λέγειν καὶ περὶ ζωγράφων καὶ περὶ τεκτόνων, ὅτι οὗτοί εἰσιν οἱ τῶν σοφῶν ἐπιστήμονες· * ἀλλ' εἴ τις ἔροιτο ἡμᾶς Τῶν τί σοφῶν D εἰσὶν οἱ ζωγράφοι ἐπιστήμονες; εἴποιμεν ἄν που αὐτῷ ὅτι Τῶν πρὸς τὴν ἀπεργασίαν τὴν τῶν εἰκόνων, καὶ τἆλλα οὕτως. εἰ δέ τις ἐκεῖνο ἔροιτο Ὁ δὲ σοφιστὴς τῶν τί σοφῶν ἐστί; τί ἂν ἀποκριναίμεθα αὐτῷ; ποίας ἐργασίας ἐπιστάτης; τί ἂν εἴποιμεν*) αὐτὸν εἶναι; Ὦ Σώκρατες, ἐπιστάτην τοῦ ποιῆσαι δεινὸν λέγειν. Ἴσως ἄν, ἦν δ' ἐγώ, ἀληθῆ λέγοιμεν, οὐ μέντοι ἱκανῶς γε· ἐρωτήσεως γὰρ ἔτι ἡ ἀπόκρισις ἡμῖν δεῖται, περὶ ὅτου ὁ σοφιστὴς δεινὸν *ποιεῖ λέγειν, ὥσπερ ὁ κιθαριστὴς δεινὸν δήπου ποιεῖ λέ- E γειν, περὶ οὗπερ καὶ ἐπιστήμονα, περὶ κιθαρίσεως· ἦ γάρ; Ναί. Εἶεν, ὁ δὲ δὴ σοφιστὴς περὶ τίνος δεινὸν ποιεῖ λέγειν; ἢ δῆλον ὅτι περὶ οὗπερ καὶ ἐπίσταται; Εἰκός γε. Τί δή ἐστι τοῦτο, περὶ οὗ αὐτός τε ἐπιστήμων ἐστὶν ὁ σοφιστὴς καὶ τὸν μαθητὴν ποιεῖ; Μὰ Δί', ἔφη, οὐκέτι ἔχω σοι λέγειν. Καὶ ἐγὼ εἶπον * μετὰ τοῦτο Τί οὖν; οἶσθα 313 εἰς οἷόν τινα κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν; ἢ εἰ μὲν τὸ σῶμα ἐπιτρέπειν σε ἔδει τῳ, διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν, πολλὰ ἂν περιεσκέψω εἴτ' ἐπιτρεπτέον εἴτε οὔ, καὶ εἰς ξυμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ, τὴν ψυχήν, καὶ ἐν ᾧ πάντ' ἐστὶ τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου, περὶ δὲ τούτου οὔτε

---

*) ἴσ. ἐπιστάτην εἴποιμεν ἂν αὐτὸν εἶναι;

homini curandum tradere, qui, ut dicis, sophistes est, id vero, quid sophistes sit, equidem mirer si scias; quamquam hoc si ignoras, neque scis cui animum tuum dedas, bono an malo negotio. Arbitror equidem, inquit, id me scire. Dic igitur: quid existimas sophisten esse? Equidem, inquit, arbitror, id quod nomen indicat, scientem ipsum esse eorum quae ad peritiam pertineant. Quin etiam, inquam, de pictoribus et fabris id dicere licet, ipsos esse eorum scientes quae ad peritiam pertineant; at si quis ex nobis quaerat: Quodnam peritiae genus hoc est cuius pictores sunt scientes? huic haud dubie respondeamus Hoc est quod ad imaginum confectionem spectat, et sic reliqua; quodsi quis hoc interroget: Sophistes cuiusnam rei ad peritiam pertinentis sciens est? — quid respondeamus ipsi? cuius confectionis magistrum dicamus eum esse? O Socrates, magistrum eius artis quae nos dicendi peritos reddat. Fortasse, inquam, vera dicamus, attamen non satisfacient: interrogationem enim responsio nobis adhuc desiderat, quid sit id de quo sophistes dicendi nos peritos reddat, veluti citharista peritos nos reddit de hoc dicendi, cuius etiam scientes nos reddit, de cithara pulsanda; nonne? Ita. Iam vero sophistes de quo peritos nos dicendi reddit? an id quidem dubium non est quin de hoc cuius est sciens? Sane quidem videtur. Quid igitur hoc est, cuius et ipse sciens est sophistes et discipulum scientem efficit? Non hercle, inquit, amplius hoc possum dicere. Tum ego Quid igitur? inquam, scin quale in periculum animum tuum adducere aggrediare? an, si corpus te cuiquam committere oporteret, non sine aliquo periculo ac discrimine bonumne an pravum evasurum esset, multum circumspiceres, utrum committendum esset necne, et ad consultationem amicos cognatosque advocares, multos dies de hoc deliberans, de eo autem quod pluris facis quam corpus, de animo, et in quo situm est, ut res tuae omnes in felici aut infelici statu sint, si bonum aut pravum evaserit, de hoc igitur neque cum patre

τῷ πατρὶ οὔτε τῷ ἀδελφῷ ἐπεκοινώσω οὔθ' ἡμῶν τῶν B ἑταίρων οὐδενί, εἴτ' ἐπιτρεπτέον εἴτε καὶ οὐ τῷ ἀφικομένῳ τούτῳ τῷ ξένῳ *) τὴν σὴν ψυχήν, ἀλλ' ἑσπέρας ἀκούσας, ὥς φης, ὄρθριος ἥκων περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ ξυμβουλὴν ποιεῖ, εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ εἴτε μή, ἕτοιμος δ' εἶ ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ τῶν φίλων χρήματα, ὡς ἤδη διεγνωκὼς ὅτι πάντως ξυνεστέον Πρωταγόρᾳ, ὃν οὔτε γιγνώσκεις, ὥς φης, οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ' ὀνομάζεις, * τὸν δὲ σοφιστήν, C ὅ τί ποτέ ἐστι, φαίνει ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν ἐπιτρέπειν. Καὶ ὃς ἀκούσας Ἔοικεν, ἔφη, ὦ Σώκρατες, ἐξ ὧν σὺ λέγεις. Ἆρ' οὖν, ὦ Ἱππόκρατες, ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων, ἀφ' ὧν ψυχὴ τρέφεται; φαίνεται γὰρ ἔμοιγε τοιοῦτός τις. Τρέφεται δέ, ὦ Σώκρατες, ψυχὴ τίνι; Μαθήμασι δήπου, ἦν δ' ἐγώ. καὶ ὅπως γε μή, ὦ ἑταῖρε, ὁ σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ ἐξαπατήσει ἡμᾶς, ὥσπερ οἱ περὶ τὴν τοῦ σώματος τροφήν, ὁ ἔμπορός * τε καὶ κάπηλος· καὶ γὰρ οὗτοί που ὧν ἄγουσιν D ἀγωγίμων οὔτε αὐτοὶ ἴσασιν ὅ τι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα, ἐπαινοῦσι δὲ πάντα πωλοῦντες, οὔτε οἱ ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς ὤν. οὕτω δὲ καὶ οἱ τὰ μαθήματα περιάγοντες κατὰ τὰς πόλεις καὶ πωλοῦντες καὶ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσι μὲν πάντα ἃ πωλοῦσι, τάχα δ' ἄν τινες, ὦ ἄριστε, καὶ τούτων ἀγνοοῖεν ὧν πωλοῦσιν ὅ τι χρηστὸν ἢ πονηρὸν πρὸς τὴν ψυχήν, ὡς δ' * αὔτως καὶ οἱ E ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν. εἰ μὲν οὖν σὺ τυγχάνεις ἐπιστήμων τούτων τί χρηστὸν καὶ πονηρόν, ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ Πρωταγόρου καὶ παρ' ἄλλου ὁτουοῦν, εἰ δὲ μή, ὅρα, ὦ μακάριε, μὴ περὶ τοῖς φιλτάτοις * κυβεύῃς 314

---

*) γρ. τούτῳ ξένῳ.

neque cum fratre communicasti neque cum nostrûm amicorum tuorum quopiam, num videlicet committendus sit necne huic qui advenit hospiti animus tuus, immo vero, quum vespere, ut dicis, id audivisses, mane accedens neque mentionem ullam de hoc facis neque consilium inis, utrum te ipsi committere oporteat necne, sed paratus es, facultates tam tuas quam amicorum impendere, quippe iam statutum cum animo ac deliberatum habens, omnino consuetudinem esse iungendam cum Protagora, quem neque nosti, ut dicis, neque umquam convenisti, sophisten autem nominas, hoc ipsum manifesto ignorans, quid sit sophistes, cui videlicet te tradere cogitas. Tum ille, his auditis, Videtur, inquit, Socrate, ita esse, ex iis quae dicis. Num igitur, Hippocrate, sophistes mercator aliquis vel caupo earum est mercium, quibus animus alitur? mihi quidem talis quis videtur esse. Animus vero, Socrate, quonam alitur? Doctrinis videlicet, inquam; atque cavendum est, o amice, ne sophistes quae vendit praedicans ac commendans nos decipiat, quemadmodum illi in his quibus corpus alitur, mercator et caupo. etenim hi neque ipsi sciunt, quaenam, quas apportant, merces corpori utiles sint vel noceant, quamvis unamquamque commendent ac laudent, neque qui de iis emunt, hoc perspectum habent, nisi quis forte palaestrita vel medicus est; ita etiam ii, qui doctrinas per urbes circumferunt, et vendentes et cauponantes, cuivis appetenti commendant quidem omnia quae vendunt, sed haud dubie, o bone, etiam in his sunt qui ignorent, quid eorum quae vendunt animo vel prosit vel obsit; et similiter, qui de iis emunt, hoc ignorant, nisi quis forte animo medendi peritus est. quodsi igitur perspectum habes quid illorum prosit vel obsit, tuto poteris doctrinas emere et de Protagora et de quovis alio, sin minus, provide, o egregie, ne id, quo nihil est carius, in aleam des et pe-

τε καὶ κινδυνεύῃς. καὶ γὰρ δὴ καὶ πολὺ μείζων κίνδυνος ἐν τῇ τῶν μαθημάτων ὠνῇ ἢ ἐν τῇ τῶν σιτίων· σιτία μὲν γὰρ καὶ ποτὰ πριάμενον παρὰ τοῦ καπήλου καὶ ἐμπόρου ἔξεστιν ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν, καὶ πρὶν δέξασθαι αὐτὰ εἰς τὸ σῶμα πιόντα ἢ φαγόντα, καταθέμενον οἴκαδε ἔξεστι ξυμβουλεύσασθαι, παρακαλέσαντα τὸν ἐπαΐοντα, ὅ τί τε ἐδεστέον καὶ ποτέον καὶ ὅ τι μή, καὶ ὁπόσον καὶ ὁπότε· ὥστε ἐν τῇ ὠνῇ οὐ μέγας ὁ κίνδυνος· μαθήματα δὲ οὐκ * ἔστιν ἐν ἄλλῳ ἀγγείῳ ἀπενεγκεῖν, ἀλλ᾽ ἀνάγκη, B καταθέντα τὴν τιμήν, τὸ μάθημα ἐν αὐτῇ τῇ ψυχῇ λαβόντα καὶ μαθόντα, ἀπιέναι ἢ βεβλαμμένον ἢ ὠφελημένον. ταῦτ᾽ οὖν σκοπώμεθα καὶ μετὰ τῶν πρεσβυτέρων ἡμῶν· ἡμεῖς γὰρ ἔτι νέοι, ὥστε τοσοῦτο πρᾶγμα διελέσθαι. νῦν μέντοι, ὥσπερ ὡρμήσαμεν, ἴωμεν καὶ ἀκούσωμεν τοῦ ἀνδρός, ἔπειτ᾽ ἀκούσαντες καὶ ἄλλοις *) ἀνακοινωσώμεθα· καὶ γὰρ οὐ μόνος Πρωταγόρας αὐτόθι ἐστίν, ἀλλὰ καὶ Ἱππίας ὁ Ἠλεῖος, οἶ*μαι δὲ καὶ Πρόδικον τὸν Κεῖον, καὶ C ἄλλοι πολλοὶ καὶ σοφοί.

Δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα. ἐπειδὴ δὲ ἐν τῷ προθύρῳ ἐγενόμεθα, ἐπιστάντες περί τινος λόγου διελεγόμεθα, ὃς ἡμῖν κατὰ τὴν ὁδὸν ἐνέπεσεν· ἵν᾽ οὖν μὴ ἀτελὴς γένοιτο, ἀλλὰ διαπερανάμενοι οὕτως εἰσίοιμεν, στάντες ἐν τῷ προθύρῳ διελεγόμεθα, ἕως ξυνωμολογήσαμεν ἀλλήλοις. δοκεῖ οὖν μοι, ὁ θυρωρός, εὐνοῦχός τις, κατήκουεν ἡμῶν, κινδυνεύει δὲ διὰ * τὸ πλῆθος τῶν σοφιστῶν ἄχθεσθαι τοῖς D φοιτῶσιν εἰς τὴν οἰκίαν· ἐπειδὴ γοῦν ἐκρούσαμεν τὴν θύραν, ἀνοίξας καὶ ἰδὼν ἡμᾶς Ἔα, ἔφη, σοφισταί τινες· οὐ σχολὴ αὐτῷ. Καὶ ἅμα ἀμφοῖν τοῖν χεροῖν τὴν θύραν πάνυ προθύμως, ὡς οἷός τ᾽ ἦν, ἐπήραξε. καὶ ἡμεῖς πάλιν ἐκρούομεν. καὶ ὃς ἐγκεκλεισμένης τῆς θύρας ἀποκρινόμενος εἶπεν Ὦ ἄνθρωποι, ἔφη, οὐκ ἀκηκόατε ὅτι οὐ σχολὴ αὐτῷ; Ἀλλ᾽ ὦ ᾽γαθέ, ἔφην ἐγώ, οὔτε παρὰ Καλλίαν ἥκομεν οὔτε σοφισταί ἐσμεν, ἀλλὰ θάῤῥει· * Πρωταγόραν γάρ τοι δεό- E

---

*) ἴσ. τοῖς ἄλλοις.

riclitere. etenim multo etiam maius periculum ineſt in doctrinarum, quam in ciborum emptione; nam eſculenta et potulenta, quae emeris de caupone et mercatore, licet in aliis vaſis auferre et, priusquam edendo vel bibendo in corpus ea recipias, licet de iis domi depoſitis in conſilium ire, intelligente quopiam advocato, quid edendum et bibendum ſit, quid non ſit, et quantum et quando: ut in emptione non ſit magnum periculum; doctrinas vero non licet in alio vaſe auferre, ſed oportet nos ſoluto pretio doctrinam in ipſum animum ſuscipientes ac diſcentes abire, aut utilitatis aut detrimenti quid capientes. haec igitur perpendamus, et quidem cum ſenioribus, quam nos ſumus; nos enim adhuc iuniores ſumus, quam qui tantam rem poſſimus diiudicare. nunc vero, ut cum animo ſtatutum habuimus, eamus et virum audiamus; tum, ipſo audito, cum ceteris hac de re conſultemus; nam non ſolum Protagoras ibi eſt, verum etiam Hippias Eleus, Prodicus quoque, opinor, Ceus, et alii multi ſapientes.

Hoc quum nobis viſum eſſet, profecti ſumus; poſtquam vero in veſtibulo adveneramus, ſubſiſtentes de re aliqua colloquebamur quae nobis in via inciderat, et ne ſermo inchoatus relinqueretur, ſed ipſo demum abſoluto intraremus, in veſtibulo ſubſiſtentes colloquuti ſumus, donec inter nos convenimus. ianitor vero, eunuchus, nos, ut opinor, exaudiverat; videtur autem propter ſophiſtarum turbam offenſus fuiſſe in eos qui in domum itarent; certe quidem, quum ianuam a nobis pulſatam aperuiſſet nosque conſpexiſſet Ah, inquit, ſophiſtae! nullum ipſi otium! ſimulque ambabus manibus ianuam ſatis impigre, quam poterat vehementiſſime, colliſit. nos iterum pulſavimus, ille vero, ianua clauſa reſpondens Homines, inquit, non audiviſtis, nullum ipſi otium eſſe? At, o bone, inquam, neque ad Calliam venimus neque ſophiſtae ſumus, ſed bono ſis animo; Protagoram enim cupientes videre acceſſimus;

μενοι ἰδεῖν ἤλθομεν· εἰςάγγειλον οὖν. Μόγις οὖν ποτὲ ἡμῖν ἄνθρωπος ἀνέῳξε τὴν θύραν.

Ἐπειδὴ δὲ εἰςήλθομεν, κατελάβομεν Πρωταγόραν ἐν τῷ προστόῳ περιπατοῦντα, ἑξῆς δ' αὐτῷ ξυμπεριεπάτουν ἐκ μὲν τοῦ ἐπὶ θάτερα Καλλίας ὁ Ἱππονίκου καὶ ὁ ἀδελφὸς αὐτοῦ ὁ ὁμομήτριος Πάραλος * ὁ Περικλέους, καὶ 315
Χαρμίδης ὁ Γλαύκωνος, ἐκ δὲ τοῦ ἐπὶ θάτερα ὁ ἕτερος τῶν Περικλέους Ξάνθιππος καὶ Φιλιππίδης ὁ Φιλομήλου καὶ Ἀντίμοιρος ὁ Μενδαῖος, ὅςπερ εὐδοκιμεῖ μάλιστα τῶν Πρωταγόρου μαθητῶν καὶ ἐπὶ τέχνῃ μανθάνει, ὡς σοφιστὴς ἐσόμενος. τούτων δὲ οἳ ὄπισθεν ἠκολούθουν ἐπακούοντες τῶν λεγομένων, τὸ μὲν πολὺ ξένοι ἐφαίνοντο, οὓς ἄγει ἐξ ἑκάστων τῶν πόλεων ὁ Πρωταγόρας δι' ὧν διεξέρχεται, κηλῶν τῇ φωνῇ ὥςπερ Ὀρφεύς, οἱ δὲ κατὰ τὴν φω*νὴν ἕπονται κεκηλημένοι· ἦσαν δέ τινες καὶ τῶν B
ἐπιχωρίων ἐν τῷ χορῷ. τοῦτον τὸν χορὸν μάλιστα ἔγωγε ἰδὼν ἥσθην, ὡς καλῶς εὐλαβοῦντο μηδέποτε ἐμποδὼν ἐν τῷ ἔμπροσθεν εἶναι Πρωταγόρου, ἀλλ' ἐπειδὴ αὐτὸς ἀναστρέφοι καὶ οἱ μετ' ἐκείνου, εὖ πως καὶ ἐν κόσμῳ περιεσχίζοντο οὗτοι οἱ ἐπήκοοι ἔνθεν καὶ ἔνθεν, καὶ ἐν κύκλῳ περιϊόντες ἀεὶ εἰς τὸ ὄπισθεν καθίσταντο κάλλιστα.

Τὸν δὲ μετ' εἰςενόησα, ἔφη Ὅμηρος, Ἱππίαν τὸν Ἠλεῖον,* καθήμενον ἐν τῷ καταντικρὺ προστόῳ ἐν θρόνῳ· C
περὶ αὐτὸν δ' ἐκάθηντο ἐπὶ βάθρων Ἐρυξίμαχός τε ὁ Ἀκουμενοῦ καὶ Φαῖδρος ὁ Μυῤῥινούσιος καὶ Ἄνδρων ὁ Ἀνδροτίωνος, καὶ τῶν ξένων πολῖταί τε αὐτοῦ καὶ ἄλλοι τινές· ἐφαίνοντο δὲ περὶ φύσεώς τε καὶ τῶν μετεώρων ἀστρονομικὰ ἄττα διερωτᾶν τὸν Ἱππίαν, ὁ δ' ἐν θρόνῳ καθήμενος ἑκάστοις αὐτῶν διέκρινε καὶ διεξῄει τὰ ἐρωτώμενα.

Καὶ μὲν δὴ καὶ Τάνταλόν γε εἰςεῖδον· ἐπεδήμει γὰρ ἄρα Πρόδικος ὁ * Κεῖος, ἦν δὲ ἐν οἰκήματί τινι, ᾧ πρὸ D
τοῦ μὲν ὡς ταμιείῳ ἐχρῆτο Ἱππόνικος, νῦν δὲ ὑπὸ τοῦ πλήθους τῶν καταλυόντων ὁ Καλλίας καὶ τοῦτο ἐκκενώσας ξένοις κατάλυσιν πεποίηκεν. ὁ μὲν οὖν Πρόδικος ἔτι κατέκειτο, ἐγκεκαλυμμένος ἐν κῳδίοις τισὶ καὶ στρώμασι, καὶ

igitur annuntia. Vix tandem nobis homo aperuit ianuam.

Poſtquam ingreſſi eramus, offendimus Protagoram in periſtylio ambulantem, et deinceps cum eo ambulabant ex hac parte Callias Hipponici filius, ipſius frater eadem matre natus Paralus Periclis filius, et Charmides Glauconis filius, ex illa alter Periclis filius Xanthippus, Philippides Philomeli filius et Antimoerus Mendaeus, qui maxime celebratur e Protagorae diſcipulis et artis cauſa diſcit, ut ſophiſtes evadat. pone hos vero qui ſequebantur dicta audientes, ii maximam partem videbantur peregrini eſſe, quos quidem Protagoras ex unaquaque quam percurrit urbe ductat, alliciens eos voce inſtar Orphei, illi vero vocem ſequuntur allecti: erant autem etiam indigenarum aliqui in ipſius choro. hunc chorum maxime laetatus ſum adſpiciens, quam pulchre caverent ne impedimento eſſent a fronte Protagorae; ſed quoties ipſe eiusque comites convertebantur, bene profecto et ordine discedebant illi auditores hinc atque illinc, et in orbe circumeuntes ſemper pone conſiſtebant pulcherrime.

Poſt hunc conſpexi, Homerus dixit, Hippiam Eleum ſedentem in porticu adverſa in ſolio; circa ipſum ſedebant in ſubſelliis Eryximachus Acumeni filius, Phaedrus Myrrhinuſius, Andron Androtionis filius, et de peregrinis cives ipſius et alii quidam; videbantur autem de natura rebusque caeleſtibus aſtronomica quaedam interrogare Hippiam, et hic in ſolio ſedens unicuique diiudicabat et exponebat quae ille interrogaſſet.

Quin etiam Tantalum conſpicatus ſum; nimirum advenerat Prodicus Ceus, commorabatur autem in cella quadam, qua antehac pro penaria uſus erat Hipponicus, nunc vero propter devertentium multitudinem Callias hanc quoque vacuatam peregrinis deverſorium fecerat. ac Prodicus quidem adhuc cubabat, involutus pellibus et ſtragulis iisque permultis, ut patebat; aſſi-

μάλα πολλοῖς, ὡς ἐφαίνετο· παρεκάθηντο δὲ αὐτῷ ἐπὶ ταῖς πλησίον κλίναις Παυσανίας τε ὁ ἐκ Κεραμέων καὶ μετὰ Παυσανίου νέον τι ἔτι μειράκιον, ὡς μὲν ἐγῷμαι, καλόν τε κἀγαθὸν τὴν φύ*σιν, τὴν δ' οὖν ἰδέαν πάνυ καλός. E
ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ εἶναι Ἀγάθωνα, καὶ οὐκ ἂν θαυμάζοιμι, εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν. τοῦτό τ' ἦν *) τὸ μειράκιον καὶ τὼ Ἀδειμάντω ἀμφοτέρω, ὅ τε Κήπιδος καὶ ὁ Λευκολοφίδου, καὶ ἄλλοι τινὲς ἐφαίνοντο. περὶ δὲ ὧν διελέγοντο, οὐκ ἐδυνάμην ἔγωγε μαθεῖν ἔξωθεν, καίπερ λιπαρῶς ἔχων ἀκούειν τοῦ Προδίκου (πάνσοφος γάρ μοι δοκεῖ ἀνὴρ εἶναι καὶ θεῖος),* ἀλλὰ διὰ τὴν βαρύτητα 316
τῆς φωνῆς βόμβος τις ἐν τῷ οἰκήματι γιγνόμενος ἀσαφῆ ἐποίει τὰ λεγόμενα.

Καὶ ἡμεῖς μὲν ἄρτι εἰςεληλύθειμεν, κατόπιν δὲ ἡμῶν ἐπειςῆλθον Ἀλκιβιάδης τε ὁ καλός, ὥς φης σὺ καὶ ἐγὼ πείθομαι, καὶ Κριτίας ὁ Καλλαίσχρου.

Ἡμεῖς οὖν ὡς εἰςήλθομεν, ἔτι σμικρὰ ἄττα διατρίψαντες καὶ ταῦτα διαθεασάμε*νοι προςῇμεν πρὸς τὸν Πρωτα- B
γόραν· καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα, πρὸς σέ τοι ἤλθομεν ἐγώ τε καὶ Ἱπποκράτης οὗτος. Πότερον, ἔφη, μόνῳ βουλόμενοι διαλεχθῆναι, ἢ καὶ μετὰ τῶν ἄλλων; Ἡμῖν μέν, ἦν δ' ἐγώ, οὐδὲν διαφέρει· ἀκούσας δέ, οὗ ἕνεκα ἤλθομεν, αὐτὸς σκέψαι. Τί οὖν δή ἐστιν, ἔφη, οὗ ἕνεκα ἥκετε; Ἱπποκράτης ὅδε ἐστὶ μὲν τῶν ἐπιχωρίων, Ἀπολλοδώρου υἱός, οἰκίας μεγάλης τε καὶ εὐδαίμονος· αὐτὸς δὲ τὴν φύσιν δοκεῖ ἐνάμιλλος εἶναι τοῖς ἡλι*κιώταις· ἐπιθυμεῖν δέ C
μοι δοκεῖ ἐλλόγιμος γενέσθαι ἐν τῇ πόλει· τοῦτο δὲ οἴεταί οἱ μάλιστα γενέσθαι, εἰ σοὶ ξυγγένοιτο. ταῦτ' οὖν ἤδη σὺ σκόπει, πότερον περὶ αὐτῶν μόνος οἴει δεῖν διαλέγεσθαι πρὸς μόνους, ἢ μετ' ἄλλων. Ὀρθῶς, ἔφη, προμηθεῖ, ὦ Σώκρατες, ὑπὲρ ἐμοῦ· ξένον γὰρ ἄνδρα καὶ ἰόντα εἰς πόλεις μεγάλας καὶ ἐν ταύταις πείθοντα τῶν νέων τοὺς βελτίστους, ἀπολείποντας τὰς τῶν ἄλλων ξυνουσίας, καὶ οἰκείων καὶ ὀθνείων, καὶ πρεσβυτέρων καὶ νεωτέρων, ἑαυτῷ ξυνεῖναι ὡς βελτίους ἐσο-

---

*) Ἴσ. τοῦτό τε δὴ τ. μ.

debant vero ipſi in proximis lectulis Pauſanias e Ceramico et cum Pauſania tener adhuc adoleſcentulus, ut equidem opinor, pulchra et bona indole, ſpecie certe admodum pulchra. viſus mihi ſum audire, nomen ipſi eſſe Agathoni, nec mirer, ſi Pauſaniae in deliciis ſit. hic igitur adoleſcentulus et Adimantus uterque, tam Cepidis quam Leucolophidae filius, et alii quidam aderant. de quo disſererent, non poteram equidem foris percipere, quamvis ſedulo id agam ut Prodicum audiam (ſapientiſſimus enim mihi videtur vir eſſe atque divinus), ſed fremitus, quem gravis eius vox excitabat in cella, obſcura reddebat quae dicebantur.

Ac nos quidem vixdum introieramus, quum pone nos intrarent Alcibiades pulcher, ut tu dicis et ego mihi perſuadeo, et Critias Callaeſchri filius.

Nos igitur poſtquam introieramus, paullulum adhuc morati et haec omnia contemplati acceſſimus ad Protagoram. Tum ego O Protagora, inquam, ad te vero venimus ego et hic Hippocrates. Utrum, inquit, me ſolum cupientes convenire, an coram reliquis? Noſtra quidem, inquam, nihil intereſt; tu vero ubi audiveris qua de cauſa venerimus, ipſe id perpendes. Quid igitur, inquit, eſt quod veneritis? Hicce Hippocrates unus eſt de indigenis, Apollodori filius, domus amplae ac beatae; ipſe autem indole certare videtur cum aequalibus ſuis; appetere enim mihi videtur celebritatem in urbe, et hanc putat maxime ſe conſequuturum eſſe, ſi te utatur. hoc igitur tu nunc perpende, utrum de iis cenſeas ſoli tibi diſſerendum eſſe cum ſolis, an cum aliis. Recte, inquit, proſpicis mihi, Socrate; peregrinum enim virum, qui in magnas urbes deſcendit et in his perſuadet praeſtantiſſimis quibusque iuvenibus ut, relicta aliorum conſuetudine, et affinium et alienorum, et ſeniorum et iuniorum, ipſi in conſuetudinem ſe dent,

μένους διὰ τὴν ἑαυτοῦ * ξυνουσίαν, χρὴ εὐλαβεῖσθαι τὸν D
ταῦτα πράττοντα· οὐ γὰρ σμικροὶ περὶ αὐτὰ φθόνοι τε γίγνονται καὶ ἄλλαι δυσμένειαί τε καὶ ἐπιβουλαί. ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν, φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς, πρόσχημα ποιεῖσθαι καὶ προκαλύπτεσθαι τοὺς μὲν ποίησιν, οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον καὶ Σιμωνίδην, τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμῳδίας, τοὺς ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον, ἐνίους δέ τινας ᾔσθημαι καὶ γυμναστικήν, οἷον Ἴκκος τε ὁ Ταραντῖνος καὶ ὁ νῦν ἔτι ὢν οὐδενὸς ἥττων σοφιστὴς * Ἡρόδικος ὁ Σηλυβριανός, τὸ δὲ ἀρχαῖον Μεγαρεύς· E
μουσικὴν δὲ Ἀγαθοκλῆς τε ὁ ὑμέτερος πρόσχημα ἐποιήσατο, μέγας ὢν σοφιστής, καὶ Πυθοκλείδης ὁ Κεῖος καὶ ἄλλοι πολλοί. οὗτοι πάντες, ὥςπερ λέγω, φοβηθέντες τὸν φθόνον ταῖς τέχναις ταύταις παραπετάσμασιν ἐχρήσαντο. * ἐγὼ δὲ τούτοις 317
ἅπασι κατὰ τοῦτο εἶναι *) οὐ ξυμφέρομαι· ἡγοῦμαι γὰρ αὐτοὺς οὔτι διαπράξασθαι ὃ ἐβουλήθησαν· οὐ γὰρ λαθεῖν τῶν ἀνθρώπων τοὺς δυναμένους ἐν ταῖς πόλεσι πράττειν, ὧνπερ ἕνεκα ταῦτ᾽ ἐστὶ τὰ προσχήματα, ἐπεὶ οἵ γε πολλοὶ ὡς ἔπος εἰπεῖν οὐδὲν αἰσθάνονται, ἀλλ᾽ ἅττ᾽ ἂν οὗτοι διαγγέλλωσι, ταῦτα ὑμνοῦσι. τὸ οὖν ἀποδιδράσκοντα μὴ δύνασθαι ἀποδρᾶναι, ἀλλὰ καταφανῆ εἶναι, πολλὴ μωρία καὶ τοῦ ἐπιχει-*ρήματος, καὶ πολὺ δυςμενεστέρους παρέχεσθαι ἀνάγκη τοὺς B
ἀνθρώπους· ἡγοῦνται γὰρ τὸν τοιοῦτον πρὸς τοῖς ἄλλοις καὶ πανοῦργον εἶναι. ἐγὼ οὖν τούτων τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα, καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι καὶ παιδεύειν ἀνθρώπους, καὶ εὐλάβειαν ταύτην οἶμαι βελτίω ἐκείνης εἶναι, τὸ ὁμολογεῖν μᾶλλον ἢ ἔξαρνον εἶναι· καὶ ἄλλας πρὸς ταύτῃ ἔσκεμμαι, ὥςτε, σὺν θεῷ εἰπεῖν, μηδὲν δεινὸν πάσχειν διὰ τὸ ὁμολογεῖν * σοφιστὴς εἶναι. καίτοι πολλά γε ἤδη ἔτη εἰμὶ C
ἐν τῇ τέχνῃ· καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοί ἐστιν· οὐδενὸς ὅτου οὐ πάντων ἂν ὑμῶν καθ᾽ ἡλικίαν πατὴρ εἴην. ὥςτε πολύ μοι ἥδιστόν ἐστιν, εἴ τι βούλεσθε, περὶ τούτων ἁπάντων ἐναντίον τῶν ἔνδον ὄντων τὸν λόγον ποιεῖσθαι.

---

*) ἴσ. τὸ κατὰ τοῦτο εἶναι.

meliores se fieri arbitrantes ipsius consuetudine, oportet sibi cavere haec facientem; neque enim leves iccirco invidiae conflantur aliaeque inimicitiae et insidiae. atque ego sophisticam artem dico quidem esse vetustam, eos autem qui ipsam factitarint de veteribus viris, veritos eius invidiam et offensionem, involucrum fecisse ac praetendisse alios poesin, veluti Homerum et Hesiodum et Simonidem, alios mysteria et oracula, ut Orpheum et Musaeum; nonnullos vero comperi etiam gymnasticam praetendisse artem, ut Iccus Tarentinus fecit et qui hodieque vivit, nullo inferior sophistes, Herodicus Selybrianus, antiquitus Megareus; musicam autem vester Agathocles involucrum fecerat, qui magnus erat sophistes, Pythoclides Ceus et alii multi. hi omnes, ut dico, invidiam veriti, his artibus pro involucris usi sunt. ego vero his omnibus, quod ad hoc attinet, non assentior; censeo enim ipsos haudquaquam assequutos esse quod voluissent, quia non latuerint homines, qui potestatem habent in civitatibus rerum gerendarum, quorum quidem causa haec sunt involucra; nam volgus quidem nihil propemodum sentit, sed, quicquid illi profitentur, id decantat. iam aufugientem non posse aufugere, sed deprehendi, magna stultitia incepti multoque infensiores homines reddat necesse est; censent enim huiusmodi hominem ad reliqua etiam vafrum esse. quocirca equidem prorsus contrariam atque illi viam ingressus sum; quippe fateor me sophisten esse et instituere homines, et hanc cautionem existimo illa meliorem esse: fateri potius quam negare; alias quoque ad hanc circumspexi: ut, deo annuente, nihil mali mihi accidat ex eo, quod sophisten me esse fateor. quamquam multos iam annos artem factito; etenim in universum multos habeo annos: nemo ex vobis omnibus est, cuius non possim pro aetate pater esse. quocirca longe mihi gratissimum est, si quid vultis, de eo coram omnibus qui intus versantur verba facere.

Καὶ ἐγώ (ὑπώπτευσα γὰρ βούλεσθαι αὐτὸν τῷ τε Προδίκῳ καὶ τῷ Ἱππίᾳ ἐνδείξασθαι καὶ καλλωπίσασθαι, ὅτι ἐρασταὶ αὐτοῦ ἀφιγμένοι εἴημεν) Τί οὖν, ἔφην ἐγώ, * οὐ καὶ D
Πρόδικον καὶ Ἱππίαν ἐκαλέσαμεν καὶ τοὺς μετ' αὐτῶν, ἵνα ἐπακούσωσιν ἡμῶν; Πάνυ μὲν οὖν, ἔφη ὁ Πρωταγόρας. Βούλεσθε οὖν, ὁ Καλλίας ἔφη, ξυνέδριον κατασκευάσωμεν, ἵνα καθεζόμενοι διαλέγησθε; Ἐδόκει χρῆναι. ἄσμενοι δὲ πάντες ἡμεῖς, ὡς ἀκουσόμενοι ἀνδρῶν σοφῶν, καὶ αὐτοί τε *) ἀντιλαβόμενοι τῶν βάθρων καὶ τῶν κλινῶν, κατεσκευάζομεν παρὰ τὸν Ἱππίαν· ἐκεῖ γὰρ προϋπῆρχε τὰ βάθρα. ἐν δὲ τούτῳ
Καλλίας τε καὶ * Ἀλκιβιάδης ἡκέτην ἄγοντε τὸν Πρόδικον, E
ἀναστήσαντες ἐκ τῆς κλίνης, καὶ τοὺς μετὰ τοῦ Προδίκου.

Ἐπεὶ δὲ πάντες ξυνεκαθεζόμεθα, Πρωταγόρας, Νῦν δὴ ἄν, ἔφη, λέγοις, ὦ Σώκρατες, ἐπειδὴ καὶ οἵδε πάρεισι, περὶ ὧν ὀλίγῳ πρότερον μνείαν ἐποιοῦ πρὸς ἐμὲ ὑπὲρ τοῦ νεα-
νίσκου. Καὶ ἐγὼ εἶπον ὅτι Ἡ αὐτή μοί ἐστιν ἀρχή, * ὦ 318
Πρωταγόρα, ἥπερ ἄρτι, περὶ ὧν ἀφικόμην. Ἱπποκράτης γὰρ ὅδε τυγχάνει ὢν ἐν ἐπιθυμίᾳ τῆς σῆς ξυνουσίας· ὅ τι οὖν αὐτῷ ἀποβήσεται, ἐάν σοι ξυνῇ, ἡδέως ἄν φησι πυθέσθαι. τοσοῦτος ὅ γε ἡμέτερος λόγος. Ὑπολαβὼν οὖν ὁ Πρωταγόρας εἶπεν Ὦ νεανίσκε, ἔσται τοίνυν σοι, ἐὰν ἐμοὶ ξυνῇς, ᾗ ἂν ἡμέρᾳ ἐμοὶ ξυγγένῃ, ἀπιέναι οἴκαδε βελτίονι γεγονότι, καὶ ἐν τῇ ὑστεραίᾳ ταὐτὰ ταῦτα, καὶ ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ
τὸ βέλτιον ἐπιδιδόναι. Καὶ ἐγὼ ἀκού*σας εἶπον Ὦ Πρωτα- B
γόρα, τοῦτο μὲν οὐδὲν θαυμαστὸν λέγεις, ἀλλ' εἰκός, ἐπεὶ κἂν σύ, καίπερ τηλικοῦτος ὢν καὶ οὕτω σοφός, εἴ τίς σε διδάξειεν, ὃ μὴ τυγχάνοις ἐπιστάμενος, βελτίων ἂν γένοιο. ἀλλὰ μὴ οὕτως, ἀλλ' ὥσπερ ἂν εἰ αὐτίκα μάλα μεταβαλὼν τὴν ἐπιθυμίαν Ἱπποκράτης ὅδε ἐπιθυμήσειε τῆς ξυνουσίας τούτου τοῦ νεανίσκου τοῦ νῦν νεωστὶ ἐπιδημοῦντος, Ζευξίππου τοῦ Ἡρακλεώτου, καὶ ἀφικόμενος παρ' αὐτόν, ὥσπερ παρὰ σὲ νῦν,
ἀκούσειεν * αὐτοῦ ταὐτὰ ταῦτα, ἅπερ σοῦ, ὅτι ἑκάστης ἡμέ- C
ρας ξυνὼν αὐτῷ βελτίων ἔσται καὶ ἐπιδώσει· εἰ αὐτὸν ἐπανέροιτο Τί δή φῃς βελτίω ἔσεσθαι καὶ εἰς τί ἐπιδώσειν; εἴποι

*) ἴσ. καὶ αὐτοί γε.

Atque ego (suspicabar enim ipsum velle Prodico et Hippiae ostentare atque gloriari, quod amatores sui advenissemus) Quin, inquam, Prodicum et Hippiam eorumque socios vocamus, ut nos audiant? Maxime vero, inquit Protagoras. Vultisne igitur, Callias ait, consessum instruamus, ut sedentes disseratis? Visum hoc est necessarium; atque laeti nos omnes, quippe viros sapientes audituri, quin etiam ipsi subsellia et lectos apprehendentes, instruximus eum prope Hippiam; ibi enim iam ante erant subsellia. interea Callias et Alcibiades venerunt, Prodicum quem e lecto excitaverant eiusque asseclas adducentes.

Omnes quum consedissemus, Protagoras Nunc igitur, Socrate, inquit, quum hi quoque adsint, expone ea de quibus paullo ante mentionem fecisti coram me adolescentis causa. Tum ego Idem, Protagora, inquam, orationis meae initium est, quod ante, de iis ob quae veni. hic videlicet Hippocrates desiderio tenetur tuae consuetudinis; iam quid ipsi eventurum sit, si te utatur, id se cupere dicit audire. tantula est nostra quidem oratio. Suscipiens tum Protagoras O adolescens, inquit, obtinget tibi, si me utaris, ut, quacumque die mecum fueris, domum redeas melior factus, et postera die itidem, et in singulos dies melior evadas. Tum ego, his auditis, O Protagora, inquam, hoc quidem non est mirabile quod dicis, sed consentaneum; nam tu quoque, licet tam grandis natu tamque sapiens sis, si quis te doceat quod nescias, melior sine dubio evades. verum non ita, sed, quemadmodum, si hic Hippocrates, illico desiderio mutato, consuetudinem desideret adolescentis illius, qui nunc nuper advenit, Zeuxippi Heracleotae, et accedens ad ipsum, sicut nunc ad te, audiat ex eo eadem haec quae ex te, in singulos se dies, ipso utentem, meliorem evasurum ac profecturum esse; si ipsum praeterea interroget Qua tandem in re me dicis meliorem evasurum ac profecturum esse, respondeat illi Zeuxip-

ἂν αὐτῷ Ζεύξιππος ὅτι Πρὸς γραφικήν· κἂν εἰ Ὀρθαγόρᾳ τῷ Θηβαίῳ ξυγγενόμενος, ἀκούσας ἐκείνου ταὐτὰ ταῦτα, ἅπερ σοῦ, ἐπανέροιτο αὐτόν, εἰς ὅ τι βελτίων καθ' ἡμέραν ἔσται ξυγγιγνόμενος ἐκείνῳ, εἴποι ἂν ὅτι Εἰς αὔλησιν· οὕτω δὲ καὶ σὺ εἰπὲ τῷ νεανίσκῳ καὶ ἐμοὶ ὑπὲρ τούτου ἐρω-
τῶν *τι Ἱπποκράτης ὅδε Πρωταγόρᾳ ξυγγενόμενος, ᾗ ἂν D
αὐτῷ ἡμέρᾳ ξυγγένηται, βελτίων ἄπεισι γενόμενος καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης οὕτως ἐπιδώσει εἰς τί, ὦ Πρωταγόρα, καὶ περὶ τοῦ; Καὶ ὁ Πρωταγόρας ἐμοῦ ταῦτ' ἀκούσας Σύ τε καλῶς, ἔφη, ἐρωτᾷς, ὦ Σώκρατες, καὶ ἐγὼ τοῖς καλῶς ἐρωτῶσι χαίρω ἀποκρινόμενος. Ἱπποκράτης γὰρ παρ' ἐμὲ ἀφικόμενος οὐ πείσεται, ἅπερ ἂν ἔπαθεν ἄλλῳ τῳ ξυγγενόμενος τῶν σοφιστῶν· οἱ μὲν γὰρ ἄλλοι λωβῶν-
ται τοὺς νέους· * τὰς γὰρ τέχνας αὐτοὺς πεφευγότας E
ἄκοντας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τὰς τέχνας, λογισμούς τε καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν διδάσκοντες (καὶ ἅμα εἰς τὸν Ἱππίαν ἀπέβλεψε), παρὰ δ' ἐμὲ ἀφικόμενος μαθήσεται οὐ περὶ ἄλλου του ἢ περὶ οὗ ἥκει· τὸ δὲ μάθημά ἐστιν εὐβουλία περί τε τῶν οἰκείων, ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ, καὶ περὶ τῶν
τῆς πόλεως, ὅπως τὰ τῆς πό*λεως δυνατώτατος ἂν εἴη 319
καὶ πράττειν καὶ λέγειν. Ἆρ', ἔφην ἐγώ, ἕπομαί σου τῷ λόγῳ· δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην καὶ ὑπισχνεῖσθαι ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας. Αὐτὸ μὲν οὖν τοῦτό ἐστιν, ἔφη, ὦ Σώκρατες, τὸ ἐπάγγελμα ὃ ἐπαγγέλλομαι. Ἦ καλόν, ἦν δ' ἐγώ, τέχνημα ἄρα κέκτησαι, εἴπερ κέκτησαι· οὐ γάρ τι ἄλλο πρὸς σὲ εἰρήσεται, ἢ ἅπερ νοῶ. ἐγὼ γὰρ τοῦτο, ὦ Πρωταγόρα, οὐκ ᾤμην διδακτὸν
εἶναι, σοὶ δὲ λέγοντι οὐκ * ἔχω ὅπως ἂν ἀπιστῶ. ὅθεν δὲ B
ἡγοῦμαι αὐτὸ οὐ διδακτὸν εἶναι μηδ' ὑπ' ἀνθρώπων παρασκευαστὸν ἀνθρώποις, δίκαιός εἰμι εἰπεῖν. ἐγὼ γὰρ Ἀθηναίους, ὥσπερ καὶ οἱ ἄλλοι Ἕλληνες, φημὶ σοφοὺς εἶναι· ὁρῶ οὖν, ὅταν ξυλλεγῶμεν εἰς τὴν ἐκκλησίαν, ἐπειδὰν μὲν περὶ οἰκοδομίας τι δέῃ πρᾶξαι τὴν πόλιν, τοὺς οἰκοδόμους μεταπεμπομένους ξυμβούλους περὶ τῶν οἰκοδομημάτων, ὅταν δὲ περὶ ναυπηγίας, τοὺς ναυπηγούς·

pus in arte pingendi; et si cum Orthagora Thebano colloquens eademque ex ipso audiens, quae ex te, quaerat ex eo, qua in re melior sit quotidie evasurus ipso utens, hic respondeat in tibiae cantu: ita tu quoque adolescenti et mihi ipsius nomine interroganti dic: Hippocrates hic Protagora utens, quacumque die ipso utitur, melior factus abibit et postera unaquaque die ita proficiet — quanam in re, Protagora, et ad quid? Tum Protagoras, quum haec a me audivisset, Bene tu, inquit, Socrate, interrogas et ego bene interrogantibus libenter respondeo. Hippocrates videlicet ad me veniens non perpetietur, quod perpessurus sit alio quopiam utens sophistarum; reliqui enim corrumpunt iuvenes; nam quum artes illi effugerunt, invitos eos retractos ad artes compellunt, numerandi artem, astronomiam, geometriam et musicam docentes (quae quidem dicens Hippiam adspexit), ad me autem si venerit, nihil aliud discet nisi id ipsum cuius gratia accesserit; disciplina vero haec est prudentia in rebus tam domesticis, quomodo optime res suas familiares administrare possit, quam publicis, quomodo rerum publicarum peritissimus sit et gerendarum et exponendarum. Sane, inquam, assequor verba tua; videris enim mihi dicere artem civilem et promittere viros reddere bonos cives. Haec ipsa est, Socrate, inquit, professio quam profiteor. Sane quam pulchram, inquam, artem possides, siquidem possides; neque enim aliud quid ad te dicam, nisi quod sentiam. etenim hoc, Protagora, non putaveram doceri posse, tibi vero affirmanti nescio quomodo diffidam. cur autem censeam non posse id doceri nec ab hominibus comparari hominibus, par est me dicere. enimvero Athenienses, ut reliqui quoque Graeci, iudico sapientes esse; iam video, quando convenimus in concionem, si quid ad aedificationem pertinens cives oportet tractare, aedificatores advocatos, qui consilium dent de aedificiis, sin de navium constructione, navium

καὶ τἆλλα πάντα οὕτως, ὅσα ἡ*γοῦνται μαθητά τε καὶ δι- C
δακτὰ εἶναι. ἐὰν δέ τις ἄλλος ἐπιχειρῇ αὐτοῖς ξυμβουλεύ-
ειν, ὃν ἐκεῖνοι μὴ οἴονται δημιουργὸν εἶναι, κἂν πάνυ
καλὸς ᾖ καὶ πλούσιος καὶ τῶν γενναίων, οὐδέν τι μᾶλλον
ἀποδέχονται, ἀλλὰ καταγελῶσι καὶ θορυβοῦσιν, ἕως ἂν ἢ
αὐτὸς ἀποστῇ ὁ ἐπιχειρῶν λέγειν καταθορυβηθείς, ἢ οἱ
τοξόται αὐτὸν ἀφελκύσωσιν ἢ ἐξαίρωνται κελευόντων τῶν
πρυτάνεων. περὶ μὲν οὖν ὧν οἴονται ἐν τέχνῃ εἶναι, οὕτω
διαπράττονται· ἐπειδὰν δέ τι περὶ τῆς * πόλεως διοική- D
σεως δέῃ βουλεύσασθαι, ξυμβουλεύει αὐτοῖς ἀνιστάμενος
περὶ τούτων ὁμοίως μὲν τέκτων, ὁμοίως δὲ χαλκεύς, σκυ-
τοτόμος, ἔμπορος, ναύκληρος, πλούσιος, πένης, γενναῖος,
ἀγεννής, καὶ τούτοις οὐδεὶς τοῦτο ἐπιπλήττει, ὥςπερ τοῖς
πρότερον, ὅτι οὐδαμόθεν μαθὼν οὐδὲ ὄντος διδασκάλου
οὐδενὸς αὐτῷ, ἔπειτα ξυμβουλεύειν ἐπιχειρεῖ· δῆλον γὰρ
ὅτι οὐχ ἡγοῦνται διδακτὸν εἶναι. μὴ τοίνυν ὅτι τὸ κοινὸν
τῆς πόλεως οὕτως ἔχει, ἀλλ' ἰδίᾳ ἡμῖν * οἱ σοφώτατοι καὶ E
ἄριστοι τῶν πολιτῶν ταύτην τὴν ἀρετὴν ἣν ἔχουσιν οὐχ
οἷοί τε ἄλλοις παραδιδόναι. ἐπεὶ Περικλῆς, ὁ τουτωνὶ τῶν
νεανίσκων πατήρ, τούτους, ἃ μὲν διδασκάλων εἴχετο, κα-
λῶς καὶ εὖ ἐπαίδευσεν, ἃ δὲ αὐτὸς * σοφός ἐστιν, οὔτε 320
αὐτὸς παιδεύει οὔτε τῳ ἄλλῳ παραδίδωσιν, ἀλλ' αὐτοὶ πε-
ριϊόντες νέμονται ὥςπερ ἄφετοι, ἐάν που αὐτόματοι περι-
τύχωσι τῇ ἀρετῇ. εἰ δὲ βούλει, Κλεινίαν τὸν Ἀλκιβιάδου
τουτουῒ νεώτερον ἀδελφὸν ἐπιτροπεύων ὁ αὐτὸς οὗτος
ἀνὴρ Περικλῆς, δεδιὼς περὶ αὐτοῦ, μὴ διαφθαρῇ δὴ ὑπὸ
Ἀλκιβιάδου, ἀποσπάσας ἀπὸ τούτου, καταθέμενος ἐν Ἀρί-
φρονος ἐπαίδευε, καὶ πρὶν ἓξ μῆνας γεγονέναι, ἀπέδωκε
τούτῳ *), οὐκ ἔχων ὅ τι χρή*σαιτο αὐτῷ. καὶ ἄλλους σοι B
παμπόλλους ἔχω λέγειν, οἳ αὐτοὶ ἀγαθοὶ ὄντες οὐδένα πώ-
ποτε βελτίω ἐποίησαν οὔτε τῶν οἰκείων οὔτε τῶν ἀλλο-
τρίων. ἐγὼ οὖν, ὦ Πρωταγόρα, εἰς ταῦτα ἀποβλέπων οὐχ
ἡγοῦμαι διδακτὸν εἶναι τὴν ἀρετήν· ἐπειδὴ δέ σου ἀκούω
ταῦτα λέγοντος, κάμπτομαι καὶ οἶμαί τί σε λέγειν διὰ τὸ

---

*) ἴσ. ἀπέδωκεν οὗτος.

fabricatores, et ſic in reliquis omnibus quae cenſent diſci ac doceri poſſe. quodſi quis alius aggreditur conſilium ipſis dare, quem non eſſe opificem arbitrantur, etiamſi valde honeſtus et dives et ingenuorum aliquis eſt, nihilo tamen magis permittunt, ſed derident et obſtrepunt, donec aut ipſe ſecedat qui dicere aggrediebatur, ſtrepitu deiectus, aut ſagittarii eum abstraxerint vel abstulerint, iubentibus conſilii publici principibus. de his igitur, quos iudicant artem factitare, ita agunt. verum ſi de civitatis adminiſtratione oportet deliberari, conſilium ipſis dat de his ſurgens faber, tam tignarius quam ferrarius, ſutor, mercator, navicularius, dives, pauper, ingenuus, ignobilis, iisque nemo, ut prioribus, hoc obiicit, quod, licet a nemine didicerint nullumque magiſtrum habuerint, conſilium dare aggrediantur; nimirum arbitrantur id doceri non poſſe. neque ſolum civitatis commune ita ſentit, verum etiam privatim ſapientiſſimi et optimi civium noſtrorum eam quam habent virtutem non poſſunt aliis tradere. nam Pericles, horum iuvenum pater, ipſos omnibus, quae a magiſtris ſuspenſa erant, pulchre ac bene inſtituendos curavit, iis vero, quorum ipſe ſapiens eſt, neque ipſe inſtituit neque alii ulli committit, ſed illi oberrantes paſcuntur quaſi a cuſtodia liberi, ſicubi forſitan ultro incidant in virtutem. ſin vis, Cliniam Alcibiadis huius fratrem iuniorem idem vir Pericles, eius tutelam gerens, quoniam timebat ne corrumperetur ab Alcibiade, avulſit ab hoc et Ariphroni cuſtodiendum atque inſtituendum tradidit; at priusquam ſex menſes praeteriſſent, hic illum reddidit, neſciens, quid ipſi faceret; et alios tibi permultos habeo dicere, qui, etſi ipſi boni erant, neminem tamen umquam meliorem effecerunt neque familiarium neque alienorum. quocirca ego, Protagora, haec reſpiciens non poſſe virtutem doceri arbitror; quum vero te audio haec dicentem, flector atque opinor te aliquid dicere,

ἡγεῖσθαί σε πολλῶν μὲν ἔμπειρον γεγονέναι, πολλὰ δὲ
μεμαθηκέναι, τὰ δὲ αὐτὸν ἐξευρηκέναι. εἰ οὖν ἔχεις ἐναρ-
γέστερον ἡμῖν ἐπιδεῖ*ξαι ὡς διδακτόν ἐστιν ἡ ἀρετή, μὴ C
φθονήσῃς, ἀλλ' ἐπίδειξον. Ἀλλ', ὦ Σώκρατες, ἔφη, οὐ
φθονήσω· ἀλλὰ πότερον ὑμῖν, ὡς πρεσβύτερος νεωτέροις,
μῦθον λέγων ἐπιδείξω, ἢ λόγῳ διεξελθών; Πολλοὶ οὖν
αὐτῷ ὑπέλαβον τῶν παρακαθημένων, ὁποτέρως βούλοιτο,
οὕτω διεξιέναι. Δοκεῖ τοίνυν μοι, ἔφη, χαριέστερον εἶναι
μῦθον ὑμῖν λέγειν.

Ἦν γάρ ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ
γένη οὐκ ἦν. ἐπειδὴ δὲ * καὶ τούτοις χρόνος ἦλθεν εἱμαρ- D
μένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον, ἐκ γῆς
καὶ πυρὸς μίξαντες καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται.
ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προ-
μηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις
ἑκάστοις, ὡς πρέπει. Προμηθέα δὲ παραιτεῖται Ἐπιμη-
θεὺς αὐτὸς νεῖμαι· Νείμαντος δ' ἐμοῦ, ἔφη, ἐπίσκεψαι·
καὶ οὕτω πείσας νέμει. νέμων δὲ τοῖς * μὲν ἰσχὺν ἄνευ E
τάχους προσῆπτε, τὰ δ' ἀσθενέστερα τάχει ἐκόσμει, τὰ δὲ
ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν ἄλλην τιν' αὐτοῖς
ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμι-
κρότητι ἤμπισχε, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνε-
μεν, ἃ δὲ ηὖξε μεγέθει, τῷ*δε αὐτῷ αὐτὰ ἔσωζε, καὶ 321
τἆλλ' οὕτως ἐπανισῶν ἔνεμε. ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν
ἔχων, μή τι γένος ἀϊστωθείη. ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθο-
ριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμά-
ρειαν ἐμηχανᾶτο, ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ
στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς
δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ
αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐ*τοφυὴς ἑκάστῳ· B
καὶ ὑπὸ ποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ θριξὶ καὶ δέρμασι
στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας
ἐξεπόριζε, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων
καρπούς, τοῖς δὲ ῥίζας, ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν

propterea quod exiſtimo multarum te rerum peritum eſſe multaque vel didiciſſe vel ipſum inveniſſe. quodſi igitur clarius nobis oſtendere potes doceri poſſe virtutem, ne recuſa, ſed demonſtra. Sane quidem, Socrate, inquit, non recuſabo; ſed utrum ita demonſtrem ut vobis iunioribus ipſe ſenior fabulam narrem, an ita ut oratione exponam? Multi eorum, qui aſſidebant, reſponderunt ipſi, ut, utro modo vellet, ita explicaret. Videtur autem mihi, inquit, gratius eſſe fabulam vobis narrare.

Fuit igitur aliquando tempus, quum dii erant, mortalia autem genera non erant. his quoque quum tempus naſcendi praeſtitutum veniſſet, fingunt ea dii ſub terra, e terra et igne componentes iisque omnibus, quae ex igne et terra temperantur. atque quum in lucem ea producere vellent, imperabant Prometheo et Epimetheo, ut ea ornarent ſingulisque facultates tribuerent, ut deceret. Prometheum vero Epimetheus id exorat ut ipſe tribuat. Me, inquit, tribuente inſpice. itaque quum illi perſuaſiſſet, tribuit; tribuens vero aliis robur ſine celeritate adiunxit, imbecilliora celeritate inſtruxit, alia armavit, iis vero, quibus inermem dederat naturam, aliam excogitavit facultatem incolumitatis cauſa. etenim quibus parvitatem induerat, his volatilem fugam vel ſubterraneum domicilium tribuit, quae vero magnitudine auxerat, ea hac ipſa ſervavit, et reliqua ita adaequans tribuit. haec autem excogitavit cautionem adhibens, ne ullum genus deleretur. poſtquam vero iis mutuae conſumptionis effugia ſuppeditaverat, caeli tempeſtatibus ſubſidia paravit, amiciens ea et ſpiſſis pilis et ſolidis pellibus, aptis ad frigus, idoneis ad calorem arcendum, ſimulque ut cubilia ineuntibus haec ipſa eſſent ſingulorum proprium et ſponte natum ſtragulum; ſub pedibus vero alia ungulis armavit, alia pilis et pellibus ſolidis ſanguineque carentibus. deinde paſtus aliis alios comparavit, his e terra gramen, illis arborum fructus, aliis radices, nonnullis vero eum

ζώων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν προςῆψε,
τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν
τῷ γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ
Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν κατα*ναλώσας τὰς δυνάμεις [εἰς C
τὰ ἄλογα]. λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ τῶν ἀνθρώ-
πων γένος, καὶ ἠπόρει ὅ τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρ-
χεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν
ἄλλα ζῶα ἐμμελῶς πάντων *) ἔχοντα, τὸν δὲ ἄνθρωπον γυ-
μνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ
καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέ-
ναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεὺς ἥν-
τινα σωτηρίαν * τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ D
Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί (ἀμήχανον γὰρ ἦν
ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι), καὶ οὕτω
δὴ δωρεῖται ἀνθρώπῳ. τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄν-
θρωπος ταύτῃ ἔσχε, τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ
τῷ Διΐ· τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ
Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰςελθεῖν (πρὸς δὲ καὶ αἱ
Διὸς φυλακαὶ φοβεραὶ ἦσαν), εἰς δὲ τὸ τῆς * Ἀθηνᾶς E
καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην,
λαθὼν εἰςέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην
τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς δί-
δωσιν ἀνθρώπῳ. καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ
τοῦ βίου γίγνεται, Προμηθέα δὲ * δι' Ἐπιμηθέα ὕστερον, 322
ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. ἐπειδὴ δὲ ὁ ἄνθρω-
πος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ
ξυγγένειαν ζώων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βω-
μούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν, ἔπειτα φωνὴν καὶ
ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ
ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τρο-
φὰς εὕρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρω-
ποι ᾤκουν σποράδην, * πόλεις δὲ οὐκ ἦσαν. ἀπώλλυντο B
οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι
εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν

---

*) ἴσ. πάντως.

paſtum tribuit ut alia animalia vorarent; et his quidem prolis paucitatem attribuit, illis vero, qui ab iis conſumerentur, prolis ubertatem, incolumitatem generi parans. iam Epimetheus, utpote qui non valde ſapiens erat, imprudens conſumpſerat facultates [in bruta animalia]. reſtabat igitur ei nondum ornatum hominum genus, et neſciebat quid faceret. ad neſcientem vero accedit Prometheus inſpecturus distributionem, et videt cetera quidem animalia prorſus concinne ſe habentia, hominem autem nudum, nec calceatum nec inſtratum nec armatum. iam vero etiam praeſtitutus dies aderat, quo hominem quoque oportebat e terra in lucem prodire. haeſitans igitur Prometheus quam ſalutem homini inveniat, ſuratur Vulcani et Minervae artificioſam ſapientiam una cum igne (fieri enim non poterat, ſine igne ut hanc quisquam ſibi acquireret vel ea uteretur); itaque eam donat homini. hanc igitur, quae ad vitam ſpectat, ſapientiam homo ita obtinuerat, nec vero civilem tenebat; erat enim apud Iovem; Prometheo autem arcem, Iovis domicilium, non amplius licebat intrare (praeterea Iovis cuſtodes terribiles erant); at Minervae et Vulcani officinam communem, in qua in artes incumbebant, clam intrat, furansque igneam Vulcani artem ceterasque Minervae dat homini. atque inde facultas quidem homini vivendi data. Prometheum vero Epimethei culpa poſthac, ſicut narratur, furti poena perſequuta eſt. poſtquam homo divinae particeps ſortis factus erat, primum pro ea quam cum deo habebat cognatione ſolus ex animantibus deos agnovit inſtituitque aras et ſtatuas deorum collocare; deinde vocem et vocabula articulatim compoſita celeriter finxit arte opitulante, et domicilia et veſtimenta et calceamenta et ſtragula et paſtum e terra invenit. hac igitur ratione inſtructi homines initio habitabant ſparſi (urbes enim non erant); quocirca peribant a beſtiis, quia omni ex parte imbecilliores illis erant, et ars operaria ad paſtum qui-

ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. ἐζήτουν δὴ ἀθροίζεσθαι καὶ σώζεσθαι κτίζοντες πόλεις. ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥςτε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν δεί*σας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπό- C
λοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοί, φιλίας ξυναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις. Πότερον, ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί. καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω; * Ἐπὶ πάντας, ἔφη ὁ Ζεύς, D
καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν, ὥςπερ ἄλλων τεχνῶν. καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν, ὡς νόσον πόλεως.

Οὕτω δή, ὦ Σώκρατες, καὶ διὰ ταῦτα οἵ τε ἄλλοι καὶ Ἀθηναῖοι, ὅταν μὲν περὶ ἀρετῆς τεκτονικῆς ᾖ λόγος ἢ ἄλλης τινὸς δημιουργικῆς, ὀλίγοις οἴονται μετεῖναι ξυμβουλῆς, καὶ ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων ξυμβουλεύῃ, οὐκ * ἀνέχονται, ὡς σύ φῃς, εἰκότως, ὡς ἐγώ φημι· E
ὅταν δὲ εἰς ξυμβουλὴν πολιτικῆς ἀρετῆς * ἴωσιν, ἣν δεῖ 323
διὰ δικαιοσύνης πᾶσαν ἰέναι καὶ σωφροσύνης, εἰκότως ἅπαντος ἀνδρὸς ἀνέχονται, ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρετῆς, ἢ μὴ εἶναι πόλεις. αὕτη, ὦ Σώκρατες, τούτου αἰτία *).

Ἵνα δὲ μὴ οἴῃ ἀπατᾶσθαι, ὡς τῷ ὄντι ἡγοῦνται πάντες ἄνθρωποι πάντ' ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς ἄλλης πολιτικῆς ἀρετῆς, τόδε αὖ λαβὲ τεκμήριον. ἐν γὰρ ταῖς ἄλλαις ἀρεταῖς, ὥςπερ σὺ λέγεις, ἐάν

---

*) ἴσ. ἡ αἰτία.

dem ſatis afferebat adiumenti, ad bellum cum beſtiis gerendum non item; civilem enim artem nondum tenebant, cuius pars eſt militaris. cupiebant igitur unum in locum ſe congregare et conſervare urbibus condendis. quoties vero congregati erant, toties iniuriam inter ſe inferebant, utpote artem civilem non tenentes: ut rurſum disſipati perirent. Iuppiter igitur, metuens de genere noſtro ne prorſus interiret, Mercurium miſit qui adduceret in hominum coetum verecundiam et iuſtitiam, ut eſſent civitatum et ornamenta et vincula, amicitiam coniugantia. Quaerit vero Mercurius ex Iove, quo pacto tribuat iuſtitiam et verecundiam hominibus. Utrum, quemadmodum artes diviſae ſunt, ita has quoque dividam? diviſae autem ſunt ita: unus, qui tenet medicinam, multis ſufficit artis illius imperitis, et ſic reliqui opifices. iuſtitiam igitur et verecundiam utrum ita collocem in hominibus, an viritim distribuam? Viritim, inquit Iuppiter; nempe omnes ſunto participes; nullae enim exſiſtent urbes, ſi pauci illarum participes ſunt, ſicuti reliquarum artium; quin etiam legem ſancito a me, ut, ſi quis verecundiae et iuſtitiae particeps eſſe nequeat, is interficiatur tamquam peſtis civitatis.

Ita, igitur, Socrate, et hanc ob cauſam et alii et Athenienſes, quando de virtute fabrili agitur vel de alia quapiam operaria, ad paucos arbitrantur pertinere conſultationem, et ſi quis, qui in paucis illis non eſt, conſilium dat, non permittunt, ut tu dicis, merito ac iure. ut ego dico; ſin autem conſultationem de virtute civili inſtituunt, quam quidem oportet omnino iuſtitiam et temperantiam perſequi, iure cuivis viro hoc permittunt, quia in omnes cadit ut huius quidem virtutis participes ſint; alioquin urbes non erunt. haec, Socrate, huius rei cauſa eſt.

Ne autem arbitrere falſo tibi a me perſuaderi, revera exiſtimare omnes homines quemlibet virum participem eſſe iuſtitiae ceterarumque civilium virtutum, hoc quoque accipe argumentum. etenim in ceteris vir-

τις φῇ ἀγαθὸς αὐλητὴς εἶναι ἢ ἄλλην ἡντινοῦν τέχνην,
ἣν μή ἐ*στιν, ἢ καταγελῶσιν ἢ χαλεπαίνουσι, καὶ οἱ οἰ- B
κεῖοι προςιόντες νουθετοῦσιν ὡς μαινόμενον, ἐν δὲ δι-
καιοσύνῃ καὶ ἐν τῇ ἄλλῃ πολιτικῇ ἀρετῇ, ἐάν τινα καὶ
εἰδῶσιν ὅτι ἄδικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ
τἀληθῆ λέγῃ ἐναντίον πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο
εἶναι, τἀληθῆ λέγειν, ἐνταῦθα μανίαν, καί φασι πάντας
δεῖν φάναι εἶναι δικαίους, ἐάν τε ὦσιν ἐάν τε μή, ἢ
μαίνεσθαι τὸν μὴ προςποιούμενον δικαιοσύνην, ὡς ἀναγ-
καῖον οὐδένα ὅν*τιν' οὐχὶ ἀμωςγέπως μετέχειν αὐτῆς, ἢ C
μὴ εἶναι ἐν ἀνθρώποις.

Ὅτι μὲν οὖν πάντ' ἄνδρα εἰκότως ἀποδέχονται περὶ
ταύτης τῆς ἀρετῆς ξύμβουλον διὰ τὸ ἡγεῖσθαι παντὶ με-
τεῖναι αὐτῆς, ταῦτα λέγω, ὅτι δὲ αὐτὴν οὐ φύσει ἡγοῦν-
ται εἶναι οὐδ' ἀπὸ τοῦ αὐτομάτου, ἀλλὰ διδακτόν τε καὶ
ἐξ ἐπιμελείας παραγίγνεσθαι, ᾧ ἂν παραγίγνηται, τοῦτό
σοι μετὰ τοῦτο πειράσομαι ἀποδεῖξαι. ὅσα γὰρ ἡγοῦνται
ἀλλήλους κακὰ ἔ*χειν ἄνθρωποι φύσει ἢ τύχῃ, οὐδεὶς D
θυμοῦται οὐδὲ νουθετεῖ οὐδὲ διδάσκει οὐδὲ κολάζει τοὺς
ταῦτα ἔχοντας, ἵνα μὴ τοιοῦτοι ὦσιν, ἀλλ' ἐλεοῦσιν· οἷον
τοὺς αἰσχροὺς ἢ σμικροὺς ἢ ἀσθενεῖς τίς οὕτως ἀνόητος,
ὥςτε τι τούτων ἐπιχειρεῖν ποιεῖν; ταῦτα μὲν γὰρ ἴσασιν,
οἶμαι, ὅτι φύσει τε καὶ τύχῃ τοῖς ἀνθρώποις γίγνεται, τὰ
καλὰ καὶ τἀναντία τούτοις, ὅσα δὲ ἐξ ἐπιμελείας καὶ ἀσκή-
σεως καὶ διδαχῆς οἴονται γίγνεσθαι ἀγαθὰ ἀνθρώποις, ἐάν
τις ταῦτα μὴ ἔχῃ, ἀλλὰ τἀναντία τούτων κακά, ἐπὶ τού-
τοις που οἵ τε θυμοὶ γίγνονται καὶ αἱ κολάσεις καὶ αἱ
νουθετήσεις. ὧν ἐστὶν ἓν καὶ ἡ ἀδικία καὶ ἡ ἀσέβεια καὶ
ξυλλήβδην πᾶν τὸ * ἐναντίον τῆς πολιτικῆς ἀρετῆς. ἔν- 324
θεν δὴ πᾶς παντὶ θυμοῦται καὶ νουθετεῖ, δῆλον ὅτι
ὡς ἐξ ἐπιμελείας καὶ μαθήσεως κτητῆς οὔσης. εἰ γὰρ
ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρατες, τοὺς ἀδι-
κοῦντας τί ποτε δύναται, αὐτό σε διδάξει, ὅτι οἵ γε
ἄνθρωποι ἡγοῦνται παρασκευαστὸν εἶναι ἀρετήν· οὐδεὶς
γὰρ κολάζει τοὺς ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων

tutibus, ut tu ais, si quis se dicit bonum tibicinem esse vel cuiusvis alius artis peritum, cuius ignarus est, vel derident vel indignantur, et familiares accedentes admonent eum tamquam insanientem, in iustitia vero ceterisque civilibus virtutibus etiamsi quem norunt iniustum esse, si hic de se ipse verum dicit coram multis, quod illic pro temperantia habent, verum dicere, id hic insaniam existimant, et dicunt omnes debere se dicere iustos esse, sive sint sive non sint, aut insanire eum, qui iustitiam non profiteatur, quia nemo reperiatur necesse sit, quin una aliqua ratione eius sit particeps, aliter non sit in hominibus.

Quemlibet igitur iure ipsos admittere et in consilium adhibere de hac virtute, quia censeant ad unumquemque eam pertinere, hoc contendo; eam autem ipsos arbitrari non natura inesse nec ultro oriri, sed doctrina comparari et studio obtingere, cuicumque obtingat, hoc tibi iam conabor demonstrare. etenim quaecumque homines mala arbitrantur inter se habere natura aut forte fortuna, de his nemo irascitur nec admonet nec docet nec castigat illis laborantes, ut ne tales sint, sed miserentur; veluti deformibus vel parvis vel imbecillis quis tam demens est qui huiusmodi aliquid instituat facere? haec enim sciunt, opinor, natura et forte fortuna hominibus contingere, sive pulchra sive eorum contraria; quaecumque vero studio et exercitatione et doctrina arbitrantur contingere bona hominibus, si quis haec non habet, sed contraria eorum mala, de iis sane et irae illae exsistunt et castigationes et admonitiones; de quibus quidem unum quoddam etiam iniustitia est et impietas et universe quicquid contrarium est civilis virtutis. hinc igitur quisque cuique irascitur eumque admonet, utpote studio et doctrina eam acquiri posse existimans. nam si reputaveris, Socrate, quid hoc valeat iniuste facientes castigare, ipsum te docebit, homines arbitrari comparari posse virtutem; nemo enim castigat iniuste facientes ad hoc animum attendens et propterea

καὶ * τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅςτις μὴ ὥσπερ θη- B
ρίον ἀλογίστως τιμωρεῖται, ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν
κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμω-
ρεῖται (οὐ γὰρ ἂν τό-γε πραχθὲν ἀγένητον θείη), ἀλλὰ
τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς
οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα· καὶ τοιαύ-
την διάνοιαν ἔχων διανοεῖται παιδευτὴν εἶναι ἀρετήν·
ἀποτροπῆς γοῦν ἕνεκα κολάζει. ταύτην οὖν τὴν δόξαν
πάντες ἔχου*σιν, ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δη- C
μοσίᾳ· τιμωροῦνται δὲ καὶ κολάζονται οἵ τε ἄλλοι ἄν-
θρωποι οὓς ἂν οἴωνται ἀδικεῖν, καὶ οὐχ ἥκιστα Ἀθη-
ναῖοι οἱ σοὶ πολῖται· ὥςτε κατὰ τοῦτον τὸν λόγον καὶ
Ἀθηναῖοι εἰσι τῶν ἡγουμένων παρασκευαστὸν εἶναι καὶ
διδακτὸν ἀρετήν. ὡς μὲν οὖν εἰκότως ἀποδέχονται οἱ σοὶ
πολῖται καὶ χαλκέως καὶ σκυτοτόμου ξυμβουλεύοντος τὰ
πολιτικά, καὶ ὅτι διδακτὸν καὶ παρασκευαστὸν ἡγοῦνται
ἀρετήν, ἀποδέδει*κταί σοι, ὦ Σώκρατες, ἱκανῶς, ὥς γέ D
μοι φαίνεται.

Ἔτι δὴ λοιπὴ ἀπορία *) ἐστίν, ἣν ἀπορεῖς περὶ τῶν
ἀνδρῶν τῶν ἀγαθῶν, τί δή ποτε οἱ ἄνδρες οἱ ἀγαθοὶ τὰ
μὲν ἄλλα τοὺς αὑτῶν υἱεῖς διδάσκουσιν ἃ διδασκάλων ἔχε-
ται καὶ σοφοὺς ποιοῦσιν, ἣν δὲ αὐτοὶ ἀρετὴν ἀγαθοί, οὐδε-
νὸς βελτίους ποιοῦσι. τούτου δὴ πέρι, ὦ Σώκρατες, οὐκέτι
μῦθόν σοι ἐρῶ, ἀλλὰ λόγον. ὧδε γὰρ ἐννόησον, πότερον ἔστι
τι ἓν ἢ οὐκ ἔστιν, οὗ ἀ*ναγκαῖον πάντας τοὺς πολίτας μετέ- E
χειν, εἴπερ μέλλει πόλις εἶναι; ἐν τούτῳ γὰρ αὕτη λύεται ἡ
ἀπορία ἣν σὺ ἀπορεῖς, ἢ ἄλλοθι οὐδαμοῦ. εἰ μὲν γὰρ ἔστι,
καὶ τοῦτό ἐστι τὸ ἓν οὐ τεκτονικὴ οὐδὲ χαλκεία οὐδὲ κεραμεία,
ἀλλὰ δικαιοσύνη * καὶ σωφροσύνη καὶ τὸ ὅσιον εἶναι, καὶ ξυλ- 325
λήβδην ἓν αὐτὸ προςαγορεύω εἶναι ἀνδρὸς ἀρετήν, εἰ τοῦτ᾽
ἐστίν, οὗ δεῖ πάντας μετέχειν καὶ μετὰ τούτου πάντ᾽ ἄνδρα,
ἐάν τι καὶ ἄλλο βούληται μανθάνειν ἢ πράττειν, οὕτω πράτ-
τειν, ἄνευ δὲ τούτου μή, ἢ τὸν μὴ μετέχοντα καὶ διδά-
σκειν καὶ κολάζειν, καὶ παῖδα καὶ ἄνδρα καὶ γυναῖκα,

---

*) Ίσ. ἡ ἀπορία.

quod iniuſte aliquis fecit, niſi forte ut beſtia ſine ulla ratione ulciſcitur; qui vero cum ratione inſtituit caſtigare, non praeteritae iniuriae cauſa ulciſcitur (neutiquam enim id quod factum eſt infectum reddet), ſed futurae gratia, ut ne rurſum iniuſte faciat neque ille ipſe neque alius hunc videns caſtigatum; atque hanc cogitationem habens cogitat inſtitutione parari virtutem; avertendi certe cauſa caſtigat. hac igitur opinione omnes ducuntur, quicumque ulciſcuntur et privatim et publice; ulciſcuntur vero et caſtigant quum alii homines, quoscumque arbitrantur iniuſte facere, tum maxime Athenienſes cives tui: ut ex hac ratione Athenienſes quoque in iis ſint qui arbitrentur comparari et doceri poſſe virtutem. iure igitur permittere cives tuos et fabro aerario et ſutori, ut conſilium dent de rebus civilibus, et virtutem exiſtimare doceri ac parari poſſe, demonſtratum tibi eſt, Socrate, ſatis, ut quidem mihi videtur.

Reliqua adhuc eſt dubitatio, quam habes de viris illis bonis, cur tandem viri illi boni aliis quidem rebus filios ſuos inſtitui curent, quae a magiſtris ſuspenſae ſint, eosque ſapientes reddant, in ea autem virtute, in qua ipſi boni ſint, nemine illos meliores efficiant. de hoc autem, Socrate, iam non fabulam tibi dicam, ſed orationem. ita igitur id reputa. utrum eſt unum quiddam necne, cuius neceſſe eſt omnes cives participes eſſe, ſiquidem urbs futura eſt? hoc enim tollitur dubitatio illa quam habes, aut alia nulla re. ſi enim eſt et hoc unum nec tignaria nec ferraria nec figlina ars eſt, ſed iuſtitia et temperantia et pietas, et in univerſum unum per ſe appello viri virtutem: ſi hoc eſt illud, cuius oportet omnes participes eſſe, ita ut cum hoc unusquisque vir, etiam ſi quid aliud velit diſcere vel efficere, id efficiat, ſine hoc autem non efficiat, et eum, qui illius non ſit particeps, doceant ac caſtigent et puer et vir et femina,

ἕωςπερ ἂν κολαζόμενος βελτίων γένηται, ὃς δ' ἂν μὴ ὑπα-
κούῃ κολαζόμενος καὶ διδασκόμενος, ὡς ἀνίατον ὄντα τοῦ-
τον ἐκβάλλειν * ἐκ τῶν πόλεων ἢ ἀποκτείνειν· εἰ οὕτω B
μὲν ἔχει, οὕτω δ' αὐτοῦ πεφυκότος οἱ ἀγαθοὶ ἄνδρες εἰ τὰ
μὲν ἄλλα διδάσκονται τοὺς υἱεῖς. τοῦτο δὲ μή, σκέψαι ὡς
θαυμασίως γίγνονται οἱ ἀγαθοί. ὅτι μὲν γὰρ διδακτὸν αὐτὸ
ἡγοῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἀπεδείξαμεν, διδακτοῦ δὲ
ὄντος καὶ θεραπευτοῦ τὰ μὲν ἄλλα ἄρα τοὺς υἱεῖς διδά-
σκονται, ἐφ' οἷς οὐκ ἔστι θάνατος ἡ ζημία ἐὰν μὴ ἐπιστῶν-
ται, ἐφ' ὧν δὲ ἥ τε ζημία θάνατος αὐτῶν τοῖς παισὶ καὶ
φυγαὶ μὴ μα*θοῦσι μηδὲ θεραπευθεῖσιν εἰς ἀρετὴν καὶ C
πρὸς τῷ θανάτῳ χρημάτων τε δημεύσεις καὶ ὡς ἔπος εἰ-
πεῖν ξυλλήβδην τῶν οἴκων ἀνατροπαί, ταῦτα δ' ἄρα οὐ δι-
δάσκονται οὐδ' ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν; οἴεσθαί γε
χρή, ὦ Σώκρατες· ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρι
οὗπερ ἂν ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν· ἐπειδὰν
θᾶττον ξυνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ
παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται,
ὅ*πως ὡς βέλτιστος ἔσται ὁ παῖς, παρ' ἕκαστον καὶ ἔργον D
καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι ὅτι τὸ μὲν δίκαι-
ον, τὸ δὲ ἄδικον, καὶ τόδε μὲν καλόν, τόδε δὲ αἰσχρόν,
καὶ τόδε μὲν ὅσιον, τόδε δὲ ἀνόσιον, καὶ τὰ μὲν ποίει,
τὰ δὲ μὴ ποίει· καὶ ἐὰν μὲν ἑκὼν πείθηται, εἰ δὲ μή,
ὥςπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνου-
σιν ἀπειλαῖς καὶ πληγαῖς. μετὰ δὲ ταῦτα εἰς διδασκά-
λων πέμποντες πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐ-
κοσμίας τῶν παίδων ἢ * γραμμάτων τε καὶ κιθαρί- E
σεως· οἱ δὲ διδάσκαλοι τούτων τε ἐπιμελοῦνται, καὶ ἐπει-
δὰν αὖ γράμματα μάθωσι καὶ μέλλωσι ξυνήσειν τὰ γε-
γραμμένα, ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς
ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιή-
ματα καὶ ἐκμανθάνειν ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν
νουθετή*σεις ἔνεισι, πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι καὶ 326
ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς ζηλῶν
μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι. οἵ τ' αὖ κιθαρι-
σταί, ἕτερα τοιαῦτα, σωφροσύνης τε ἐπιμελοῦνται καὶ

quoad caſtigatus melior evaſerit, quicumque vero non obediat caſtigationi ac praeceptioni, is tamquam inſanabilis eiiciatur ex urbibus et interſiciatur; ſi ita eſt, ita vero re comparata ſi boni illi viri ad alias quidem res inſtituendos curant filios ſuos, ad hanc autem non curant, reputa tecum, quam admirabilis ſit bonorum illorum ratio. etenim ipſos doceri id poſſe arbitrari et privatim et publice, demonſtravimus; ergo licet doceri et inſtitutione tradi id poſſit, tamen ad alia quidem filios ſuos inſtituendos curant, quae ſi ignorant non multantur morte, ad haec vero, quae niſi didicerint atque inſtitutione perceperint, virtutem, filiis ſuis mors et exſilia et praeter mortem bonorum publicationes et univerſe propemodum domorum everſiones accidunt: his igitur ut neque inſtitui illos curent neque omnem in ea operam impendant? immo exiſtimemus oportet, Socrate: a teneris unguiculis, usque dum vivunt, et docent et admonent; ſimulatque aliquis ea intelligere coepit quae dicuntur, et nutrix et mater et paedagogus et ipſe pater hoc inter ſe certant, ut quam optimus exſiſtat puer, in unaquaque et actione et dictione docentes et commonſtrantes, hoc iuſtum eſſe, illud iniuſtum, aliud pulchrum, aliud turpe, aliud pium, aliud impium, et: hoc fac, illud ne facias; quodſi ſua ſponte obedit, bene eſt, ſin minus, veluti lignum distortum et inflexum eum dirigunt minis ac plagis. deinde ad magiſtros mittentes multo magis his iniungunt ut curae ſit puerorum modeſtia, quam litterae citharaeque cantus; ludi vero magiſtri curas in hoc conferunt, et quum litteras quoque didicerunt et intelligere poſſunt ſcripta, ſicut antea ſermonem, tradunt iis in ſubſelliis legenda poetarum bonorum carmina eaque ediſcere cogunt, in quibus multae admonitiones inſunt, multae narrationes et laudes et praedicationes priſcorum virorum bonorum, ut puer aemulans eos imitetur atque contendat ut talis exſiſtat. cithariſtis quoque pariter temperantia curae eſt

ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι· πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι, * μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵνα ἡμερώτεροί τε ὦσι καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται. ἔτι τοίνυν πρὸς τούτοις εἰς παιδοτρίβου πέμπουσιν, ἵνα τὰ σώματα βελτίω ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρη*στῇ οὔσῃ, καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν διὰ τὴν πονηρίαν τῶν σωμάτων καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς ἄλλαις πράξεσι. καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι, μάλιστα δὲ δύνανται οἱ πλουσιώτατοι, καὶ οἱ τούτων υἱεῖς, πρωϊαίτατα εἰς διδασκάλων τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν, ὀψιαίτατα ἀπαλλάττονται. ἐπειδὰν δὲ ἐκ διδασκάλων ἀπαλλαγῶσιν, ἡ πόλις αὖ τούς τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ τούτους * ζῆν κατὰ παράδειγμα, ἵνα μὴ αὐτοὶ ἐφ' αὑτῶν εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς, ὥσπερ οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων ὑπογράψαντες γραμμὰς τῇ γραφίδι οὕτω τὸ γραμματεῖον διδόασι καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν, ὣς δὲ καὶ ἡ πόλις νόμους ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν εὑρήματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι, ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει· καὶ ὄνομα τῇ κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολλαχοῦ, ὡς εὐ*θυνούσης τῆς δίκης, εὐθῦναι. τοσαύτης οὖν τῆς ἐπιμελείας οὔσης περὶ ἀρετῆς ἰδίᾳ καὶ δημοσίᾳ, θαυμάζεις, ὦ Σώκρατες, καὶ ἀπορεῖς εἰ διδακτόν ἐστιν ἀρετή; ἀλλ' οὐ χρὴ θαυμάζειν, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ διδακτόν.

B C D E

Διὰ τί οὖν τῶν ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς φαῦλοι γίγνονται, τοῦτο αὖ μάθε· οὐδὲν γὰρ θαυμαστόν, εἴπερ ἀληθῆ ἐγὼ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι τούτου τοῦ πράγματος, τῆς ἀρετῆς, εἰ μέλλει πόλις εἶναι, * οὐδένα δεῖ ἰδιωτεύειν. εἰ γὰρ δὴ ὃ λέγω οὕτως ἔχει (ἔχει δὲ μάλιστα 327

et hoc, ut ne quid iuvenes improbi faciant; praeterea, quum cithara canere didicerunt, rursum aliorum poetarum bonorum, eorumque lyricorum, carmina docent, modulis citharoedicis ea includentes, numerosque et harmonias cogunt se insinuare in animos puerorum, ut mitiores sint et, numerosiores concinnioresque facti, idonei sint ad dicendum et agendum; universa enim hominum vita numerorum convenientia modorumque concinnitate indiget. praeter haec etiam ad palaestrae magistrum eos mittunt, ut corpora melius constituta habentes operam navent menti bene moratae, nec cogantur ignavos se exhibere propter malum corporis habitum et in bello et in reliquis negotiis. atque hoc facere solent qui plurimum valent, plurimum autem valent ditissimi; horum igitur filii, maturissima aetate incipientes ad magistros ventitare, serissime ab iis discedunt. quum vero a ludi magistris discesserunt, civitas rursum eos cogit leges discere et secundum has tamquam exemplar vivere, ne ad suum arbitrium viventes temere agant; immo revera, quemadmodum grammatistae iis pueris qui nondum possunt scribere lineamenta praescribentes stilo tabellam dant eosque scribere cogunt secundum lineamentorum praescriptionem, ita etiam civitas leges praescribens, bonorum et priscorum legis latórum inventa, secundum has cogit et imperare et imperio obedire; quicumque eas migrat, hunc castigat; ac nomen huic castigationi et apud vos et apud alios multos, quia poena corrigit, correctio est. tantae igitur quum curae sit virtus privatim et publice, miraris, Socrate, et dubitas, possitne virtus doceri? at haud oportet mirari, sed multo magis mirandum esset, si non posset doceri.

Cur autem multi bonorum patrum filii pravi exsistant, hoc quoque percipe; neque enim mirandum est, si quidem verum in praegressis dixi, huius rei, virtutis, si civitas futura esset, neminem debere imperitum esse. nam si, quod dico, ita se habet (habet vero omnium

πάντων οὕτως), ἐνθυμήθητι ἄλλο τῶν ἐπιτηδευμάτων ὁτιοῦν καὶ μαθημάτων προελόμενος. εἰ μὴ οἷόν τ' ἦν πόλιν εἶναι, εἰ μὴ πάντες αὐληταὶ ἦμεν, ὁποῖός τις ἐδύνατο ἕκαστος, καὶ τοῦτο καὶ ἰδίᾳ καὶ δημοσίᾳ πᾶς πάντα καὶ ἐδίδασκε καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα, καὶ μὴ ἐφθόνει τούτου, ὥσπερ νῦν τῶν δικαίων καὶ τῶν νομίμων οὐδεὶς φθονεῖ οὐδ' ἀποκρύπτεται, ὥσπερ τῶν ἄλλων τεχνημά*των (λυσιτελεῖ γάρ, οἶμαι, ἡμῖν ἡ ἀλλήλων δικαιοσύνη καὶ ἀρετή· διὰ ταῦτα πᾶς παντὶ προθύμως λέγει καὶ διδάσκει καὶ τὰ δίκαια καὶ τὰ νόμιμα)· εἰ οὖν οὕτω καὶ ἐν αὐλήσει πᾶσαν προθυμίαν καὶ ἀφθονίαν εἴχομεν ἀλλήλους διδάσκειν, οἴει ἄν τι, ἔφη, μᾶλλον, ὦ Σώκρατες, τῶν ἀγαθῶν αὐλητῶν ἀγαθοὺς αὐλητὰς τοὺς υἱεῖς γενέσθαι ἢ τῶν φαύλων; οἶμαι μὲν οὔ, ἀλλὰ ὅτου ἔτυχεν ὁ * υἱὸς εὐφυέστατος γενόμενος εἰς αὔλησιν, οὗτος ἂν ἐλλόγιμος ηὐξήθη, ὅτου δὲ ἀφυής, ἀκλεής· καὶ πολλάκις μὲν ἀγαθοῦ αὐλητοῦ φαῦλος ἂν ἀπέβη, πολλάκις δ' ἂν φαύλου ἀγαθός· ἀλλ' οὖν αὐληταὶ γοῦν πάντες ἦσαν ἱκανοὶ ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας. οὕτως οἴου καὶ νῦν, ὅστις σοι ἀδικώτατος φαίνεται ἄνθρωπος τῶν ἐν νόμοις καὶ ἀνθρώποις τεθραμμένων, δίκαιον αὐτὸν εἶναι καὶ δημιουργὸν τούτου τοῦ πράγματος, * εἰ δέοι αὐτὸν κρίνεσθαι πρὸς ἀνθρώπους, οἷς μήτε παιδεία ἔστι μήτε δικαστήρια μήτε νόμοι μηδὲ ἀνάγκη μηδεμία διὰ παντὸς ἀναγκάζουσα ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλ' εἶεν ἄγριοί τινες, οἷοίπερ οὓς πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ· ἦ σφόδρα ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι *), ἀγαπήσαις ἄν, εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ, καὶ ἀνολοφύραι' ἂν ποθῶν τὴν τῶν ἐνθάδε ἀνθρώπων πονηρίαν. νῦν δὲ τρυφᾷς, ὦ Σώκρατες, διότι πάντες διδάσκαλοί εἰσιν ἀρετῆς, καθ' ὅσον δύνανται ἕκαστος, καὶ οὐδείς σοι φαίνεται. εἶθ' **) ὥσπερ ἂν εἰ ζητοῖς, τίς διδάσκαλος τοῦ ἑλληνίζειν, οὐδ' * ἂν εἷς φανείη, οὐδέ γ' ἄν, οἶμαι, εἰ ζητοῖς, τίς ἂν 528

B C D

*) ἴσ. μιξάνθρωποι.

**) ἴσ. φαίνεται εἶναι· ὥσπερ κτλ.

maxime ita), reputa, aliud quodcumque ſtudium et diſciplinarum genus ſumens. ſi fieri non poſſet ut civitas conſiſteret, niſi omnes tibicines eſſemus, qualiscumque poſſet quisque eſſe, et hoc tam privatim quam publice omnis omnem et doceret et increparet tibiam non bene inſlantem, nec id denegaret, quemadmodum nunc iuſta et legitima nemo denegat nec ita celat, ut alia artificia (prodeſt enim nobis, opinor, mutua iuſtitia ac virtus; propterea quisque cuique libenter dicit eumque docet et iuſta et legitima); quodſi, inquam, ita etiam in tibiae cantu maxime propenſum nihilque denegantem animum haberemus, ita ut inter nos doceremus, num, inquit, arbitraris, Socrate, tibicinum bonorum filios multo magis ita evaſuros eſſe bonos tibicines, quam malorum filios? equidem non arbitror, ſed, cuius filius optima eſſet indole ad tibiae cantum, is celeber exſiſteret, in cuius autem filio nulla ineſſet indoles, is ignobilis; et ſaepe boni tibicinis filius malus evaderet, ſaepe etiam mali bonus; at tibicines certe omnes ſatis periti eſſent ad rudes tibiaeque inſlandae ignaros. ita nunc quoque exiſtima, qui iniuſtiſſimus tibi videatur homo eorum, qui inter leges et homines educati fuerint, iuſtum eum fore et perfectum in hac re, ſi iudicari eum oporteat ex hominibus, quibus nulla inſtitutio ſit, nulla iudicia, nullae leges nec ulla neceſſitas usque eos cogens virtuti ſtudere, ſed qui forte ſint feri, quales in fabula, quam ſuperiore anno Pherecrates poeta docuit in Lenaeo; profecto, ſi inter eiusmodi homines verſarere, quales in choro illo ſemihomines ſunt, praeclare tecum agi cenſeres, ſi incideres in Eurybatum et Phrynondam, et eiulares deſiderio flagrans hominum hic viventium improbitatis; nunc autem delicatus es, Socrate, quia omnes magiſtri ſunt virtutis, quam quisque maxime poteſt, et nemo tibi talis videtur eſſe. etenim, quemadmodum, ſi forte quaeras, quis magiſter ſit graece loquendi, nullus tibi appareat, neque etiam, opinor, ſi quaeras, quis nobis

ἡμῖν διδάξειε τοὺς τῶν χειροτεχνῶν υἱεῖς αὐτὴν ταύτην τὴν τέχνην, ἣν δὴ παρὰ τοῦ πατρὸς μεμαθήκασι, καθ' ὅσον οἷός τ' ἦν ὁ πατὴρ καὶ οἱ τοῦ πατρὸς φίλοι ὄντες ὁμότεχνοι, τούτους ἔτι τίς ἂν διδάξειεν, οὐ ῥάδιον οἶμαι εἶναι, ὦ Σώκρατες, τούτων διδάσκαλον φανῆναι, τῶν δὲ ἀπείρων παντάπασι ῥάδιον, οὕτω δὲ ἀρετῆς καὶ τῶν ἄλλων πάντων. ἀλλὰ κἂν εἰ ὀλίγον ἔστι τις ὅστις διαφέρει ἡμῶν προ*βιβάσαι εἰς ἀρετήν, ἀγαπητόν. ὧν δὴ ἐγὼ οἶμαι εἷς B
εἶναι, καὶ διαφερόντως ἂν τῶν ἄλλων ἀνθρώπων νοῆσαί τινα πρὸς τὸ καλὸν καὶ ἀγαθὸν γενέσθαι, καὶ ἀξίως τοῦ μισθοῦ, ὃν πράττομαι, καὶ ἔτι πλείονος, ὥςτε καὶ αὐτῷ δοκεῖν τῷ μαθόντι. διὰ ταῦτα καὶ τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις παρ' ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, ἀποδέδωκεν ὃ ἐγὼ πράττομαι ἀργύριον, ἐὰν δὲ μή, ἐλθὼν εἰς ἱερόν, ὀμόσας ὅσου ἂν * φῇ ἄξια εἶναι τὰ μαθήματα, τοσοῦτον κα- C
τέθηκεν.

Τοιοῦτόν σοι, ἔφη, ὦ Σώκρατες, ἐγὼ καὶ μῦθον καὶ λόγον εἴρηκα, ὡς διδακτὸν ἀρετὴ καὶ Ἀθηναῖοι οὕτως ἡγοῦνται, καὶ ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γίγνεσθαι καὶ τῶν φαύλων ἀγαθούς, ἐπεὶ καὶ οἱ Πολυκλείτου υἱεῖς, Παράλου καὶ Ξανθίππου τοῦδε ἡλικιῶται, οὐδὲν πρὸς τὸν πατέρα εἰσί, καὶ ἄλλοι ἄλλων δημιουργῶν· τῶνδε δὲ οὔπω ἄξιον τοῦτο κατηγορεῖν· ἔτι γὰρ ἐν * αὐτοῖς εἰσὶν ἐλπίδες· νέοι γάρ. D

Πρωταγόρας μὲν τοσαῦτα καὶ τοιαῦτα ἐπιδειξάμενος ἀπεπαύσατο τοῦ λόγου· καὶ ἐγὼ ἐπὶ μὲν πολὺν χρόνον κεκηλημένος ἔτι πρὸς αὐτὸν ἔβλεπον ὡς ἐροῦντά τι, ἐπιθυμῶν ἀκούειν, ἐπεὶ δὲ ᾐσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη, μόγις πως ἐμαυτὸν ὡςπερεὶ ξυναγείρας εἶπον, βλέψας πρὸς τὸν Ἱπποκράτη, Ὦ παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρεψάς με ὧδε ἀφικέσθαι· πολλοῦ γὰρ ποιοῦμαι ἀ*κηκοέναι ἃ ἀκήκοα Πρωτα- E
γόρου. ἐγὼ γὰρ ἐν μὲν τῷ ἔμπροσθεν χρόνῳ ἡγούμην οὐκ εἶναι ἀνθρωπίνην ἐπιμέλειαν, ᾗ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται, νῦν δὲ πέπεισμαι· πλὴν σμικρόν τί μοι ἐμπο-

docuerit opificum filios eam ipsam artem, quam a patre didicissent, quantum potuisset pater et patris amici eandem artem factitantes, hos igitur, si quaeras, quis praeterea docuerit, non facile arbitror fore, Socrate, horum magistrum reperire, imperitorum autem prorsus facile: ita de virtute reliquisque omnibus sentiendum est. at si quis est, qui vel paullulum nobis praestet incitando ad virtutem, bene nobiscum agi censeamus oportet. de quibus quidem me arbitror unum esse et prae ceteris hominibus scire quaedam, quibus pulcher et bonus aliquis evadat, eaque digna mercede quam exigo, et maiore etiam, ita ut ipsi etiam discenti videatur. quocirca etiam hanc mercedis exigendae rationem instituі; quando enim quis a me didicit, si volt, persolvit quam exigo pecuniam, sin minus, in templum ingressus, iureiurando quanti affirmat disciplinas esse, tantum pendit.

Huiuscemodi tibi, inquit, Socrate, ego et fabulam et orationem dixi, quo probarem doceri posse virtutem et Athenienses ita existimare, nec admirabile esse, quod bonorum patrum filii mali evaderent et malorum boni; nam Polycleti quoque filii, Parali et Xanthippi huius aequales, nihil ad patrem sunt, et alii aliorum artificum filii; hosce vero nondum in eo accusare decet: adhuc enim de iis spem habemus; nam iuvenes sunt.

Protagoras postquam tanta et talia, ut se ostentaret, exposuerat, finem fecit loquendi; atque ego diu quidem allectus ipsum intuebar, dicturum eum adhuc esse arbitrans et audire cupiens; quum vero animadvertissem revera eum finem fecisse, vix quodammodo, me quasi colligens, dixi Hippocratem intuens: O fili Apollodori, quantas tibi gratias habeo, quod me impulisti ut huc venirem! magni enim facio ea audivisse, quae audivi a Protagora. etenim ego ante quidem arbitrabar nullum esse humanum studium, quo qui boni essent boni evasissent, nunc vero persuasus sum; nisi quod leve quid

δών, ὃ δῆλον ὅτι Πρωταγόρας ῥᾳδίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ τὰ πολλὰ ταῦτα ἐξεδίδαξε. καὶ γὰρ εἰ μέν τις περὶ αὐτῶν τούτων ξυγγέ*νοιτο ὁτῳοῦν τῶν δημηγόρων, τάχ' ἂν 329
καὶ τοιούτους λόγους ἀκούσειεν ἢ Περικλέους ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν· εἰ δὲ ἐπανέροιτό τινά τι, ὥσπερ βιβλία οὐδὲν ἔχουσιν οὔτε ἀποκρίνασθαι οὔτε αὐτοὶ ἐρέσθαι, ἀλλ' ἐάν τις καὶ σμικρὸν ἐπερωτήσῃ τι τῶν ῥηθέντων, ὥσπερ τὰ χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει, ἐὰν μὴ ἐπιλάβηταί τις, καὶ οἱ ῥήτορες οὕτω σμικρὰ ἐρωτηθέντες δολιχὸν κα*τατείνουσι τοῦ λόγου· Πρωταγόρας B
δὲ ὅδε ἱκανὸς μὲν μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὰ δηλοῖ, ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνασθαι κατὰ βραχὺ καὶ ἐρόμενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν, ἃ ὀλίγοις ἐστὶ παρεσκευασμένα. νῦν οὖν, ὦ Πρωταγόρα, σμικροῦ τινὸς ἐνδεής εἰμι πάντ' ἔχειν, εἴ μοι ἀποκρίναιο τόδε. τὴν ἀρετὴν φῂς διδακτὸν εἶναι, καὶ ἐγώ, εἴπερ ἄλλῳ τῳ ἀνθρώπων πειθοίμην ἄν, καὶ σοὶ πείθομαι· ὃ δ' ἐ*θαύμασά σου λέγοντος, τοῦτό μοι ἐν τῇ ψυχῇ ἀπο- C
πλήρωσον. ἔλεγες γὰρ ὅτι ὁ Ζεὺς τὴν δικαιοσύνην καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις, καὶ αὖ πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης καὶ πάντα ταῦτα ὡς ἕν τι εἴη ξυλλήβδην, ἀρετή. ταῦτ' οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἓν μέν τί ἐστιν ἡ ἀρετή, μόρια δὲ αὐτῆς ἐστὶν ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης, ἢ ταῦτ' ἐστὶν ἃ νῦν δὴ ἐγὼ ἔλεγον * πάντα ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος. τοῦτ' ἐστὶν D
ὃ ἔτι ἐπιποθῶ. Ἀλλὰ ῥᾴδιον τοῦτό γ', ἔφη, ὦ Σώκρατες, ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος τῆς ἀρετῆς μόριά ἐστιν ἃ ἐρωτᾷς. Πότερον, ἔφην, ὥσπερ προσώπου τὰ μόρια μόριά ἐστι, στόμα τε καὶ ῥὶς καὶ ὀφθαλμοὶ καὶ ὦτα, ἢ ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει τὰ ἕτερα τῶν ἑτέρων, ἀλλήλων καὶ τοῦ ὅλου, ἀλλ' ἢ μεγέθει καὶ σμικρότητι; Ἐκείνως μοι φαίνεται, ὦ Σώκρατες, ὥσπερ τὰ τοῦ *προσώπου μόρια ἔχει πρὸς τὸ ὅλον πρόσωπον. Πότερον οὖν, E

me impedit, quod dubium non eſt quin Protagoras facile praeterea edocturus ſit, quum etiam haec tam multa edocuerit. enimvero ſi quis de his ipſis colloquatur cum oratore quopiam forenſi, fortaſſe ſimilia audiet, velut e Pericle vel ex alio quopiam eorum qui periti ſunt dicendi; ſin quis quem praeterea rogat, in librorum modum non habent neque quid reſpondeant neque quid ipſi rogent, ſed ſi quis quid vel exiguum eorum, quae ab iis dicta ſunt, interrogat, quemadmodum aena percuſſa procul ſonant ſonumque extendunt, niſi quis ea prehendat, ita etiam rhetores pauca interrogati miram orationis longitudinem contendunt. hicce autem Protagoras poteſt longas ac pulchras orationes habere, poteſt vero etiam, ſi interrogatur, brevi reſpondere et, ſi interrogat, exſpectare atque accipere reſponſionem: quod paucis eſt comparatum. nunc igitur, Protagora, quum paullulum quid deſiderem, omnia habebo, ſi ad hoc mihi reſponderis. virtutem dicis doceri poſſe, atque ego, ſi cuiquam homini, tibi fidem habeo; quod vero admiratus ſum a te dictum, eius deſiderium mihi exple. dixiſti enim Iovem iuſtitiam et verecundiam miſiſſe hominibus, etiam hoc ſaepe in oratione tua memoraſti. iuſtitiam et temperantiam et pietatem et omnia id genus in univerſum unum quoddam eſſe, virtutem. haec igitur perſequere mihi accurate oratione, utrum unum quoddam ſit virtus, ipſius vero partes iuſtitia, temperantia et pietas, an haec quae modo memoravi omnia nomina ſint eiusdem rei, quae una quaedam ſit. hoc eſt illud quod adhuc deſidero. At facile, inquit, Socrate, eſt ad hoc reſponſu, eius, quod unum quoddam ſit, virtutis, partes eſſe ea, quae interrogas. Utrum, inquam, ita ut faciei partes ſunt partes, os, naſus, oculi et aures, an ita ut auri partes inter ſe non differunt, neque a ſe neque a toto, niſi magnitudine aut parvitate? Illa mihi videtur ratione, Socrate, ut faciei partes ſe habent ad totam faciem. Utrum etiam, inquam, homines habent

ἦν δ' ἐγώ, καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν
τῆς ἀρετῆς μορίων οἱ μὲν ἄλλο, οἱ δὲ ἄλλο, ἢ ἀνάγκη,
ἐάνπερ τις ἓν λάβῃ, ἅπαντ' ἔχειν; Οὐδαμῶς, ἔφη, ἐπεὶ
πολλοὶ ἀνδρεῖοί εἰσιν, ἄδικοι δέ, καὶ δίκαιοι αὖ, σοφοὶ
δὲ οὔ. Ἔστι γὰρ οὖν καὶ ταῦτα μόρια τῆς ἀρετῆς, ἔφην
ἐγώ, σο*φία τε καὶ ἀνδρεία; Πάντων μάλιστα δήπου, 330
ἔφη, καὶ μέγιστόν γε ἡ σοφία τῶν μορίων. Ἕκαστον δὲ
αὐτῶν ἐστίν, ἦν δ' ἐγώ, ἄλλο, τὸ δὲ ἄλλο; Ναί. Ἦ καὶ
δύναμιν αὐτῶν ἕκαστον ἰδίαν ἔχει, ὥςπερ τὰ τοῦ προς-
ώπου; οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα, οὐδ' ἡ δύνα-
μις αὐτοῦ ἡ αὐτή, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐστιν οἷον τὸ
ἕτερον, οὔτε κατὰ τὴν δύναμιν οὔτε κατὰ τὰ ἄλλα. ἆρ'
οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια οὐκ ἔστι τὸ ἕτερον
οἷον τὸ ἕτερον, οὔτε * αὐτὸ οὔτε ἡ δύναμις αὐτοῦ; ἢ B
δῆλα δὴ ὅτι οὕτως ἔχει, εἴπερ τῷ παραδείγματί γε ἔοι-
κεν; Ἀλλ' οὕτως, ἔφη, ἔχει, ὦ Σώκρατες. Καὶ ἐγὼ εἶπον
Οὐδὲν ἄρα ἐστὶ τῶν τῆς ἀρετῆς μορίων ἄλλο οἷον ἐπιστή-
μη οὐδ' οἷον δικαιοσύνη οὐδ' οἷον ἀνδρεία οὐδ' οἷον σω-
φροσύνη οὐδ' οἷον ὁσιότης. Οὐκ ἔφη. Φέρε δή, ἔφην ἐγώ,
κοινῇ σκεψώμεθα ποῖόν τι αὐτῶν ἐστὶν ἕκαστον. πρῶτον μὲν
τὸ τοιόνδε· ἡ δικαιο*σύνη πρᾶγμά τί ἐστιν ἢ οὐδὲν πρᾶγμα; C
ἐμοὶ μὲν γὰρ δοκεῖ, τί δὲ σοί; Καὶ ἐμοί, ἔφη. Τί οὖν; εἴ τις
ἔροιτο ἐμέ τε καὶ σέ Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἴπετον
δή μοι, τοῦτο τὸ πρᾶγμα ὃ ὠνομάσατε ἄρτι, ἡ δικαιοσύνη,
αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; ἐγὼ μὲν ἂν αὐτῷ ἀποκρι-
ναίμην ὅτι δίκαιον, σὺ δὲ τίν' ἂν ψῆφον θεῖο; τὴν αὐτὴν ἐμοὶ
ἢ ἄλλην; Τὴν αὐτήν, ἔφη. Ἔστιν ἄρα ἡ δικαιοσύνη τοιοῦ-
τον οἷον δίκαιον εἶναι, φαίην ἂν ἔ*γωγε ἀποκρινόμενος τῷ D
ἐρωτῶντι· οὐκοῦν καὶ σύ; Ναί, ἔφη. Εἰ οὖν μετὰ τοῦτο ἡμᾶς
ἔροιτο Οὐκοῦν καὶ ὁσιότητά τινά φατε εἶναι; — φαῖμεν ἄν,
ὡς ἐγᾦμαι. Ναί, ἦ δ' ὅς. Οὐκοῦν φατὲ καὶ τοῦτο πρᾶγμά
τι εἶναι; — φαῖμεν ἄν, ἢ οὔ; Καὶ τοῦτο ξυνέφη. Πότερον
δὲ τοῦτ' αὐτὸ τὸ πρᾶγμά φατε τοιοῦτον πεφυκέναι οἷον
ἀνόσιον εἶναι ἢ οἷον ὅσιον; — ἀγανακτήσαιμ' ἂν ἔγωγ',
ἔφην, τῷ ἐρωτήματι, καὶ εἴποιμ' ἂν Εὐφήμει, ὦ ἄνθρω-
πε· * σχολῇ μέντ' ἄν τι ἄλλο ὅσιον εἴη, εἰ μὴ αὐτή γε E

harum virtutis partium alius aliam, an necesse est, si quis unam accipiat, eum omnes habere? Minime vero, inquit; nam multi sunt fortes, at iniusti, rursus iusti, sapientes non item. Num hae quoque, inquam, virtutis partes sunt, sapientia et fortitudo? Omnium maxime, inquit, et maxima quidem partium sapientia est. Unaquaeque vero earum, inquam, alia est et altera rursus alia? Vero. Num etiam vim unaquaeque earum propriam habet, sicut faciei partes? nempe oculus non est talis, quales aures sunt, nec eius vis est eadem, neque ulla ex reliquis talis est qualis altera, neque vi neque alia quapiam ratione: num igitur ita virtutis quoque partium nulla est talis qualis altera, neque ipsa neque ipsius vis? an id dubium non est quin ita se res habeat, siquidem exemplo illi respondeat? Ita se habet, inquit, Socrate. Tum ego Nulla alia igitur, inquam, virtutis partium talis est qualis vel scientia vel iustitia vel fortitudo vel temperantia vel pietas. Non esse dixit. Agedum, inquam, una exploremus qualis unaquaeque earum sit. primum vero hoc: iustitiane res aliqua est annon? mihi quidem videtur, quid tibi? Mihi quoque, inquit. Quid igitur, si quis me et te interroget Dicite mihi, Protagora et Socrate, illa res, quam modo nominastis, iustitia, ea ipsa iusta est an iniusta? equidem ipsi respondeam iustam esse, tu autem quam feras sententiam? eandem quam ego, an aliam? Eandem vero, inquit. Est igitur iustitia eiusmodi ut iusta sit: equidem dicam respondens interroganti; nonne tu quoque? Sane quidem, inquit. Quodsi deinde ex nobis quaerat Nonne pietatem quoque aliquam dicitis esse? — affirmemus, ut arbitror. Etiam, inquit. Nonne hanc quoque dicitis aliquid esse? — dicamusne annon? Etiam hoc confessus est. Utrum vero hoc ipsum dicitis ita comparatum esse ut impium, an ita ut pium sit? — equidem indigner, inquam, interrogationem et dicam Bona verba, quaeso, o homo! etenim vix ac ne vix quidem aliud quid pium

ἡ ὁσιότης ὅσιον ἔσται. τί δὲ σύ; οὐχ οὕτως ἂν ἀποκρίναιο; Πάνυ μὲν οὖν, ἔφη. Εἰ οὖν μετὰ τοῦτ' εἴποι ἐρωτῶν ἡμᾶς Πῶς οὖν ὀλίγῳ πρότερον ἐλέγετε; ἆρ' οὐκ ὀρθῶς ὑμῶν κατήκουσα; ἐδόξατέ μοι φάναι τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν οἷον τὸ ἕτερον· — εἴποιμ' ἂν ἔγωγε ὅτι Τὰ μὲν ἄλλα ὀρθῶς ἤκουσας, ὅτι δὲ καὶ ἐμὲ οἴει εἰπεῖν τοῦτο, παρήκουσας· Πρωταγόρας * γὰρ ὅδε ταῦτ' ἀπεκρίνατο, ἐγὼ 331
δὲ ἠρώτων. Εἰ οὖν εἴποι Ἀληθῆ ὅδε λέγει, ὦ Πρωταγόρα; σὺ φῂς οὐκ εἶναι τὸ ἕτερον μόριον οἷον τὸ ἕτερον τῶν τῆς ἀρετῆς; σὸς οὗτος ὁ λόγος ἐστί; — τί ἂν αὐτῷ ἀποκρίναιο; Ἀνάγκη, ἔφη, ὦ Σώκρατες, ὁμολογεῖν. Τί οὖν, ὦ Πρωταγόρα, ἀποκρινούμεθα αὐτῷ ταῦθ' ὁμολογήσαντες, ἐὰν ἡμᾶς ἐπανέρηται Οὐκ ἄρα ἐστὶν ὁσιότης οἷον δίκαιον εἶναι πρᾶγμα, οὐδὲ δικαιοσύνη οἷον ὅσιον, ἀλλ' οἷον μὴ ὅσιον, ἡ δ' ὁσιότης οἷον μὴ δίκαιον, ἀλλ' * ἄδικον ἄρα, B
τὸ δὲ ἀνόσιον; — τί αὐτῷ ἀποκρινούμεθα; ἐγὼ μὲν γὰρ αὐτὸς ὑπέρ γε ἐμαυτοῦ φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν ὁσιότητα δίκαιον, καὶ ὑπὲρ σοῦ δέ, εἴ με ἐῴης, ταὐτὰ ἂν ταῦτα ἀποκριναίμην, ὅτι ἤτοι ταὐτόν ἐστι δικαιότης ὁσιότητι ἢ ὅτι ὁμοιότατον, καὶ μάλιστα πάντων ἥ τε δικαιοσύνη οἷον ὁσιότης καὶ ἡ ὁσιότης οἷον δικαιοσύνη. ἀλλ' ὅρα εἰ διακωλύεις ἀποκρίνασθαι, ἢ καὶ σοὶ ξυνδοκεῖ οὕτως. Οὐ πάνυ μοι δοκεῖ, ἔφη, ὦ Σώ*κρατες, οὕτως ἁπλοῦν C
εἶναι, ὥστε ξυγχωρῆσαι τήν τε δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν ὁσιότητα δίκαιον, ἀλλά τί μοι δοκεῖ ἐν αὐτῷ διάφορον εἶναι. ἀλλὰ τί τοῦτο διαφέρει; ἔφη. εἰ γὰρ βούλει, ἔστω ἡμῖν καὶ δικαιοσύνη ὅσιον καὶ ὁσιότης δίκαιον. Μή μοι, ἦν δ' ἐγώ· οὐδὲν γὰρ δέομαι τὸ εἰ βούλει τοῦτο καὶ εἴ σοι δοκεῖ ἐλέγχεσθαι, ἀλλ' ἐμέ τε καὶ σέ, τὸ δ' ἐμέ τε καὶ σέ τοῦτο λέγω, οἰόμενος οὕτω τὸν λόγον βέλτιστ' ἂν ἐλέγχεσθαι, εἴ τις τὸ εἴ * ἀφέλοι αὐτοῦ. Ἀλλὰ μέντοι, ἦ δ' D
ὅς, προσέοικέ τι δικαιοσύνη ὁσιότητι· καὶ γὰρ ὁτιοῦν ὁτῳοῦν ἀμηγέπη προσέοικε· τὸ γὰρ λευκὸν τῷ μέλανι ἔστιν ὅπη προσέοικε, καὶ τὸ σκληρὸν τῷ μαλακῷ, καὶ τἆλλα ἃ

erit, nisi ipsa pietas erit pia; tu vero nonne ita respondeas? Etiam, inquit. Quodsi deinde dicat nos interrogans Iam quomodo paullo ante statuistis? num vos non recte audivi? videbamini mihi dicere, virtutis esse partes ita inter se habentes, earum ut nulla talis esset qualis altera: — equidem respondeam Cetera quidem recte audivisti, quod autem me quoque arbitraris illud dicere, non recte audivisti; hic enim Protagoras illud respondit, ego vero interrogavi. Quodsi dicat: Verumne hic refert, Protagora? tune dicis virtutis partes alias atque alias esse? tuusne hic sermo est? — quid ipsi respondeas? Necesse est, inquit, Socrate, confiteri. Iam quid, Protagora, respondebimus ipsi hoc confessi, si praeterea e nobis quaesiverit: Itaque neque pietas eiusmodi est ut iusta sit res, neque iustitia eiusmodi, ut pia sit, sed eiusmodi ut impia sit, pietas vero eiusmodi ut iniusta sit, ita ut haec quidem iniusta, illa vero impia sit? — quid ipsi respondebimus? equidem ipse meoque nomine dicam et iustitiam esse piam et pietatem iustam, et tuo nomine, si mihi permiseris, eadem haec respondeam, vel idem esse iustitiam et pietatem vel quam simillimum quid, et omnium maxime iustitiam talem esse qualis pietas, et pietatem talem qualis iustitia. iam vide utrum vetes hoc respondere, an tibi quoque ita videatur. Non plane mihi videtur, inquit, Socrate, hoc ita simplex esse, ut concedere possim iustitiam piam et pietatem iustam esse, sed videtur mihi aliquid discriminis inter eas esse. verum quid hoc refert? inquit; si enim vis, sit sane nobis et iustitia pia et pietas iusta. Mihi, inquam, ne sit ita: neque enim cupio hoc *si vis* et *si tibi videtur* exploratum ac convictum, sed me et te, me vero et te dicendo hoc significo, me arbitrari orationem optime exploratum iri, si quis illud *si* ex ea sustulerit. Attamen, inquit, similis quodammodo est iustitia pietati; quodlibet enim cuilibet aliqua ratione simile est; nam album nigro aliquatenus simile est, durum molli et cetera, quae

δοκεῖ ἐναντιώτατα εἶναι ἀλλήλοις· καὶ ἃ τότε ἔφαμεν ἄλ-
λην δύναμιν ἔχειν καὶ οὐκ εἶναι τὸ ἕτερον οἷον τὸ ἕτε-
ρον, τὰ τοῦ προσώπου μόρια, ἀμηγέπη προσέοικε καὶ ἔστι
τὸ ἕτερον οἷον τὸ ἕτερον· ὥς*τε τούτῳ γε τῷ τρόπῳ E
κἂν ταῦτα ἐλέγχοις, εἰ βούλοιο, ὡς ἅπαντά ἐστιν ὅμοια
ἀλλήλοις· ἀλλ' οὐχὶ τὰ ὅμοιόν τι ἔχοντα ὅμοια δίκαιον
καλεῖν, οὐδὲ τὰ ἀνόμοιόν τι ἔχοντα ἀνόμοια, κἂν πάνυ
σμικρὸν ἔχῃ τὸ ὅμοιον.

Καὶ ἐγὼ θαυμάσας εἶπον πρὸς αὐτόν· Ἦ γὰρ οὕτω
σοι τὸ δίκαιον καὶ τὸ ὅσιον πρὸς ἄλληλα ἔχει, ὥστε ὅμοι-
όν τι σμικρὸν ἔχειν ἀλλήλοις; Οὐ πάνυ, ἔφη, οὕτως, οὐ
μέντοι οὐδὲ αὖ * ὡς σύ μοι δοκεῖς οἴεσθαι. Ἀλλὰ μήν, 332a
ἔφην ἐγώ, ἐπειδὴ δυσχερῶς δοκεῖς μοι ἔχειν πρὸς τοῦτο,
τοῦτο μὲν ἐάσωμεν, τόδε δὲ ἄλλο ὧν ἔλεγες ἐπισκεψώμε-
θα. ἀφροσύνην τι καλεῖς; Ἔφη. Τούτῳ τῷ πράγματι οὐ
πᾶν τοὐναντίον ἐστὶν ἡ σοφία; Ἔμοιγε δοκεῖ, ἔφη. Πό-
τερον δὲ ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελί-
μως, τότε σωφρονεῖν σοι δοκοῦσιν οὕτω πράττοντες, ἢ
εἰ τοὐναντίον ἔπραττον; Σωφρονεῖν, ἔφη. Οὐκοῦν σω-
φροσύνῃ σωφρο*νοῦσιν; Ἀνάγκη. Οὐκοῦν οἱ μὴ ὀρθῶς B
πράττοντες ἀφρόνως πράττουσι καὶ οὐ σωφρονοῦσιν οὕτω
πράττοντες; Ξυνδοκεῖ μοι, ἔφη. Τοὐναντίον ἄρ' ἐστὶ τὸ
ἀφρόνως πράττειν τῷ σωφρόνως. Ἔφη. Οὐκοῦν τὰ μὲν
ἀφρόνως πραττόμενα ἀφροσύνῃ πράττεται, τὰ δὲ σωφρόνως
σωφροσύνῃ; Ὡμολόγει. Οὐκοῦν εἴ τι ἰσχύϊ πράττεται, ἰσχυ-
ρῶς πράττεται, καὶ εἴ τι ἀσθενείᾳ, ἀσθενῶς; Ἐδόκει. Καὶ
εἴ τι μετὰ τάχους, ταχέως, καὶ εἴ τι μετὰ βραδυτῆτος,
βραδέως; Ἔ*φη. Καὶ εἴ τι δὴ ὡσαύτως πράττεται, ὑπὸ C
τοῦ αὐτοῦ πράττεται, καὶ εἴ τι ἐναντίως, ὑπὸ τοῦ ἐναν-
τίου; Ξυνέφη. Φέρε δή, ἦν δ' ἐγώ, ἔστι τι καλόν;
Ξυνεχώρει. Τούτῳ ἔστι τι ἐναντίον πλὴν τὸ αἰσχρόν; Οὐκ
ἔστιν. Τί δέ; ἔστι τι ἀγαθόν; Ἔστιν. Τούτῳ ἔστι τι ἐναν-
τίον πλὴν τὸ κακόν; Οὐκ ἔστιν. Τί δέ; ἔστι τι ὀξὺ ἐν
φωνῇ; Ἔφη. Τούτῳ μὴ ἔστι τι ἐναντίον ἄλλο πλὴν τὸ

videntur maxime contraria inter se esse; etiam quas ante diximus diversam vim habere nec alteram esse, qualis altera, faciei partes, aliqua ratione similes sunt, et altera est talis qualis altera: ut hac quidem ratione etiam hoc, si velis, probare possis, omnia esse inter se similia; sed neque par est res simile quid habentes similes, neque res dissimile quid habentes dissimiles vocari, etiamsi admodum parum dissimilitudinis habeant.

Tum ego admiratus Numquid, inquam, ita tibi iustum et pium inter se habent, ut parum habeant inter se similitudinis? Non prorsus ita, inquit, neque tamen etiam ita, ut tu mihi videris statuere. At vero, inquam, quia videtur molestum tibi esse, hoc quidem mittamus, alterum vero eorum quae dixisti consideremus. intemperantiam num aliquid vocas? Dixit. Huius vero rei nonne prorsus contraria est sapientia? Mihi vero videtur, inquit. Utrum autem homines, quum recte et commode agunt, tum temperantes tibi videntur esse ita agentes, an quum contrarium faciunt? Temperantes esse, inquit, mihi tum videntur. Nonne temperantia temperantes sunt? Necesse est. Nonne haud recte agentes intemperanter agunt, nec temperantes sunt ita agentes? Mihi quoque videtur, inquit. Contraria igitur sunt intemperanter agere et temperanter. Dixit. Nonne, quae intemperanter aguntur, ea intemperantia aguntur, quae vero temperanter, temperantia? Concessit. Nonne si quid vi agitur, violenter id agitur, sin imbecillitate, imbecilliter? Visum est. Et si quid celeritate, celeriter, sin tarditate, tarde? Dixit. Et si quid hac ratione agitur, per hoc ipsum agitur, sin contraria, per contrarium? Consensit. Agedum, inquam, num quid pulchrum est? Concessit. Estne huius aliquid contrarium praeter deforme? Non est. Quid? estne aliquid bonum? Est vero. Huic num quid contrarium est praeter malum? Non est. Quid? estne aliquid acutum in voce? Dixit. Huius num quid contrarium est praeter

βαρύ; Οὐκ ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, ἑνὶ ἑκάστῳ τῶν ἐναν-
τίων ἓν μόνον ἐστὶν ἐναντίον * καὶ οὐ πολλά; Ξυνωμολόγει. D
Ἴθι δή, ἦν δ' ἐγώ, ἀναλογισώμεθα τὰ ὡμολογημένα ἡμῖν.
ὡμολογήκαμεν ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, πλείω δὲ μή; Ὡ-
μολογήκαμεν. Τὸ δὲ ἐναντίως πραττόμενον ὑπὸ ἐναντίων
πράττεσθαι; Ἔφη. Ὡμολογήκαμεν δὲ ἐναντίως πράττεσθαι,
ὃ ἂν ἀφρόνως πράττηται, τῷ σωφρόνως πραττομένῳ; Ἔφη.
Τὸ δὲ σωφρόνως πραττόμενον ὑπὸ σωφροσύνης πράττε-
σθαι, τὸ δὲ ἀφρόνως ὑπὸ ἀφροσύνης; * Ξυνεχώρει. Οὐκ- E
οῦν εἴπερ ἐναντίως πράττεται, ὑπὸ ἐναντίου πράττοιτ'
ἄν; Ναί. Πράττεται δὲ τὸ μὲν ὑπὸ σωφροσύνης, τὸ δὲ
ὑπὸ ἀφροσύνης; Ναί. Ἐναντίως; Πάνυ γε. Οὐκοῦν
ὑπὸ ἐναντίων ὄντων; Ναί. Ἐναντίον ἄρ' ἐστὶν ἀφρο-
σύνη σωφροσύνης; Φαίνεται. Μέμνησαι οὖν ὅτι ἐν τοῖς
ἔμπροσθεν ὡμολόγηται ἡμῖν ἀφροσύνη σοφίᾳ ἐναντίον εἶ-
ναι; Ξυνωμολόγει. Ἓν δὲ ἑνὶ μόνον ἐναντίον εἶναι; Φη-
μί. Πότερον οὖν, ὦ Πρωταγόρα, λύσωμεν * τῶν λόγων; 333
τὸ ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, ἢ ἐκεῖνον, ἐν ᾧ ἐλέγετο
ἕτερον εἶναι σωφροσύνης σοφία, μόριον δὲ ἑκάτερον ἀρε-
τῆς, καὶ πρὸς τῷ ἕτερον εἶναι καὶ ἀνόμοια καὶ αὐτὰ
καὶ αἱ δυνάμεις αὐτῶν, ὥσπερ τὰ τοῦ προσώπου μόρια;
πότερον οὖν δὴ λύσωμεν; οὗτοι γὰρ οἱ λόγοι ἀμφότεροι
οὐ πάνυ μουσικῶς λέγονται· οὐ γὰρ ξυνᾴδουσιν οὐδὲ
ξυναρμόττουσιν ἀλλήλοις· πῶς γὰρ ἂν ξυνᾴδοιεν, εἴπερ
γε ἀνάγκη ἑνὶ μὲν * ἓν μόνον ἐναντίον εἶναι, πλείοσι B
δὲ μή, τῇ δὲ ἀφροσύνῃ ἑνὶ ὄντι σοφία ἐναντία καὶ σω-
φροσύνη αὖ φαίνεται; ἦ γάρ, ὦ Πρωταγόρα; ἔφην
ἐγώ, ἢ ἄλλως πως; Ὡμολόγησε, καὶ μάλ' ἀκόντως. Οὐκ-
οῦν ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία· τὸ δὲ πρό-
τερον αὖ ἐφάνη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης σχε-
δόν τι ταὐτὸν ὄν. ἴθι δή, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, μὴ
ἀποκάμωμεν, ἀλλὰ καὶ τὰ λοιπὰ διασκεψώμεθα. ἆρά
τίς σοι δοκεῖ ἀδικῶν ἄνθρωπος σωφρονεῖν, * ὅτι ἀδικεῖ; C

grave? Non eſt, inquit. Nonne, inquam, ſingulorum contrariorum unum tantum eſt contrarium, non plura? Conſeſſus eſt. Agedum, inquam, ſummam faciamus eorum quae nobis conceſſa ſunt. conceſſimus unum unius tantum contrarium eſſe, non plura? Conceſſimus vero. Et quod contraria ageretur ratione, id per contrarium agi? Dixit. Conceſſimus autem, quodcumque intemperanter ageretur, id contraria ratione agi atque id quod temperanter ageretur? Dixit. Id vero quod temperanter ageretur, per temperantiam agi, contra quod intemperanter, per intemperantiam? Conſenſit. Nonne, ſi contraria ratione agitur, per contrarium agetur? Sane quidem. Agitur vero hoc per temperantiam, illud per intemperantiam? Etiam. Contraria ratione? Ita. Nonne per contraria? Vero. Contraria eſt igitur intemperantia temperantiae? Videtur. Meminiſtine nos ante conceſſiſſe intemperantiam ſapientiae contrariam eſſe? Conſenſit. Unum vero unius tantum contrarium eſſe? Aio. Utrum igitur, Protagora, eorum quae ſumpſimus reiiciamus? hoc, unum unius tantum contrarium eſſe, an illud quod ſumpſimus, diverſam eſſe a temperantia ſapientiam, utramque vero partem eſſe virtutis, et non ſolum diverſas, ſed etiam diſſimiles eſſe tum ipſas tum earum vires, ſicuti faciei partes? utrum igitur reiiciamus? haec enim duo non ſatis muſico modo ponuntur; neque enim concinunt neque congruunt inter ſe; nam quomodo concinant, ſiquidem neceſſe ſit unum tantum unius contrarium eſſe, non plurium, intemperantiae vero, quae una eſt, ſapientia itemque temperantia contrariae reperiantur? num, Protagora, inquam, ita videtur, an aliter? Conſenſit, quamvis haud ſatis libenter. Ergo unum quoddam erunt temperantia et ſapientia, ante vero iuſtitia et pietas idem fere eſſe nobis videbantur. agedum, Protagora, inquam, ne deficiamus, ſed etiam reliqua diſpiciamus. num tibi videtur homo qui iniuſte facit temperans eſſe, eo quod iniuſte facit?

Αἰσχυνοίμην ἂν ἔγωγ', ἔφη, ὦ Σώκρατες, τοῦτο ὁμολογεῖν, ἐπεὶ πολλοί *) γέ φασι τῶν ἀνθρώπων. Πότερον οὖν πρὸς ἐκείνους τὸν λόγον ποιήσομαι, ἔφην, ἢ πρὸς σέ; Εἰ βούλει, ἔφη, πρὸς τοῦτον πρῶτον τὸν λόγον διαλέχθητι τὸν τῶν πολλῶν. Ἀλλ' οὐδέν μοι διαφέρει, ἐὰν μόνον σύ γε ἀποκρίνῃ, εἴτ' οὖν δοκεῖ σοι ταῦτα εἴτε μή· τὸν γὰρ λόγον ἔγωγε μάλιστ' ἐξετάζω, ξυμβαίνει μέντοι ἴσως καὶ ἐμὲ τὸν ἐρωτῶντα καὶ τὸν ἀποκρινόμενον ἐξετάζεσθαι.

* Τὸ μὲν οὖν πρῶτον ἐκαλλωπίζετο ἡμῖν ὁ Πρωταγόρας D (τὸν γὰρ λόγον ᾐτιᾶτο δυσχερῆ εἶναι), ἔπειτα μέντοι ξυνεχώρησεν ἀποκρίνεσθαι.

Ἴθι δή, ἔφην ἐγώ, ἐξ ἀρχῆς μοι ἀπόκριναι. δοκοῦσί τινές σοι σωφρονεῖν ἀδικοῦντες; Ἔστω, ἔφη. Τὸ δὲ σωφρονεῖν λέγεις εὖ φρονεῖν; Ἔφη. Τὸ δ' εὖ φρονεῖν εὖ βουλεύεσθαι ὅτι ἀδικοῦσιν; Ἔστω, ἔφη. Πότερον, ἦν δ' ἐγώ, εἰ εὖ πράττουσιν ἀδικοῦντες, ἤ, εἰ κακῶς; Εἰ εὖ. Λέγεις οὖν ἀγαθὰ ἄττα εἶναι; Λέγω. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ταῦτ' ἐστὶν ἀγαθά, ἅ ἐστιν ὠφέλιμα * τοῖς ἀνθρώποις; Καὶ E ναὶ μὰ Δί', ἔφη, κἂν μὴ τοῖς ἀνθρώποις ὠφέλιμα ᾖ, ἔγωγε καλῶ ἀγαθά. — Καί μοι ἐδόκει ὁ Πρωταγόρας ἤδη τετραχύνθαι τε καὶ ἀγωνιᾶν καὶ παρατετάχθαι πρὸς τὸ ἀποκρίνεσθαι· ἐπειδὴ οὖν ἑώρων αὐτὸν οὕτως ἔχοντα, εὐλαβούμενος ἠρέμα ἠρόμην. Πότερον, ἦν δ' ἐγώ, λέγεις, ὦ Πρω*ταγόρα, 334 ἃ μηδενὶ ἀνθρώπων ὠφέλιμά ἐστιν, ἢ ἃ μηδὲ τὸ παράπαν ὠφέλιμα; καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς; Οὐδαμῶς, ἔφη, ἀλλ' ἔγωγε πολλὰ οἶδ', ἃ ἀνθρώποις μὲν ἀνωφελῆ ἐστί, καὶ σιτία καὶ ποτὰ καὶ φάρμακα καὶ ἄλλα μυρία, τὰ δέ γε ὠφέλιμα, τὰ δὲ ἀνθρώποις μὲν οὐδέτερα, ἵπποις δέ, τὰ δὲ βουσὶ μόνον, τὰ δὲ κυσί, τὰ δέ γε τούτων μὲν οὐδενί, δένδροις δέ, τὰ δὲ τοῦ δένδρου ταῖς μὲν ῥίζαις ἀγαθά, ταῖς δὲ βλάσταις πονηρά, οἷον καὶ ἡ κόπρος * πάντων τῶν φυτῶν B ταῖς μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη, εἰ δ' ἐθέλοις ἐπὶ τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν, πάντα ἀπόλλυσιν· ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασίν

*) ἴσ. οἱ πολλοί.

Me quidem, inquit, Socrate, puderet hoc concedere, quamquam volgus ita ait. Utrum igitur, inquam, cum hoc sermonem conferam, an tecum? Si vis, inquit, primum contra illud dissere, quod volgus ait. Nihil vero mea refert, dummodo tu respondeas, sive ita tibi videtur sive non videtur; id enim quod dicitur potissimum examino, quamquam usu venire potest, ut ego quoque interrogans et is qui respondet examinemur.

Ac primo quidem delicatum se nobis exhibebat Protagoras; (orationem enim insimulabat molestam esse), deinde tamen concessit ac respondere promisit.

Agedum, inquam, ab initio mihi responde. videntur tibi nonnulli temperantes esse qui iniuste faciunt? Esto, inquit. Temperantes vero esse dicis bene sapere? Concessit. Bene vero sapere bene sibi consulere in eo, quod iniuste faciunt? Esto, inquit. Utrum, inquam, si bene cum ipsis agitur iniuste facientibus, an, si male? Si bene. Nonnulla igitur dicis bona esse? Dico. Num, inquam, haec sunt bona, quae utilia sunt hominibus? At hercle, inquit, etiamsi hominibus non sunt utilia, equidem voco bona. — Iam mihi videbatur Protagoras exasperato esse animo, aestuare et obsistere quominus responderet; quum igitur intellexissem eum ita se habere, cautionem adhibens leniter interrogavi Utrum, Protagora, ea dicis, quae nulli homini utilia sint, an, quae ne omnino quidem utilia sint, eaque bona vocas? Minime vero, inquit, sed multa equidem novi, quae hominibus inutilia sunt, esculenta, potulenta, remedia et alia innumerabilia, et quae contra utilia, alia hominibus quidem neutra, equis vero vel utilia vel inutilia sunt, haec bobus tantum, illa canibus, alia vero horum neutri, at arboribus, denique quae arborum radicibus bona sunt, propaginibus vero nocent, veluti simus cuiuscumque plantae radicibus si admovetur bonus est, sin germinibus recentibusque surculis eum inieceris, omnia perdet; nam oleum quoque plantis quidem omnibus

ἐστι πάγκακον καὶ ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλ-
λων ζώων πλὴν ταῖς τοῦ ἀνθρώπου, ταῖς δὲ τοῦ ἀνθρώπου
ἀρωγὸν καὶ τῷ ἄλλῳ σώματι. οὕτω δὲ ποικίλον τί ἐστι τὸ
ἀγαθὸν καὶ παντοδαπόν, ὥςτε καὶ ἐνταῦθα τοῖς μὲν ἔξωθεν
τοῦ σώματος ἀγαθόν ἐστι τῷ * ἀνθρώπῳ, τοῖς δ' ἐντὸς C
ταὐτὸν τοῦτο κάκιστον· καὶ διὰ τοῦτο οἱ ἰατροὶ πάντες
ἀπαγορεύουσι τοῖς ἀσθενοῦσι μὴ χρῆσθαι ἐλαίῳ, ἀλλ' ἢ
ὅτι σμικροτάτῳ, ἐν τούτοις οἷς μέλλει ἔδεσθαι, ὅσον μόνον
τὴν δυςχέρειαν κατασβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι ταῖς διὰ
τῶν ῥινῶν γιγνομένην ἐν τοῖς σιτίοις τε καὶ ὄψοις.

Εἰπόντος οὖν ταῦτα αὐτοῦ, οἱ παρόντες ἀνεθορύ-
βησαν ὡς εὖ λέγοι, καὶ ἐγὼ εἶπον Ὦ Πρωταγόρα, ἐγὼ
τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ ἐάν τίς * μοι D
μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥς-
περ οὖν εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾤου ἂν χρῆναι,
εἴπερ ἔμελλές μοι διαλέξεσθαι, μεῖζον φθέγγεσθαι, ἢ πρὸς
τοὺς ἄλλους, οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες,
ξύντεμνέ μοι τὰς ἀποκρίσεις καὶ βραχυτέρας ποίει, εἰ
μέλλω σοι ἕπεσθαι. Πῶς οὖν κελεύεις με βραχέα ἀπο-
κρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι, ἢ δεῖ;
Μηδαμῶς, ἦν δ' ἐγώ. Ἀλλ' ὅσα δεῖ, ἔφη; Ναί, ἦν
* δ' ἐγώ. Πότερα οὖν, ὅσα ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, E
τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα σοί; Ἀκήκοα γοῦν, ἦν
δ' ἐγώ, ὅτι σὺ οἷός τ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι
περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως
ὥςτε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕ-
τως, ὥςτε μηδένα σοῦ ἐν βραχυτέροις εἰ*πεῖν. εἰ οὖν μέλ- 335
λεις ἐμοὶ διαλέξεσθαι, τῷ ἑτέρῳ χρῶ τρόπῳ πρός με, τῇ
βραχυλογίᾳ. Ὦ Σώκρατες, ἔφη, ἐγὼ πολλοῖς ἤδη εἰς ἀγῶ-
να λόγων ἀφικόμην ἀνθρώποις, καὶ εἰ τοῦτ' ἐποίουν ὃ
σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέ με διαλέγεσθαι, οὕ-
τω διελεγόμην, οὐδενὸς ἂν βελτίων ἐφαινόμην οὐδ' ἂν
ἐγένετο Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησιν. Καὶ ἐγώ,
ἔγνων γὰρ ὅτι οὐκ ἤρεσεν αὐτὸς αὑτῷ ταῖς ἀποκρίσεσι
ταῖς ἔμπροσθεν, καὶ ὅτι οὐκ ἐθε*λήσοι ἑκὼν εἶναι ἀπο- B
κρινόμενος διαλέγεσθαι, ἡγησάμενος οὐκέτι ἐμὸν ἔργον

perniciosum et pilis ceterorum animalium infestissimum, extra hominum pilos, hominis vero pilis auxiliarium reliquoque ipsius corpori; tam varium autem est bonum atque multiplex, ut hoc quoque externis quidem corporis humani partibus bonum, interioribus autem idem pessimum sit; iccircoque medici omnes interdicunt aegrotantibus ne oleo utantur nisi paucissimo in iis quae edere volunt, tantummodo ut molestiam deleat quae sensibus narium accidit per cibos et opsonia.

Haec quum dixisset, praesentes exsultabant, quod tam bene loqueretur, atque ego dixi O Protagora, equidem homo sum admodum obliviosus, et si quis longam mihi orationem habet, obliviscor totam rem quae agitur. quemadmodum igitur, si forte surdaster essem, te arbitrarere oportere, si sermonem mecum conferre velles, clarius loqui, quam, si cum ceteris: ita etiam nunc, quum in obliviosum incideris, contrahe mihi responsiones et breviores redde, si te subsequar oportet. Quo autem modo me iubes brevia respondere? an breviora tibi, inquit, respondeam, quam par est? Minime vero, inquam. Sed quantum par est? inquit. Etiam, inquam. Num quantum mihi videtur par esse respondere, tantum tibi respondeam, an quantum tibi? Audivi certe, inquam, te posse et ipsum et alios docere eadem de re longam orationem habere, si velis, ita ut oratio numquam deficiat, itemque tam breviter exponere, ut nemo te brevius loquatur. quodsi igitur mecum sermonem vis conferre, altera ratione apud me utere. breviloquentia. O Socrates, inquit, cum multis iam in orationum certamen descendi hominibus, et si hoc fecissem, quod tu iubes, si videlicet, ut adversarius iussisset, ita disseruissem, nemine melior repertus essem nullumque haberet Protagoras nomen apud Graecos. Tum ego, quum cognovissem Protagoram sibi ipsum non placere in iis quae paullo ante respondisset, nec libenter colloquuturum esse ita ut responderet, existimans non amplius

εἶναι παρεῖναι ἐν ταῖς ξυνουσίαις, Ἀλλά τοι, ἔφην, ὦ Πρω-
ταγόρα, οὐδ' ἐγὼ λιπαρῶς ἔχω παρὰ τὰ σοὶ δοκοῦντα
τὴν ξυνουσίαν ἡμῖν γίγνεσθαι, ἀλλ' ἐπειδὰν σὺ βούλῃ
διαλέγεσθαι, ὡς ἐγὼ δύναμαι ἕπεσθαι, τότε σοι διαλέ-
ξομαι· σὺ μὲν γάρ, ὡς λέγεται περὶ σοῦ, φὴς δὲ καὶ
αὐτός, καὶ ἐν μακρολογίᾳ καὶ ἐν βραχυλογίᾳ οἷός τ' εἶ
ξυνουσίας ποιεῖσθαι· σοφὸς γὰρ εἶ· * ἐγὼ δὲ τὰ μακρὰ C
ταῦτα ἀδύνατος, ἐπεὶ ἐβουλόμην ἂν οἷός τ' εἶναι. ἀλλὰ
σὲ ἐχρῆν ἡμῖν ξυγχωρεῖν τὸν ἀμφότερα δυνάμενον, ἵνα
ξυνουσία ἐγίγνετο· νῦν δὲ ἐπειδὴ οὐκ ἐθέλεις καὶ ἐμοί
τις ἀσχολία ἐστὶ καὶ οὐκ ἂν οἷός τ' εἴην σοι παραμεῖ-
ναι ἀποτείνοντι μακροὺς λόγους (ἐλθεῖν γάρ ποί με
δεῖ), εἶμι· ἐπεὶ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς σου
ἤκουον.

Καὶ ἅμα ταῦτ' εἰπὼν ἀνιστάμην ὡς ἀπιών· καί
μου ἀνισταμένου ἐπιλαμβάνεται ὁ Καλλίας * τῆς χειρὸς D
τῇ δεξιᾷ, τῇ δ' ἀριστερᾷ ἀντελάβετο τοῦ τρίβωνος του-
τουΐ, καὶ εἶπεν Οὐκ ἀφήσομέν σε, ὦ Σώκρατες· ἐὰν γὰρ
σὺ ἐξέλθῃς, οὐχ ὁμοίως ἡμῖν ἔσονται οἱ διάλογοι. δέο-
μαι οὖν σου παραμεῖναι ἡμῖν· ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς
ἥδιον ἀκούσαιμι, ἢ σοῦ τε καὶ Πρωταγόρου διαλεγομέ-
νων· ἀλλὰ χάρισαι ἡμῖν πᾶσιν. Καὶ ἐγὼ εἶπον (ἤδη δὲ
ἀνεστήκη ὡς ἐξιών) Ὦ παῖ Ἱππονίκου, ἀεὶ μέν ἔγωγέ
σου τὴν φιλοσοφίαν ἄγαμαι, ἀτὰρ καὶ νῦν ἐπαινῶ καὶ
φιλῶ, ὥστε * βουλοίμην ἂν χαρίζεσθαί σοι, εἴ μου δυ- E
νατὰ δέοιο· νῦν δ' ἐστίν, ὥσπερ ἂν εἰ δέοιό μου Κρί-
σωνι τῷ Ἱμεραίῳ δρομεῖ ἀκμάζοντι ἕπεσθαι, ἢ τῶν
δολιχοδρόμων τῳ ἢ τῶν ἡμεροδρόμων διαθεῖν τε καὶ
ἕπεσθαι, εἴποιμι ἄν σοι ὅτι Πο*λὺ σοῦ μᾶλλον ἐγὼ ἐμαυ- 336
τοῦ δέομαι θέουσι τούτοις ἀκολουθεῖν, ἀλλ' οὐ γὰρ δύνα-
μαι, ἀλλ' εἴ τι δέει θεάσασθαι ἐν τῷ αὐτῷ ἐμέ τε καὶ
Κρίσωνα θέοντας, τούτου δέου ξυγκαθεῖναι· ἐγὼ μὲν γὰρ
οὐ δύναμαι ταχὺ θεῖν, οὗτος δὲ δύναται βραδέως. εἰ
οὖν ἐπιθυμεῖς ἐμοῦ καὶ Πρωταγόρου ἀκούειν, τούτου δέου,

meum esse in partem venire colloquii, Nec vero, Protagora, inquam, sedulo id ago, ut praeter sententiam tuam disseramus, sed si volueris ea ratione disputare, qua subsequi possum, ita sermonem tecum conferam; nam tu quidem, ut dicitur de te ipseque ais, orationibus tam longis quam brevibus potes colloquia facere: sapiens enim es: ego vero non potis sum longas illas habere, quamquam vellem me id valere. at oportuit te nobis concedere, quum utrumque valeas, ut colloquium sereretur; nunc vero, quoniam non vis et ego occupatione aliqua distineor, nec possum manere apud te orationes in longitudinem extendentem (aliquo enim me ire oportet) ibo; quamquam haec quoque libenter ex te audiverim.

Simulatque haec dixeram, surrexi abiturus; at quum surgerem, Callias manu me prehendit dextra sua, sinistra vero apprehendit hocce pallium et Non dimittemus te, inquit, Socrate; nam si tu discesseris, non tam bene nobis sermones conferentur. quocirca te rogo atque oro, ut apud nos maneas; neminem enim libentius audiverim, quam te et Protagoram disputantes; age, gratificare nobis omnibus. Tum ego (iam surrexeram discessurus): O fili Hipponici, semper tuam discendi cupiditatem admirari soleo, quin etiam nunc eam et laudo et amo; quocirca vellem tibi gratificari, si, quod valerem, me rogares; nunc vero ita est quasi me roges, ut Crisonem Himeraeum, cursorem vegetum, consequar, vel cum aliquo ex iis qui curriculum longum emetiuntur, aut ex iis qui ingens uno die spatium percurrunt, cursu certem eumque consequar; quod si me roges, tibi dicam Multo magis, quam tu, me ipse id posco, ut hos currentes consequar, at non possum; sin autem cupis me et Crisonem aequaliter currentes spectare, hunc roga ut comiter se demittat; ego enim non possum celeriter currere, hic autem potest lente. quodsi igitur tibi volupe est, me et Protagoram audire, hunc

ὥσπερ τὸ πρῶτόν μοι ἀπεκρίνατο διὰ βραχέων καὶ αὐτὰ
τὰ ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνεσθαι· εἰ δὲ μή,
τίς ὁ τρόπος ἔ*σται τῶν διαλόγων; χωρὶς γὰρ ἔγωγ' ᾤμην B
εἶναι τὸ ξυνεῖναί τε ἀλλήλοις διαλεγομένους καὶ τὸ δημη-
γορεῖν. Ἀλλ' ὁρᾷς, ἔφη, ὦ Σώκρατες, δίκαια δοκεῖ λέγειν
Πρωταγόρας ἀξιῶν, αὑτῷ τε ἐξεῖναι διαλέγεσθαι, ὅπως
βούλεται, καὶ σοί, ὅπως ἂν αὖ σὺ βούλῃ. Ὑπολαβὼν
οὖν ὁ Ἀλκιβιάδης Οὐ καλῶς λέγεις, ἔφη, ὦ Καλλία· Σω-
κράτης μὲν γὰρ ὅδε ὁμολογεῖ μὴ μετεῖναί οἵ μακρολογίας
καὶ παραχωρεῖ Πρωταγόρᾳ, τοῦ δὲ δια*λέγεσθαι οἷός τ' C
εἶναι καὶ ἐπίστασθαι λόγον τε δοῦναι καὶ δέξασθαι θαυμά-
ζοιμ' ἂν εἴ τῳ ἀνθρώπων παραχωρεῖ. εἰ μὲν οὖν Πρωτα-
γόρας ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι,
ἐξαρκεῖ Σωκράτει, εἰ δὲ ἀντιποιεῖται, διαλεγέσθω ἐρωτῶν
τε καὶ ἀποκρινόμενος, μὴ ἐφ' ἑκάστῃ ἐρωτήσει μακρὸν
λόγον ἀποτείνων, ἐκκρούων τοὺς λόγους καὶ οὐκ ἐθέλων
διδόναι λόγον, ἀλλ' ἀπομηκύνων, ἕως ἂν ἐπιλά*θωνται D
περὶ ὅτου τὸ ἐρώτημα ἦν οἱ πολλοὶ τῶν ἀκουόντων· ἐπεὶ
Σωκράτη γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει
καί φησιν ἐπιλήσμων εἶναι. ἐμοὶ μὲν οὖν δοκεῖ ἐπιεικέστε-
ρα Σωκράτης λέγειν· χρὴ γὰρ ἕκαστον τὴν ἑαυτοῦ γνώμην
ἀποφαίνεσθαι.

Μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγᾦμαι, Κριτίας ἦν ὁ
εἰπών Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι
μάλα πρὸς Πρωταγόρου εἶναι, Ἀλκιβιάδης δὲ ἀεὶ φι-
*λόνεικός ἐστι πρὸς ὅ τι ἂν ὁρμήσῃ· ἡμᾶς δὲ οὐδὲν δεῖ E
ξυμφιλονεικεῖν οὔτε Σωκράτει οὔτε Πρωταγόρᾳ, ἀλλὰ
κοινῇ ἀμφοτέρων δεῖσθαι μὴ μεταξὺ διαλῦσαι τὴν ξυν-
ουσίαν.

Εἰπόντος δὲ αὐτοῦ ταῦτα, ὁ Πρόδικος Κα*λῶς μοι, 337
ἔφη, δοκεῖς λέγειν, ὦ Κριτία· χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε
λόγοις παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν
διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή· ἔστι γὰρ οὐ ταὐ-
τόν· κοινῇ μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον
δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ

roga ut, quemadmodum primum mihi refpondit breviter et ad ea ipfa quae interrogaveram, ita nunc quoque refpondeat; fin minus, quomodo procedent colloquia? aliud enim effe arbitrabar disferere inter fe, aliud concionari. Vides tamen, Socrate, inquit: iufta videtur petere Protagoras poftulans, ut fibi liceat disferere, quomodo velit, itemque tibi, quomodocumque tu volueris. Tum Alcibiades fuscipiens Non recte, inquit, dicis, Callia; Socrates enim hic fatetur, nihil ad fe pertinere longas orationes et cedit Protagorae; facultate vero colloquendi et fcientiae rationis tam reddendae quam accipiendae mirer fi cui homini cedat. quodfi Protagoras quoque fatetur, imperitiorem fe Socrate effe disputandi, fatis erit Socrati, fin id arrogat, colloquitor interrogans et refpondens, non in qualibet interrogatione orationem in longitudinem extendens, ita ut eludendo fermones irritos reddat nec dicendi copiam facere velit, fed orationem producat, dum oblivifcatur quae fuerit quaeftio maxima pars audientium; nam pro Socrate quidem fponfor fum, ipfum non effe obliturum, etiamfi iocatur et fe obliviofum effe dicit. itaque mihi videtur Socrates aequiora petere; oportet enim quemque fententiam fuam declarare.

Quae quum Alcibiades dixiffet, fi recte memini, Critias erat qui dicebat: O Prodice et Hippia, Callias mihi videtur valde a Protagora effe, Alcibiades autem femper contentionem facit, ad quodcumque mentem appellit; nos vero haud decet una contendere neque cum Socrate neque cum Protagora, fed communiter utrumque rogare, ut ne medium disfolvant colloquium.

Haec ubi dixerat, Prodicus Bene, inquit, mihi videris dicere, Critia; nam oportet eos, qui huiusmodi fermonibus interfunt, communes quidem effe ambobus colloquentibus auditores, fed non aequales; non enim eft idem. etenim communiter quidem audire decet ambos, non tamen aequale tribuere utrique, fed fapien-

δὲ ἀμαθεστέρῳ ἔλαττον. ἐγὼ μὲν καὶ αὐτός, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ἀξιῶ ὑμᾶς ξυγχωρεῖν καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμ*φισβητεῖν μέν, ἐρίζειν δὲ μή· ἀμφις- B
βητοῦσι μὲν γὰρ καὶ δι' εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις. καὶ οὕτως ἂν καλλίστη ἡμῖν ἡ ξυνουσία γίγνοιτο· ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε (εὐδοκιμεῖν μὲν γάρ ἔστι παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης, ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων), ἡμεῖς τ' αὖ οἱ ἀκούοντες * μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, οὐχ ἡδοί- C
μεθα· εὐφραίνεσθαι μὲν γὰρ ἔστι μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δὲ ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι. Ταῦτ' οὖν εἰπόντος τοῦ Προδίκου πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο.

Μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ὑμᾶς ξυγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι * φύσει, οὐ νό- D
μῳ· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει ξυγγενές ἐστιν, ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων καὶ κατ' αὐτὸ τοῦτο νῦν ξυνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὖ τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ', * ὥσπερ τοὺς φαυ- E
λοτάτους τῶν ἀνθρώπων, διαφέρεσθαι ἀλλήλοις. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ξυμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ξυμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν ξυμβιβαζόντων εἰς τὸ μέσον, καὶ * μήτε σὲ τὸ ἀκριβὲς 338
τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ὑμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κάλων ἐκτείναντα, οὐρίᾳ ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος

tiori plus, imperitiori vero minus. ipſe quoque, Protagora et Socrate, a vobis poſtulo, ut concedatis et inter vos quaeſtionibus disputetis, non certetis; disputant enim etiam benivolentia commoti amici cum amicis, certant vero disſidentes et inimici inter ſe; et ita pulcherrime procedet colloquium; nam vos quoque dicentes maximi hac ratione a nobis audientibus aeſtimabimini, non laudabimini (aeſtimari enim ineſt in animo audientium ſine ulla fraude, laudari autem in verbis ſaepe eorum, qui praeter animi ſententiam dicunt ac mentiuntur), etiam nos audientes maxime laetabimur, non delectabimur; laetari enim cadit in eum qui diſcit et prudentiam adipiſcitur, delectari autem in eum qui edit aliquid vel alia delectatione afficitur ipſo corpore. Quae quum Prodicus dixiſſet, permulti praesentium ea probaverunt.

Poſt Prodicum vero Hippias ſapiens Arbitror, inquit, o viri praesentes, nos cognatos et familiares et cives omnes eſſe natura, non lege; ſimile enim ſimili naturâ cognatum eſt, lex autem, quae dominatrix eſt hominum, multa praeter naturam cogit. turpe igitur foret, ſi nos rerum quidem naturam perſpectam haberemus, maxima vero e Graecis ſapientia praediti et hanc ipſam ob cauſam nunc congreſſi in ea Graeciae urbe, quae principatum in ſapientia obtinet, atque in urbis illius maxima et beatiſſima hac domo, nihil hac dignitate digni exhiberemus, ſed, ut viliſſimi hominum, disſideremus inter nos. ego igitur et peto et ſuadeo, Protagora et Socrate, ut controverſiam componatis noſtra auctoritate, qui tamquam arbitri vos conciliaturi ſumus in unum, ita ut neque tu accuratum illud colloquiorum genus quod nimia continetur brevitate petas, niſi gratum ſit Protagorae, ſed remittas ac laxes habenas ſermoni, quo ſplendidiores ac ſpecioſiores nobis reperiantur, neque Protagoras, omnibus rudentibus extenſis, in ventum ſecundum ſe immittens effugiat in

τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τοι ἀμφοτέ-
ρους τεμεῖν. ὣς οὖν ποιήσετε, καὶ πείθεσθέ μοι ῥαβδοῦ-
χον καὶ ἐπιστάτην καὶ πρύτανιν ἑλέσθαι, * ὃς ὑμῖν φυλά- B
ξει τὸ μέτριον μῆκος τῶν λόγων ἑκατέρου.

Ταῦτ' ἤρεσε τοῖς παροῦσι, καὶ πάντες ἐπήνεσαν (καὶ
ἐμέ γε *) ὁ Καλλίας οὐκ ἔφη ἀφήσειν) καὶ ἑλέσθαι ἐδέοντο
ἐπιστάτην. εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν εἴη βραβευτὴν αἱ-
ρεῖσθαι τῶν λόγων· Εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ αἱρε-
θείς, οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστα-
τεῖν, εἴτε ὅμοιος, οὐδ' οὕτως ὀρθῶς· ὁ γὰρ ὅμοιος ἡμῖν
ὅμοια καὶ ποιήσει, ὥςτε ἐκ περιττοῦ αἱρεθήσεται **).
ἀλλὰ δὴ * βελτίονα ἡμῶν αἱρήσεσθε. τῇ μὲν ἀληθείᾳ, ὡς C
ἐγῷμαι, ἀδύνατον ὑμῖν ὥςτε Πρωταγόρου τοῦδε σοφώτε-
ρόν τινα ἑλέσθαι· εἰ δὲ αἱρήσεσθε μὲν μηδὲν βελτίω, φή-
σετε δέ, αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνεται, ὥςπερ φαύλῳ
ἀνθρώπῳ, ἐπιστάτην αἱρεῖσθαι, ἐπεὶ τό γ' ἐμὸν οὐδέν μοι
διαφέρει. ἀλλ' οὑτωσὶ ἐθέλω ποιῆσαι, ἵν', ὃ προθυμεῖσθε,
ξυνουσία τε καὶ διάλογοι ἡμῖν γίγνωνται· εἰ μὴ βούλεται
Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐ*ρωτάτω, ἐγὼ δὲ D
ἀποκρινοῦμαι, καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι, ὡς ἐγώ
φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι· ἐπειδὰν δὲ
ἐγὼ ἀποκρίνωμαι, ὁπόσ' ἂν οὗτος βούληται ἐρωτᾶν, πάλιν
οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν οὖν μὴ δοκῇ πρόθυ-
μος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, καὶ ἐγὼ
καὶ ὑμεῖς κοινῇ δεησόμεθα αὐτοῦ, ἅπερ ὑμεῖς ἐμοῦ, μὴ δια-
φθείρειν τὴν ξυνουσίαν· καὶ οὐδὲν δεῖ τούτου ἕνεκα ἕνα ἐπι-
στά*την γενέσθαι, ἀλλὰ πάντες κοινῇ ἐπιστατήσετε. E

Ἐδόκει πᾶσιν οὕτω ποιητέον εἶναι· καὶ ὁ Πρωταγό-
ρας πάνυ μὲν οὐκ ἤθελεν, ὅμως δὲ ἠναγκάσθη ὁμολογῆ-
σαι ἐρωτήσειν, καὶ ἐπειδὰν ἱκανῶς ἐρωτήσῃ, πάλιν δώσειν
λόγον κατὰ σμικρὸν ἀποκρινόμενος. ἤρξατο οὖν ἐρωτᾶν
οὑτωσί πως.

Ἡγοῦμαι, ἔφη, ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παιδείας μέγι-

---

*) γρ. ἐμέ τε.
**) γρ. εἰρήσεται.

orationum mare, terram abscondens, sed ut ambo medium fere teneatis. ita igitur facite et obtemperate mihi: certaminis iudicem, praefectum et principem capite, qui utriusque vestrûm orationum modicam servet longitudinem.

Hoc visum est praesentibus; omnes laudarunt (et me quidem Callias se dixit non esse dimissurum) et rogarunt, ut caperetur praefectus; ego autem dixi turpe esse iudicem capere orationum: Nam si vilior erit nobis is qui captus fuerit, non conveniet viliori melioribus praeesse, sin aequalis, nec hoc recte habebit; nam aequalis nobis etiam aequalia faciet; quocirca supervacaneum erit eum capere. at vero meliorem nobis capietis. neque tamen profecto, ut arbitror, fieri potest, ut hoc Protagora sapientiorem capiatis, et si capitis nihilo meliorem, licet dicatis meliorem vos cepisse, etiam hoc turpe est, si ipsi tamquam vili homini praefectus capitur; nam ad me quidem quod attinet, nihil id mea refert. ita autem constitui facere, ut, quod cupitis, societas et colloquia nostra procedant: si Protagoras non volt respondere, ipse interrogato, ego autem respondebo, simulque ipsi commonstrare conabor, quomodo ego existimem respondenti esse respondendum; et quum ego respondi ad omnia quae interrogare ipsi libuerit, hic mihi vicissim rationem reddito similiter. quodsi non videbitur eo inclinare ut ad id ipsum quod interrogatum fuerit respondeat, et ego et vos communiter ipsum rogabimus id, quod vos me rogastis, ut ne irritum faciat colloquium; nec hanc ob causam unus sit praefectus necesse est, sed omnes communiter praefecti eritis.

Omnibus visum est ita faciendum; ac Protagoras quidem non satis volebat, cogebatur tamen concedere, ut interrogaturus esset et, quum satis interrogasset, vicissim rationem redderet breviter respondens. incipiebat igitur ita fere interrogare.

Existimo, inquit, Socrate, eruditionem viri maxi-

στον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι, ἔστι * δὲ τοῦτο τὰ ὑπὸ των ποιητῶν λεγόμενα οἷόν τ' εἶναι ξυνιέναι ἅ τε ὀρθῶς πεποίηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμενον λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ μέν, περὶ οὗπερ ἐγώ τε καὶ σὺ νῦν διαλεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένου *) δὲ εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ ὅτι Ἄνδρ' ἀγαθὸν μὲν ἀ*λαθέως γενέσθαι χαλεπόν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον. τοῦτο ἐπίστασαι τὸ ᾆσμα, ἢ πᾶν σοι διεξέλθω; Καὶ ἐγὼ εἶπον ὅτι Οὐδὲν δεῖ· ἐπίσταμαί τε γάρ, καὶ πάνυ μοι τυγχάνει μεμεληκὸς τοῦ ᾄσματος. Εὖ, ἔφη, λέγεις. πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς, ἢ οὔ; Πάνυ, ἔφην ἐγώ, καλῶς τε καὶ ὀρθῶς. Δοκεῖ δέ σοι καλῶς πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής; Οὐ καλῶς, ἦν δ' ἐγώ. Ὅρα δή, ἔφη, * βέλτιον. Ἀλλ', ὦ 'γαθέ, ἔσκεμμαι ἱκανῶς. Οἶσθα οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται, καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν φάτ' ἐσθλὸν ἔμμεναι. ἐννοεῖς ὅτι ὁ αὐτὸς οὗτος καὶ τάδε λέγει κἀκεῖνα τὰ ἔμπροσθεν; Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτα ἐκείνοις ὁμολογεῖσθαι; Φαίνεται ἔμοιγε· (καὶ ἅμα μέντοι ἐφοβούμην μή τι λέγῃ) ἀτάρ, ἔφην ἐγώ, σοὶ οὐ φαίνεται; Πῶς γὰρ * ἂν φαίνοιτο ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτ' ἀμφότερα λέγων, ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι ἄνδρ' ἀγαθὸν γενέσθαι ἀληθείᾳ, ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο, καὶ Πιττακὸν τὸν ταὐτὰ λέγοντα ἑαυτῷ ὅτι Χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί τε καὶ οὔ φησιν ἀποδέχεσθαι αὐτοῦ τὰ αὐτὰ ἑαυτῷ λέγοντος. καίτοι ὁπότε τὸν ταὐτὰ λέγοντα αὑτῷ μέμφεται, δῆλον ὅτι καὶ ἑαυτὸν μέμφεται, ὥςτε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει.

339 B C D

Εἰπὼν οὖν ταῦτα πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων· καὶ ἐγὼ τὸ μὲν πρῶτον, ὡςπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε

*) γρ. μετενηνεγμένον.

mam partem contineri carminum peritia; hoc vero eſt ea quae a poetis dicta ſunt poſſe iudicare, quae recte ſecusne ficta ſint, ſcire haec enarrare et, ſi interrogetur, rationem reddere. quocirca etiam nunc quaeſtio erit de eodem, de quo ego et tu nunc agimus, de virtute, translato autem in poeſin: hoc tantum discriminis erit. etenim Simonides dicit in carmine ad Scopam Creontis Theſſali filium: *Bonum quidem virum exſiſtere vere arduum, manibus et pedibus et mente quadratum, ſine vituperio fabricatum.* hoc noſtine carmen, an totum tibi referam? Tum ego Nihil opus eſt, inquam; novi enim et multum ſtudii ad hoc carmen contuli. Bene, inquit, narras; utrum igitur pulchre tibi videtur fictum eſſe et recte, necne? Sane, inquam, et pulchre et recte. Videtur autem tibi pulchre fictum eſſe, ſi poeta ſibi ipſe pugnat? Non bene, inquam. Conſidera, inquit, melius. At, o bone, perpendi ſatis. Scin tu, inquit, progrediente carmine ipſum dicere: *Neque concinne a Pittaco illud iudico quamvis ſapiente a viro dictum eſſe: difficile dixit probum eſſe.* intelligisne eundem et haec dicere et illa priora? Scio, inquam. Et videntur tibi, inquit, haec cum illis conſentire? Mihi quidem videntur (ſimul tamen verebar ne quid diceret), at, inquam, tibi non videntur? Quomodo enim videbitur ſecum ipſe conſentire, qui hoc utrumque dicit, ut qui primo ipſe poſuerit arduum eſſe virum bonum exſiſtere vere, paullulum autem in carmine progrediens id oblitus ſit et Pittacum, qui idem atque ipſe dicit *Arduum probum eſſe*, vituperet ac ſe dicat hoc non probare, licet idem dixerit. atqui ſi eum, qui eadem atque ipſe dicit, vituperat, dubium non eſt quin ſe ipſe vituperet; quocirca vel prius vel poſterius non recte dicit.

Haec poſtquam dixerat, plauſum et laudationem ipſi impertivit magna pars auditorum; atque ego primo, quaſi a bono pugile percuſſus, vertigine correptus ſum

καὶ ἰλλιγγίασα, εἰπόντος αὐτοῦ ταῦτα καὶ τῶν ἄλλων ἐπιθορυβησάντων, ἔπειτα, ὥς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ, ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγει ὁ ποιητής, τρέπομαι πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν Ὦ Πρόδικε, ἔφην ἐγώ, σὸς μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ ἀνδρί. * δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σέ, ὥσπερ ἔφη Ὅμη- 340
ρος τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως τὸν Σιμόεντα παρακαλεῖν, εἰπόντα

Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
Σχῶμεν.

ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ᾗ τό τε βούλεσθαι * καὶ ἐπι- B
θυμεῖν διαιρεῖς, ὡς οὐ ταὐτὸν ὄν, καὶ ἃ νῦν δὴ εἶπες πολλά τε καὶ καλά. καὶ νῦν σκόπει, εἴ σοι ξυνδοκεῖ ὅπερ ἐμοί· οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ Σιμωνίδης· σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην, ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι, ἢ ἄλλο; Ἄλλο νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγώ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρα ἀγαθὸν ἀληθείᾳ γενέσθαι χα*λεπὸν εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ C
Πρόδικος. Τὸν δέ γε Πιττακόν, ἦν δ' ἐγώ, μέμφεται, οὐχ ὡς οἴεται Πρωταγόρας, ταὐτὸν ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο· οὐ γὰρ τοῦτο ὁ Πιττακὸς ἔλεγε, χαλεπὸν τὸ γενέσθαι *) ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ ἔμμεναι· ἔστι δὲ οὐ ταὐτόν, ὦ Πρωταγόρα, ὥς φησι Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι· εἰ δὲ μὴ τὸ αὐτό ἐστι τὸ εἶναι τῷ γενέσθαι, οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς αὑτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε καὶ ἄλ*λοι πολλοί, καθ' Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν χαλεπὸν D
εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖναι, ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηϊδίην δ' ἤπειτα πέλειν, χαλεπήν περ ἐοῦσαν, ἐκτῆσθαι.

Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα ἐπήνεσέ με, ὁ δὲ Πρωταγόρας Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρατες, μεῖζον ἁμάρτημα ἔχει, ἢ ὃ ἐπανορθοῖς. Καὶ ἐγὼ εἶπον Κακὸν ἄρα μοι εἴργασται, ὡς ἔοικεν, ὦ Πρωταγόρα, καὶ εἰμί

*) γρ. τὸ χαλεπὸν γενέσθαι.

ac ſtupui, quum ille haec dixiſſet et reliqui applauderent, deinde, ut verum quidem tibi dicam, quo tempus ac ſpatium haberem ad perſcrutandum quid poeta diceret, converſus ſum ad Prodicum eumque vocans: O Prodice, inquam, tuus quidem civis eſt Simonides: par eſt te opem ferre viro. videor autem mihi te advocare, quemadmodum Homerus dixit Scamandrum ab Achille oppugnatum Simoenta advocaſſe his verbis:

Care mihi germane, viri vim ſustineamus
Ambo.

quin ego quoque te advoco, ne nobis Protagoras Simonidem diruat. etenim etiam deſiderat Simonidis correctio muſicam tuam, qua velle et cupere distinguis, quod non ſint eadem, et alia multa quae modo protuliſti pulchra. nunc igitur vide, an idem tibi videatur quod mihi; non enim videtur pugnare ſecum ipſe Simonides. tu vero, Prodice, ante declara ſententiam tuam: utrum idem tibi videtur exſiſtere et eſſe, an diverſum? Diverſum mehercule, inquit Prodicus. Nonne, inquam, in prioribus Simonides ſuam ipſe ſententiam declaraverat, virum vere bonum exſiſtere arduum eſſe? Vera dicis, inquit Prodicus. Pittacum vero, inquam, vituperat, qui non, ut Protagoras arbitratur, idem atque ipſe dicit, ſed diverſi aliquid; neque enim hoc Pittacus dixit, arduum eſſe *exſiſtere* probum, ut Simonides, ſed, *eſſe* probum; nec vero eſt idem, Protagora, ut hic Prodicus dicit, *eſſe* et *exſiſtere*, et ſi non eſt idem eſſe atque exſiſtere, non pugnat Simonides ſecum ipſe. atque dixerint forſitan Prodicus hic et alii multi cum Heſiodo, exſiſtere bonum arduum eſſe; ante virtutem enim deos ſudorem poſuiſſe; ſi quis vero ad ſummum pervenerit, facilem dein eſſe, licet ardua ſit, acquiſitu.

Prodicus quidem his auditis me laudavit, Protagoras autem Correctio tua, inquit, Socrate, etiam magis a vero aberrat, quam id quod corrigis. Tum ego retuli: Male igitur egi, ut apparet, Protagora, et ridicu-

τις γε*λοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. E
Ἀλλ' οὕτως ἔχει, ἔφη. Πῶς δή; ἦν δ' ἐγώ. Πολλὴ ἄν,
ἔφη, ἀμαθία εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τί φησιν
εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι, ὅ ἐστι πάντων χαλεπώτατον,
ὡς ἅπασι δοκεῖ ἀνθρώποις. Καὶ ἐγὼ εἶπον Νὴ τὸν
Δία, εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν τοῖς λόγοις
Πρόδικος ὅδε· κινδυνεύει γάρ τοι, ὦ Πρωταγόρα, ἡ
Προδίκου σοφία θεία τις εἶναι πάλαι, * ἤτοι ἀπὸ Σι- 341
μωνίδου ἀρξαμένη, ἢ καὶ ἔτι παλαιοτέρα. σὺ δὲ ἄλλων
πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνει, οὐχ,
ὥςπερ ἐγώ, ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου του-
τουΐ. καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν, ὅτι καὶ τὸ χα-
λεπὸν τοῦτο ἴσως οὐχ οὕτω Σιμωνίδης ὑπέλαβεν, ὥς-
περ σὺ ὑπολαμβάνεις, ἀλλ' ὥςπερ περὶ τοῦ δεινοῦ Πρό-
δικός με οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν ἐπαινῶν ἐγὼ ἢ
σὲ ἢ ἄλλον τινὰ λέγω ὅτι Πρωταγόρας σοφὸς καὶ δεινός
ἐστιν ἀνήρ, ἐρω*τᾷ, εἰ οὐκ αἰσχύνομαι τἀγαθὰ δεινὰ B
καλῶν· τὸ γὰρ δεινόν, φησί, κακόν ἐστιν· οὐδεὶς γοῦν
λέγει ἑκάστοτε δεινοῦ πλούτου οὐδὲ δεινῆς εἰρήνης οὐδὲ
δεινῆς ὑγιείας, ἀλλὰ δεινῆς νόσου καὶ δεινοῦ πολέμου
καὶ δεινῆς πενίας, ὡς τοῦ δεινοῦ κακοῦ ὄντος· — ἴσως
οὖν καὶ τὸ χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ
κακὸν ὑπολαμβάνουσιν ἢ ἄλλο τι, ὃ σὺ οὐ μανθάνεις.
ἐρώμεθα οὖν Πρόδικον (δίκαιον γὰρ τὴν Σιμωνίδου
φωνὴν τοῦτον ἐρωτᾶν) Τί ἔλεγεν, ὦ Πρόδικε, τὸ χαλε-
πὸν Σι*μωνίδης; Κακόν, ἔφη. Διὰ ταῦτ' ἄρα καὶ μέμ- C
φεται, ἦν δ' ἐγώ, ὦ Πρόδικε, τὸν Πιττακὸν λέγοντα
Χαλεπὸν ἐσθλὸν ἔμμεναι, ὥςπερ ἂν εἰ ἤκουεν αὐτοῦ
λέγοντος, ὅτι ἐστὶ κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει,
ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἄλλο ἢ τοῦτο,
καὶ ὀνειδίζειν τῷ Πιττακῷ, ὅτι τὰ ὀνόματα οὐκ ἠπί-
στατο ὀρθῶς διαιρεῖν, ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ
βαρβάρῳ τεθραμμένος; Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρω-
ταγόρα, Προδίκου τοῦδε· * ἔχεις τι πρὸς ταῦτα λέγειν; D
Καὶ ὁ Πρωταγόρας Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν,
ὦ Πρόδικε, ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι καὶ Σιμωνίδης τὸ

lus sum medicus: medens graviorem efficio morbum. Sane ita est, inquit. Quomodo tandem? inquam. Magna, inquit, inscitia foret poetae, si tam leve quid diceret virtutem esse ad acquirendum, quae omnium difficillima sit, ut omnibus ad unum videtur hominibus. Tum ego, At hercle, inquam, oppido opportune sermoni nostro interest hic Prodicus; dubitari enim nequit, Protagora, quin Prodici sapientia divina quaedam sit antiquitus, vel inde a Simonide coepta, vel etiam antiquior. et tu quidem, qui aliorum multorum peritus es, huius videris imperitus esse, non, ut ego, peritus, quia discipulus sum huius Prodici; neque mihi videris nunc intelligere, arduum illud forsitan Simonidem non ita accepisse, ut tu accipis, sed quemadmodum de *gravi* Prodicus me hicce admonet, quotiescumque vel te vel alium quempiam laudans dico: Protagoras sapiens ac gravis vir est; tunc videlicet rogat, annon me pudeat bona gravia vocare; grave enim, dicit, malum est; nemo certe dicere solet: graves divitiae, nec: gravis pax, nec: gravis sanitas, sed: gravis morbus, grave bellum, gravis paupertas, quia grave malum est: — sic fortasse etiam arduum Cei et Simonides in eam partem accipiunt, ac si malum sit vel aliud quid, quod tu ignoras. rogemus igitur Prodicum (par est enim hunc de Simonidis sermone interrogari): Quid significavit, Prodice, vocabulo arduum Simonides? Malum, inquit. Hanc igitur ob causam, inquam, Prodice, vituperat etiam Pittacum dicentem: Arduum probum esse, velut si audisset ipsum dicentem, malum probum esse. At quid arbitraris, inquit, Socrate, aliud dicere Simonidem et Pittaco ut probrum obiicere, nisi hoc, quod vocabula nescierit recte distinguere, quippe qui Lesbius esset et in sermone barbaro educatus? Audis vero, inquam, Protagora, hunc Prodicum? habesne quod contra dicas? Tum Protagoras Multum abest, inquit, ut ita se habeat, Prodice; probe potius scio Simonidem

χαλεπὸν ἔλεγεν, ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ τὸ κακόν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρωταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε εἰδέναι, ἀλλὰ παίζειν καὶ σοῦ δοκεῖν ἀποπειρᾶσθαι, εἰ οἷός τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν· ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χα*λεπὸν κακόν, μέγα τεκμήριόν E ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα· λέγει γὰρ ὅτι Θεὸς ἂν μόνος τοῦτο ἔχοι γέρας· οὐ δήπου τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι, εἶτα τὸν θεόν φησι μόνον τοῦτ' ἂν ἔχειν καὶ τῷ θεῷ τοῦτο τὸ γέρας *) ἀπένειμε μόνῳ· ἀκόλαστον γὰρ ἄν τινα λέγοι Σιμωνίδην ὁ Πρόδικος καὶ οὐδαμῶς Κεῖον. ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει * λαβεῖν μου πεῖραν ὅπως ἔχω, ὃ σὺ λέ- 342 γεις τοῦτο, περὶ ἐπῶν· ἐὰν δὲ βούλῃ, σοῦ ἀκούσομαι. Ὁ μὲν οὖν Πρωταγόρας ἀκούσας μου ταῦτα λέγοντος Εἰ σὺ βούλει, ἔφη, ὦ Σώκρατες· ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ, καὶ οἱ ἄλλοι.

Ἐγὼ τοίνυν, ἦν δ' ἐγώ, ἅ γ' ἐμοὶ δοκεῖ περὶ τοῦ ᾄσματος τούτου, πειράσομαι ὑμῖν διεξελθεῖν. Φιλοσοφία γάρ ἐστι παλαιοτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ τε καὶ ἐν Λακεδαίμονι, καὶ * σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσίν· ἀλλ' B ἐξαρνοῦνται καὶ σχηματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ κατάδηλοι ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν, ὥσπερ οὓς Πρωταγόρας ἔλεγε τοὺς σοφιστάς, ἀλλὰ δοκῶσι τῷ μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι, ἡγούμενοι, εἰ γνωσθεῖεν ᾧ περίεισι, πάντας τοῦτο ἀσκήσειν. νῦν δὲ ἀποκρυψάμενοι ἐκεῖνο ἐξηπατήκασι τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας, καὶ οἱ μὲν ὦτά τε κατάγνυνται μιμούμενοι αὐτούς, καὶ ἱμάντας πε*ριειλίττονται C καὶ φιλογυμναστοῦσι καὶ βραχείας ἀναβολὰς φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὰν βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς ξυγγενέσθαι σοφισταῖς καὶ ἤδη ἄχθωνται λάθρα ξυγγιγνόμενοι, ξενηλασίας ποιούμενοι τῶν τε λακωνιζόντων τούτων καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδημήσῃ, ξυγγίγνονται τοῖς

---

*) γρ. τοῦτο γέρας.

quoque arduum dixiſſe, quod nos reliqui dicimus, non malum, ſed quod non facile, verum multi negotii eſſet peragere. At ego quoque arbitror, inquam, Protagora, hoc dicere Simonidem et Prodicum huncce id ſcire quidem, ſed iocari teque videri tentare, an poſſis tuae ipſe orationi opem ferre; nam Simonidem quidem non dicere arduum malum, magno argumento eſt quae ſtatim deinceps ſequitur propoſitio; dicit enim: *Deus ſolus id habet muneris;* nequaquam, opinor, hoc dicit, malum probum eſſe, deinde deum ponit ſolum hoc habere et deo id muneris impertit ſoli; protervum enim fere diceret Simonidem Prodicus, neutiquam Ceum. at quod mihi videtur Simonidi propoſitum fuiſſe in hoc carmine condendo, volo tibi exponere, ſi vis periculum facere, qualis ſim in iſta quam tu dicis carminum enarratione; ſin mavis, te auditurus ſum. Atque Protagoras his ex me auditis Si vis, inquit, Socrate, enarra; Prodicus vero et Hippias et reliqui valde me adhortabantur.

Itaque, inquam, quae mihi quidem videntur de hoc carmine, ea conabor vobis exponere. Philoſophia enim antiquiſſima et maxima Graecis eſt Cretae et Lacedaemone, et ſophiſtarum, ubicumque terrarum ſunt, plurimi ibi reperiuntur; ſed infitiantur et ſimulant ſe neſcientes eſſe, ut ne deprehendantur ſapientia Graecis antecellere, ſicut illi quos Protagoras memoravit ſophiſtae, verum videantur pugnando et fortitudine antecellere, exiſtimantes, ſi cognoſceretur id quo antecellunt, fore ut omnes id exercerent; nunc vero illud celantes decipiunt eos, qui in urbibus Laconum mores affectant, et alii aures ſibi contundunt ipſos imitantes et caeſtus ſibi circumligant et palaeſtram adamant et brevia amicula geſtant, quaſi his ſuperent Graecos Lacedaemonii. Lacedaemonii autem quando libere volunt ſophiſtas convenire qui apud ipſos ſunt, et iam gravantur clam convenire, expulsis iis qui Laconum mores affectant, et ſi quis alius peregrinus apud ipſos commoratur, conve-

σοφισταῖς λανθάνοντες τοὺς ξένους, καὶ αὐτοὶ οὐδένα ἐῶσι τῶν νέων εἰς τὰς * ἄλλας πόλεις ἐξιέναι, ὥςπερ οὐδὲ D
Κρῆτες, ἵνα μὴ ἀπομανθάνωσιν ἃ αὐτοὶ διδάσκουσιν. εἰσὶ δὲ ἐν ταύταις ταῖς πόλεσιν οὐ μόνον ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες, ἀλλὰ καὶ γυναῖκες. γνοίητε δ' ἄν, ὅτι ἐγὼ ταῦτ' ἀληθῆ λέγω καὶ Λακεδαιμόνιοι πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται, ὧδε· εἰ γὰρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ ξυγγενέσθαι, τὰ μὲν πολλὰ ἐν τοῖς λό*γοις εὑ- E
ρήσει αὐτὸν φαῦλόν τινα φαινόμενον, ἔπειτα, ὅπου ἂν τύχῃ τῶν λεγομένων, ἐνέβαλε ῥῆμα ἄξιον λόγου βραχὺ καὶ ξυνεστραμμένον, ὥςπερ δεινὸς ἀκοντιστής, ὥςτε φαίνεσθαι τὸν προςδιαλεγόμενον παιδὸς μηδὲν βελτίω. τοῦτο οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι, ὅτι τὸ λακωνίζειν πολὺ μᾶλλόν ἐστι φιλοσοφεῖν, ἢ φιλογυμναστεῖν, εἰδότες ὅτι τοιαῦτα οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώπου. * τούτων ἦν καὶ Θαλῆς ὁ Μιλή- 343
σιος καὶ Πιττακὸς ὁ Μιτυληναῖος καὶ Βίας ὁ Πριηνεὺς καὶ Σόλων ὁ ἡμέτερος καὶ Κλεόβουλος ὁ Λίνδιος καὶ Μύσων ὁ Χηνεύς, καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο Λακεδαιμόνιος Χίλων· οὗτοι πάντες ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων παιδείας. καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευτα ἑκάστῳ εἰρημένα· οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀ*παρχὴν τῆς B
σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα ἃ δὴ πάντες ὑμνοῦσι, γνῶθι σαυτόν καὶ μηδὲν ἄγαν.

Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις Λακωνική· καὶ δὴ καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα ἐγκωμιαζόμενον ὑπὸ τῶν σοφῶν τὸ χαλεπὸν ἐσθλὸν * ἔμμεναι. ὁ οὖν Σιμωνίδης, ἅτε φιλότιμος C
ὢν ἐπὶ σοφίᾳ, ἔγνω ὅτι, εἰ καθέλοι τοῦτο τὸ ῥῆμα ὥςπερ εὐδοκιμοῦντα ἀθλητήν, καὶ περιγένοιτο αὐτοῦ, αὐτὸς εὐδοκιμήσοι ἐν τοῖς *) τότε ἀνθρώποις· εἰς τοῦτο οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα τούτῳ ἐπιβουλεύων κολοῦσαι

---

*) γρ. εὐδοκιμήσειε τοῖς κτλ.

niunt sophistas insciis peregrinis; ipsi quoque nulli permittunt iuveni in urbes alias exire, sicut nec Cretes, ne dediscant quae ipsi docent. sunt vero in hisce urbibus non viri modo qui doctrina et eruditione glorientur, verum etiam mulieres. cognoscetis me verum hoc dicere et Lacedaemonios ad philosophiam et dicendum optime institutos esse, hinc: si quis etiam cum vilissimo Lacedaemoniorum colloqui voluerit, maximam partem in sermone eum reperiet satis imperitum videri; tum vero, ubicumque sermonum est, immittit ille dictum memorabile, breve ac contortum, sicut peritus iaculator, ita ut videatur colloquens puero nihilo melior. hoc ipsum autem et in hodie viventibus sunt qui intellexerint et in veteribus fuerunt, Laconum mores imitari multo magis esse philosophari, quam palaestram adamare, quippe qui perspexissent eiusmodi dicta proferre posse hominis esse perfecte instituti. horum erat Thales Milesius, Pittacus Mitylenaeus, Bias Prienensis, Solon noster, Cleobulus Lindius, Myso Chenensis, et septimus in his numerabatur Lacedaemonius Chilo: hi omnes et aemulatores et amatores et discipuli erant Lacedaemoniorum eruditionis. et cognoscere licet, ipsorum sapientiam huiusmodi fuisse, dicta videlicet brevia ac memorabilia, cuique prolata: hi enim communiter convenerunt et primitias sapientiae consecrarunt Apollini in templo Delphico, inscribentes illa quae omnes celebrant: *nosce te ipsum* et *ne quid nimis.*

Quonam consilio haec profero? ut perspiciatur, hanc fuisse veteribus philosophandi rationem, breviloquentiam quandam Laconicam. atque etiam Pittaci separatim ferebatur hocce dictum laudibus ornatum a sapientibus: *arduum probum esse.* iam Simonides, sapientiae famam affectans, intellexerat, si prostravisset hoc dictum tamquam celebrem athletam atque superasset, fore ut ipse celebraretur ab hominibus suae aetatis. itaque adversus hoc dictum et hanc ob causam insidiose de ipso

αὐτὸ ἅπαν τὸ ᾆσμα πεποίηκεν, ὥς μοι φαίνεται. ἐπισκεψώμεθα δὴ αὐτὸ κοινῇ ἅπαντες, εἰ ἄρα ἐγὼ ἀληθῆ λέγω. εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη, εἰ βουλόμενος λέ*γειν ὅτι ἄνδρα ἀγαθὸν γενέσθαι χαλεπόν, ἔπειτα ἐνέβαλε τὸ D
μέν· τοῦτο γὰρ οὐδὲ πρὸς ἕνα λόγον φαίνεται ἐμβεβλῆσθαι, ἐὰν μή τις ὑπολάβῃ πρὸς τὸ τοῦ Πιττακοῦ ῥῆμα ὥσπερ ἐρίζοντα λέγειν τὸν Σιμωνίδην· λέγοντος τοῦ Πιττακοῦ ὅτι Χαλεπὸν ἐσθλὸν ἔμμεναι, ἀμφισβητοῦντα εἰπεῖν ὅτι Οὔκ, ἀλλὰ γενέσθαι μὲν χαλεπὸν ἄνδρ' ἀγαθόν ἐστιν, ὦ Πιττακέ, ὡς ἀληθῶς, οὐκ ἀληθείᾳ ἀγαθόν· οὐκ ἐπὶ τούτῳ λέγει τὴν ἀλήθειαν, ὡς * ἄρα ὄντων τινῶν τῶν μὲν ὡς ἀληθῶς ἀγαθῶν, τῶν δὲ E
ἀγαθῶν μέν, οὐ μέντοι ἀληθῶς (εὔηθες γὰρ τοῦτό γε φανείη ἂν καὶ οὐ Σιμωνίδου), ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι ἐν τῷ ᾄσματι τὸ ἀλαθέως, οὑτωσί πως ὑπειπόντα τὸ τοῦ Πιττακοῦ, ὥσπερ ἂν εἰ θείημεν αὐτὸν λέγοντα τὸν Πιττακὸν καὶ Σιμωνίδην ἀποκρινόμενον, εἰπόντα Ὦ ἄνθρωποι, χαλεπὸν ἐσθλὸν ἔμμεναι, τὸν δὲ ἀποκρινόμενον ὅτι Ὦ Πιτ*τακέ, οὐκ ἀληθῆ λέγεις· 344
οὐ γὰρ εἶναι, ἀλλὰ γενέσθαι μέν ἐστιν ἄνδρ' ἀγαθὸν χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀλαθέως. οὕτω φαίνεται τὸ *) πρὸς λόγον τὸ μὲν ἐμβεβλημένον καὶ τὸ ἀλαθέως ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον· καὶ τὰ ἐπιόντα πάντα τούτῳ μαρτυρεῖ ὅτι οὕτως εἴρηται. πολλὰ μὲν γάρ ἔστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσματι εἰρημένων ἀποδεῖξαι ὡς εὖ * πεποίηται· πάνυ γὰρ χαριέντως καὶ μεμε- B
λημένως ἔχει· ἀλλὰ μακρὸν ἂν εἴη αὐτὸ οὕτω διελθεῖν, ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν καὶ τὴν βούλησιν, ὅτι παντὸς μᾶλλον ἔλεγχός ἐστι τοῦ Πιττακείου ῥήματος διὰ παντὸς τοῦ ᾄσματος. λέγει γὰρ μετὰ τοῦτο ὀλίγα διελθών, ὡς ἂν εἰ λέγοι λόγον, ὅτι γενέσθαι μὲν ἄνδρ' ἀγαθὸν χαλεπὸν ἀλαθέως, οἷόν τε μέντοι ἐπί γε χρόνον τινά, γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει καὶ εἶναι * ἄνδρ' ἀγαθόν, ὡς σὺ λέγεις, C
ὦ Πιττακέ, ἀδύνατον καὶ οὐκ ἀνθρώπειον, ἀλλὰ θεὸς ἂν μόνος τοῦτ' ἔχοι τὸ γέρας, ἄνδρα δὲ οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι, ὃν ἂν ἀμήχανος συμφορὰ καθέλῃ. τίνα οὖν ἀμήχανος ξυμφορὰ καθαιρεῖ ἐν πλοίου

*) ἴσ. φαίνεταί μοι.

detrahere moliens, totum illud carmen fecit, ut mihi videtur. iam consideremus illud communiter omnes, an verum dicam. statim initium carminis insanum foret, si, hoc dicere volens, arduum esse virum bonum exsistere, intulisset *quidem;* hoc enim prorsus inepte videtur illatum esse, nisi sumimus, contra Pittaci dictum quasi certantem loqui Simonidem; nempe Pittaco dicente: Arduum probum esse, contendentem ipsum opponere: Non hoc, sed exsistere *quidem* virum bonum arduum est, Pittace, idque vere, non revera bonum; neque enim ita dicit *vere*, quasi alii vere boni sint, alii boni quidem, sed non vere (fatuum enim hoc videretur, non Simonidis esse), sed traiectum nos oportet accipere in carmine hoc *vere*, ita fere Pittaci illud intelligentes, ac si ponamus Pittacum loqui et Simonidem respondere, illumque dicere: O homines, arduum probum esse, hunc autem reponere: O Pittace, non verum dicis; neque enim esse, sed exsistere quidem virum bonum, manibus et pedibus et mente quadratum, sine vituperio fabricatum, arduum vere. atque ita videtur mihi convenienter illud *quidem* illatum et *vere* recte in fine positum esse: et quae sequuntur omnia testificantur ita esse dictum. copiose quidem de singulis in hoc carmine dictis ostendere liceret, quam bene ficta essent (nam admodum venuste et accurate habent), sed longum est hoc ita persequi; verum totam eius summam et consilium declaremus, quod quidem profecto nihil aliud est nisi hoc, Pittaci dictum totum per carmen refutare. loquitur enim deinde paullulum progressus ita, ac si dicere velit, exsistere quidem virum bonum arduum esse vere, attamen fieri hoc posse certe ad tempus, quum vero exstiteris, permanere in hoc statu et esse virum bonum, ut tu, Pittace, dicis, nec possibile nec humanum est, sed deus fere solus hoc habet muneris, *vir autem fieri nequit quin malus sit, si inexpugnabilis eum calamitas prostraverit.* quem vero inexpugnabilis calamitas prosternit in

ἀρχῇ; δῆλον ὅτι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ
καθήρηται· ὥςπερ οὖν οὐ τὸν κείμενόν τις ἂν καταβάλοι,
ἀλλὰ τὸν μὲν ἑστῶτά ποτε καταβάλοι ἄν τις, ὥςτε κείμε-
νον ποιῆσαι, τὸν δὲ κείμενον οὔ, οὕτω καὶ τὸν εὐμή*χα- D
νον ὄντα ποτὲ ἀμήχανος ἂν ξυμφορὰ καθέλοι, τὸν δὲ ἀεὶ
ἀμήχανον ὄντα οὔ· καὶ τὸν κυβερνήτην μέγας χειμὼν ἐπι-
πεσὼν ἀμήχανον ἂν ποιήσειε, καὶ γεωργὸν χαλεπὴ ὥρα
ἐπελθοῦσα ἀμήχανον ἂν θείη, καὶ ἰατρὸν ταὐτὰ ταῦτα·
τῷ μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι, ὥςπερ καὶ παρ'
ἄλλου ποιητοῦ μαρτυρεῖται τοῦ εἰπόντος

Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός·

τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσθαι, ἀλλ' ἀεὶ * εἶναι ἀνάγ- E
κη· ὥςτε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπει-
δὰν ἀμήχανος ξυμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ οὐ κακὸν
ἔμμεναι· σὺ δέ φης, ὦ Πιττακέ, χαλεπὸν ἐσθλὸν ἔμμεναι,
τὸ δ' ἔστι γενέσθαι μὲν χαλεπόν, δυνατὸν δὲ ἐσθλόν, ἔμ-
μεναι δ' ἀδύνατον. *Πράξας μὲν γὰρ εὖ πᾶς ἀνὴρ
ἀγαθός, κακὸς δ' εἰ κακῶς.* τίς οὖν εἰς γράμματα
ἀγαθὴ πρᾶξίς ἐστι, καὶ * τίς ἄνδρ' ἀγαθὸν ποιεῖ εἰς γράμ- 345
ματα; δῆλον ὅτι ἡ τούτων μάθησις. τίς δὲ εὐπραγία ἀγα-
θὸν ἰατρὸν ποιεῖ; δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς θερα-
πείας μάθησις. *Κακὸς δὲ *) κακῶς.* τίς οὖν ἂν κακὸς
ἰατρὸς γένοιτο; δῆλον ὅτι ᾧ πρῶτον μὲν ὑπάρχει ἰατρῷ
εἶναι, ἔπειτα ἀγαθῷ ἰατρῷ· οὗτος γὰρ ἂν καὶ κακὸς γέ-
νοιτο, ἡμεῖς δὲ οἱ ἰατρικῆς ἰδιῶται οὐκ ἄν ποτε γενοίμε-
θα κακῶς πράξαντες οὔτε ἰατροὶ οὔτε τέκτονες οὔτε ἄλλο
οὐδὲν τῶν τοιούτων, ὅς*τις δὲ μὴ **) ἰατρὸς ἂν γένοιτο B
κακῶς πράξας, δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός. οὕτω καὶ
ὁ μὲν ἀγαθὸς ἀνὴρ γένοιτ' ἄν ποτε καὶ κακὸς ἢ ὑπὸ
χρόνου ἢ ὑπὸ πόνου ἢ ὑπὸ νόσου ἢ ὑπὸ ἄλλου τινὸς
περιπτώματος (αὕτη γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπι-
στήμης στερηθῆναι), ὁ δὲ κακὸς ἀνὴρ οὐκ ἄν ποτε

---

*) ἴσ. δ' εἰ.
**) ἴσ. μηδ'.

navis gubernatione? ſcilicet non imperitum; imperitus enim ſemper proſtratus eſt. quemadmodum igitur non iacentem deiicimus, ſed ſtantem quispiam quandoque deiecerit ita ut iacere eum faciat, non iacentem, ſic etiam eum, qui ſibi conſulere ſcit, quandoque inexpugnabilis poteſt calamitas proſternere. non eum, qui ſemper conſilii inops eſt; et gubernatorem ingens procella ingruens conſilii inopem reddet, et agricolam adverſa tempeſtas conſilii inopem efficiet, et medicum ſimiliter. etenim in probum cadit ut improbus evadat, ſicut alius quoque poeta teſtatur qui dicit:

At vero bonus eſt nunc improbus eſtque probus nunc.

in malum vero non cadit ut malus fiat, ſed ſemper ſit neceſſe eſt. quocirca is, qui ſibi poteſt conſulere et ſapiens bonusque eſt, quando inexpugnabilis eum calamitas proſternit, fieri nequit quin malus ſit; tu vero, Pittace, dicis, arduum probum eſſe; revera autem exſiſtere quidem probum arduum eſt. at poſſibile, eſſe autem haud poſſibile: *Fortuna enim proſpera utens quivis vir bonus, malus autem, ſi adverſa utitur.* quae igitur in litteris proſpera eſt fortuna et quae virum bonum reddit in litteris? ſcilicet earum perceptio. quae porro fortuna propitia bonum medicum efficit? ſcilicet artis aegrotorum ſanandorum perceptio. *Malus autem, ſi adverſa utitur.* quis igitur malus erit medicus? is ſcilicet, qui primum medicus, deinde bonus medicus eſt; hic enim etiam malus poteſt exſiſtere. nos autem medicinae ignari numquam, ſi adverſa nobis fortuna eſt, fieri poterimus neque medici neque fabri neque aliud quicquam generis eiusdem; qui vero, ſi adverſa utitur fortuna, omnino medicus fieri nequit, nec malus medicus, ut patet, fieri poteſt. ita etiam bonus vir quandoque vel malus fieri poteſt vel per temporis longinquitatem vel per laborem vel per morbum vel per alium quempiam caſum (haec eſt enim ſola fortuna adverſa, ſcientiae amiſſio), malus autem vir numquam fieri po-

γένοιτο κακός· ἔστι γὰρ ἀεί· ἀλλ' εἰ μέλλει κακὸς γενέσθαι, δεῖ
αὐτὸν πρότερον ἀγαθὸν γενέσθαι. ὥστε καὶ τοῦτο τοῦ ᾄσμα-
τος πρὸς τοῦτο τείνει, ὅτι * εἶναι μὲν ἄνδρ' ἀγαθὸν οὐχ οἷόν C
τε διατελοῦντα ἀγαθόν, γενέσθαι δὲ ἀγαθὸν οἷόν τε, καὶ κα-
κόν γε τὸν αὐτὸν τοῦτον. Ἐπὶ πλεῖστον δὲ καὶ ἄριστοί
εἰσιν, οὓς ἂν οἱ θεοὶ φιλῶσι. ταῦτά τε οὖν πάντα πρὸς
τὸν Πιττακὸν εἴρηται, καὶ τὰ ἐπιόντα γε τοῦ ᾄσματος ἔτι μᾶλ-
λον δηλοῖ· φησὶ γὰρ Τοὔνεκεν οὔ ποτ' ἐγὼ τὸ μὴ γε-
νέσθαι δυνατὸν διζήμενος κενεὰν ἐς ἄπρακτον
ἐλπίδα μοῖραν αἰῶνος βαλέω, πανάμωμον ἄν-
θρωπον, εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθο-
νός· ἔπειθ' ὑμῖν εὑρὼν ἀ*παγγελέω, φησίν. οὕτω D
σφόδρα καὶ δι' ὅλου τοῦ ᾄσματος ἐπεξέρχεται τῷ τοῦ Πιττακοῦ
ῥήματι. Πάντας δὲ ἐπαίνημι καὶ φιλέω ἑκών, ὅς-
τις ἔρδῃ μηδὲν αἰσχρόν· ἀνάγκῃ δ' οὐδὲ θεοὶ
μάχονται. καὶ τοῦτ' ἐστὶ πρὸς τὸ αὐτὸ τοῦτο εἰρημένον· οὐ
γὰρ οὕτως ἀπαίδευτος ἦν Σιμωνίδης, ὥστε τούτους φάναι
ἐπαινεῖν, ὃς ἂν ἑκὼν μηδὲν κακὸν ποιῇ, ὡς ὄντων τινῶν οἳ
ἑκόντες κακὰ ποιοῦσιν· ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι
οὐδεὶς τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑ*κόντα E
ἐξαμαρτάνειν οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι, ἀλλ'
εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ κακὰ ποιοῦντες ἄκοντες
ποιοῦσι. καὶ δὴ καὶ ὁ Σιμωνίδης οὐχ ὃς ἂν μὴ κακὰ ποιῇ
ἑκών, τούτου φησὶν ἐπαινέτης εἶναι, ἀλλὰ περὶ ἑαυτοῦ λέγει
τοῦτο τὸ ἑκών· ἡγεῖτο γὰρ ἄνδρα καλὸν κἀγαθὸν πολλάκις
αὑτὸν ἐπαναγκάζειν φίλον τινὶ γίγνεσθαι καὶ * ἐπαινέτην *), 346
οἷον ἀνδρὶ πολλάκις ξυμβῆναι μητέρα ἢ πατέρα ἀλλόκοτον ἢ
πατρίδα ἢ ἄλλο τι τῶν τοιούτων· τοὺς μὲν οὖν πονηρούς,
ὅταν τοιοῦτόν τι αὐτοῖς ξυμβῇ, ὥσπερ ἀσμένους ὁρᾶν καὶ ψέ-
γοντας ἐπιδεικνύναι καὶ κατηγορεῖν τὴν πονηρίαν τῶν γο-
νέων ἢ πατρίδος, ἵν' αὐτοῖς ἀμελοῦσιν αὐτῶν μὴ ἐγκαλῶσιν
οἱ ἄνθρωποι μηδ' ὀνειδίζωσιν ὅτι ἀμελοῦσιν, ὥστε ἔτι μᾶλ-
λον ψέγειν τε * αὐτοὺς καὶ ἔχθρας ἑκουσίους πρὸς ταῖς B
ἀναγκαίαις προστίθεσθαι· τοὺς δ' ἀγαθοὺς ἐπικρύπτεσθαί τε

*) γρ. ἐπαινέτην φιλεῖν καὶ ἐπαινεῖν.

test malus: est enim semper; verum si malus est futurus, ante bonus fuerit necesse est. itaque hic quoque carminis locus huc spectat ut declaretur, esse quidem virum bonum constanter bonum haud esse possibile, exsistere vero bonum possibile, eundemque etiam malum. *Diutissime autem et optimi sunt, quos dii amant.* haec igitur omnia adversus Pittacum dicta sunt, idque quae sequuntur etiam magis declarant; dicit enim: *Iccirco numquam ego id, quod fieri nequit, quaerens inanem irritamque in spem aevi partem proiiciam, fore ut inveniam virum prorsus integrum ex omnibus nobis, latae quicumque terrae fructibus vescimur. tum vobis quum invenero indicabo,* dicit. tam vehementer totum per carmen persequitur Pittaci dictum. *Omnes vero laudo et amo ultro, qui nihil turpiter faciunt; cum necessitate autem ne dii quidem pugnant.* etiam hoc adversus idem illud est dictum; neque enim tam incultus erat Simonides, ut eos se diceret laudare, quicumque ultro nihil male facerent, quasi essent qui ultro male facerent. equidem ita ferme censeo neminem de viris sapientibus existimare ullum hominem ultro peccare vel turpiter ac male ultro facere, sed probe cognitum ipsos habere, omnes qui turpiter et male quid faciant invitos id facere, atque etiam Simonides non eius, qui nihil male facit ultro, laudatorem se profitetur, sed in semet ipso dicit illud *ultro*; existimabat videlicet virum honestum ac bonum saepenumero se ipsum eo adigere, ut alicuius amicus et laudator esset, veluti viro saepius contingere matrem vel patrem ferocem aut patriam aut aliud quid generis eiusdem; improbos igitur, si tale quid ipsis usu veniret, propemodum libenter id videre, vituperando manifestum facere et accusare improbitatem parentum vel patriae, ne homines criminarentur et ut probrum sibi obiicerent, quod eos non curarent, iccircoque etiam magis vituperare illos et inimicitias voluntarias ad necessarias adiungere; bonos autem id occultare atque

καὶ ἐπαινεῖν ἀναγκάζεσθαι, καὶ ἐάν τι ὀργισθῶσι τοῖς γονεῦσιν ἢ πατρίδι ἀδικηθέντες, αὐτοὺς ἑαυτοὺς παραμυθεῖσθαι καὶ διαλλάττεσθαι προςαναγκάζοντας ἑαυτοὺς φιλεῖν τοὺς ἑαυτῶν καὶ ἐπαινεῖν. πολλάκις δέ, οἶμαι, καὶ Σιμωνίδης ἡγήσατο καὶ αὐτὸς ἢ τύραννον ἢ ἄλλον τινὰ τῶν τοιούτων ἐπαινέσαι καὶ ἐγκωμιάσαι οὐχ ἑκών, ἀλλ' ἀναγκα-*ζόμενος. ταῦτα δὴ καὶ τῷ Πιττακῷ λέγει ὅτι Ἐγώ, ὦ C
Πιττακέ, οὐ διὰ ταῦτά σε ψέγω ὅτι εἰμὶ φιλόψογος, ἐπεὶ ἔμοιγε ἐξαρκεῖ, ὃς ἂν μὴ κακὸς ᾖ μηδ' ἄγαν ἀπάλαμνος, εἰδώς τ' ὀνησίπολιν*) δίκαν ὑγιὴς ἀνήρ· οὔ μιν ἐγὼ μωμήσομαι· οὐ γάρ εἰμι φιλόμωμος· τῶν γὰρ ἠλιθίων ἄπειρα γένεθλα, ὥςτ' εἴ τις χαίρει ψέγων, ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος. Πάντα τοι καλά, τοῖσί τ' αἰσχρὰ μὴ μέμικται. οὐ τοῦτο λέγει, ὥςπερ ἂν εἰ ἔλεγε πάντα τοι* λευκά, οἷς μέλανα D
μὴ μέμικται (γελοῖον γὰρ ἂν εἴη πολλαχῇ), ἀλλ' ὅτι αὐτὸς καὶ τὰ μέσα ἀποδέχεται, ὥστε μὴ ψέγειν. καὶ οὐ ζητῶ, ἔφη, πανάμωμον ἄνθρωπον, εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός· ἔπειθ' ὑμῖν εὑρὼν ἀπαγγελέω. ὥςτε τούτου γ' ἕνεκα οὐδένα ἐπαινέσομαι, ἀλλά μοι ἐξαρκεῖ, ἂν ᾖ μέσος καὶ μηδὲν κακὸν ποιῇ, ὡς ἐγὼ πάντας φιλέω καὶ ἐπαίνημι (καὶ τῇ φωνῇ ἐνταῦθα κέχρηται τῇ τῶν Μιτυληναίων, ὡς πρὸς Πιττακὸν λέ*γων τὸ πάν- E
τας δ' ἐπαίνημι καὶ φιλέω ἑκών· ἐνταῦθα δεῖ ἐν τῷ ἑκὼν διαλαβεῖν λέγοντα), ὅςτις ἕρδῃ μηδὲν αἰσχρόν, ἄκων δ' ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ. σὲ οὖν, καὶ εἰ μέσως ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ, ὦ Πιττακέ,* οὐκ ἄν ποτε ἔψεγον, 347
νῦν δὲ σφόδρα γὰρ καὶ περὶ τῶν μεγίστων ψευδόμενος δοκεῖς ἀληθῆ λέγειν· διὰ ταῦτά σε ἐγὼ ψέγω.

Ταῦτά μοι δοκεῖ, ὦ Πρόδικε καὶ Πρωταγόρα, ἦν δ' ἐγώ, Σιμωνίδης διανοούμενος πεποιηκέναι τοῦτο τὸ ᾆσμα.

Καὶ ὁ Ἱππίας Εὖ μέν μοι δοκεῖς, ἔφη, ὦ Σώκρατες, καὶ σὺ περὶ τοῦ ᾄσματος διεληλυθέναι, ἔστι μέντοι, ἔφη, καὶ ἐμοὶ λόγος περὶ * αὐτοῦ εὖ ἔχων, ὃν ὑμῖν ἐπιδείξω, ἂν B

---

*) γρ. εἰδώς γε ὀνήσει πόλιν.

etiam laudare coactos esse, et si irascerentur parentibus vel patriae iniuria affecti, se ipsos consolari ac reconciliare cum illis, etiam cogentes se ipsos, ut suos amarent ac laudarent. saepe vero, opinor, Simonides ipse quoque vel tyrannum vel alium quempiam generis eiusdem sibi laudandum ac celebrandum esse iudicauit, non ultro, sed coactus. haec igitur Pittaco quoque dicit: Ego, Pittace, non propterea te vitupero quod vituperare amo; nam *mihi satisfacit, quicumque non est malus nec nimis iners, callensque urbium adiutricem iustitiam integer vir. eum non vituperabo; neque enim sum amans vituperationis; nam stultorum innumera genera*: ut si quis in vituperando delectetur, animum satiare possit illos vituperando. *Omnia sane pulchra, quibus turpia non sunt mixta.* hoc non ita protulit ac si diceret: omnia sane alba, quibus nigra non sunt mixta (ridiculum enim esset multis modis), sed hoc significans, se ipsum etiam mediocria probare, ita ut non vituperaret. et non quaero, inquit, *virum prorsus integrum ex omnibus nobis, latae quicumque terrae fructibus vescimur. tum vobis quum invenero indicabo.* hanc igitur ob causam neminem laudabo, sed satisfacit mihi, qui mediocris est nec mali quid facit; nam ego *omnes amo et laudo* (et hic Mitylenaeorum sermone utitur, ad Pittacum conversus hoc dicens: *omnes laudo et amo ultro*; hic vero oportet post *ultro* distinguere pronunciando), *quicunque nihil turpiter faciunt*; sunt vero quos invitus laudem atque amem. te igitur, Pittace, etiamsi mediocriter dixisses consentanea et vera, numquam vituperarem, nunc vehementer scilicet et gravissimis de rebus mentiens videris dicere vera; iccirco te vitupero.

Haec mihi videtur, Prodice et Protagora, inquam, Simonides in animo habens hoc condidisse carmen.

Tum Hippias Bene, inquit, Socrate, mihi videris de carmine exposuisse; est tamen, inquit, mihi quoque oratio super eo bene habens, quam vobis ostentabo, si

βούλησθε. Καὶ ὁ Ἀλκιβιάδης Ναί, ἔφη, ὦ Ἱππία, ἐςαῦθίς γε, νῦν δὲ δίκαιόν ἐστιν, ἃ ὡμολογησάτην πρὸς ἀλλήλω Πρωταγόρας καὶ Σωκράτης, Πρωταγόρας μὲν εἰ ἔτι βούλεται ἐρωτᾶν, ἀποκρίνεσθαι Σωκράτη, εἰ δὲ δὴ βούλεται Σωκράτει ἀποκρίνεσθαι, ἐρωτᾶν τὸν ἕτερον. Καὶ ἐγὼ εἶπον Ἐπιτρέπω μὲν ἔγωγε Πρωταγόρᾳ ὁπότερον αὐτῷ ἥδιον, εἰ δὲ * βουλεται, C
περὶ μὲν ᾀσμάτων τε καὶ ἐπῶν ἐάσωμεν, περὶ δὲ ὧν τὸ πρῶτον ἐγώ σε ἠρώτησα, ὦ Πρωταγόρα, ἡδέως ἂν ἐπὶ τέλος ἔλθοιμι μετὰ σοῦ σκοπούμενος· καὶ γὰρ δοκεῖ μοι τὸ περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι τοῖς ξυμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων· καὶ γὰρ οὗτοι, διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν ξυνεῖναι ἐν τῷ πότῳ μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν ὑπὸ ἀπαιδευσίας, τιμίας ποιοῦσι τὰς αὐλητρίδας, πολλοῦ μισ*θούμε- D
νοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις ξύνεισιν· ὅπου δὲ καλοὶ κἀγαθοὶ ξυμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας οὔτε ὀρχηστρίδας οὔτε ψαλτρίας, ἀλλ' αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας ξυνεῖναι ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων διὰ τῆς αὑτῶν φωνῆς, λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν * πάνυ πολὺν οἶνον πίωσιν. οὕτω δὲ καὶ E
αἱ τοιαίδε ξυνουσίαι ἐὰν μὲν λάβωνται ἀνδρῶν, οἷοίπερ ἡμῶν οἱ πολλοί φασιν εἶναι, οὐδὲν δέονται ἀλλοτρίας φωνῆς οὐδὲ ποιητῶν, οὓς οὔτε ἀνερέσθαι οἷόν τ' ἐστὶ περὶ ὧν λέγουσιν, ἐπαγόμενοί τε αὐτοὺς οἱ πολλοὶ ἐν τοῖς λόγοις οἱ μὲν ταῦτά φασι τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα, περὶ πράγματος διαλεγόμενοι ἀδυνατοῦσιν *) ἐξελέγξαι· ἀλλὰ τὰς μὲν τοιαύτας ξυνουσίας ἐῶσι χαίρειν, αὐτοὶ δ' ἑαυτοῖς ξύνεισι δι' * ἑαυτῶν, ἐν τοῖς ἑαυτῶν λόγοις πεῖραν ἀλλήλων λαμ- 348
βάνοντες καὶ διδόντες. τοὺς τοιούτους μοι δοκεῖ χρῆναι μᾶλλον μιμεῖσθαι ἐμέ τε καὶ σέ, καταθεμένους τοὺς ποιητὰς αὐτοὺς δι' ἡμῶν αὐτῶν πρὸς ἀλλήλους τοὺς λόγους ποιεῖσθαι, τῆς ἀληθείας καὶ ἡμῶν αὐτῶν πεῖραν λαμβάνοντας. κἂν μὲν βούλῃ ἔτι ἐρωτᾶν, ἕτοιμός εἰμί σοι παρέχειν ἀποκρινόμενος, ἐὰν δὲ βούλῃ, σὺ ἐμοὶ παράσχες, περὶ ὧν μεταξὺ ἐπαυσάμεθα διεξιόντες, τούτοις τέλος ἐπιθεῖναι.

---

*) ἴσ. ἀδυνάτου σφίσιν.

volueritis. Atque Alcibiades Immo, inquit, Hippia, illud alias, nunc, id quod convenit inter Protagoram et Socratem, oportet, si Protagoras adhuc volt interrogare, Socratem respondere, sin Socrati volt respondere, interrogare alterum. Tum ego Permitto equidem, inquam, Protagorae utrumcumque ipsi gratius erit; si vero ipsi videtur, de carminibus vel lyricis vel epicis mittamus, de quibus autem primum te interrogavi, Protagora, haec libenter ad finem venerim tecum perscrutans. videtur enim mihi sermo qui de poesi fit simillimus esse conviviis vilium et plebeiorum hominum. nam hi, quoniam non possunt secum per se esse in compotatione, sua ipsi voce et suo ipsi sermone, propter cultum deficientem, pretiosas efficiunt tibicinas, magna mercede conducentes alienam tibiarum vocem, earumque per vocem inter se versantur; ubi vero honesti ac boni convivae et eruditi sunt, nec tibicinas videbis nec saltatrices nec fidicinas, sed eos animadvertes inter se versari posse sine nugis ac ludis istis sua ipsos voce, et dicentes et audientes se alternis ordine, etiamsi multum vini biberint. huiusmodi inter societates quando nactae sunt viros, quales plurimi nostrûm se dicunt esse, neque indigent alienae vocis neque poetarum, quos interrogare non licet de iis quae dicunt, quocirca qui eos afferunt in sermonibus alii aliud poetae propositum fuisse contendunt, de re colloquentes quam nullis probare argumentis possunt; at huiusmodi societates missas faciunt, ipsi autem secum per se sunt, periculum sui et facientes inter se et fieri sinentes. tales mihi potius videntur imitandi esse et mihi et tibi, ita ut poetis remotis per nos ipsos verba faciamus, veri nostrique ipsorum periculum facientes. et si adhuc vis interrogare, me tibi dedam ad respondendum, sin hoc mavis, tu mihi permitte, ut, quae media destitimus persequi, iis finem imponam.

* Λέγοντος οὖν ἐμοῦ ταῦτα καὶ τοιαῦτ' ἄλλα οὐδὲν ἀπε- B
σάφει ὁ Πρωταγόρας ὁπότερα ποιήσοι. εἶπεν οὖν ὁ Ἀλκιβιά-
δης πρὸς τὸν Καλλίαν βλέψας Ὦ Καλλία, δοκεῖ σοι,
ἔφη, καὶ νῦν καλῶς Πρωταγόρας ποιεῖν, οὐκ ἐθέλων
εἴτε δώσει λόγον εἴτε μὴ διασαφεῖν; ἐμοὶ γὰρ οὐ δοκεῖ·
ἀλλ' ἤτοι διαλεγέσθω ἢ εἰπέτω ὅτι οὐκ ἐθέλει διαλέγε-
σθαι, ἵνα τούτῳ μὲν ταῦτα ξυνειδῶμεν, Σωκράτης δὲ
ἄλλῳ τῳ διαλέγηται ἢ ἄλλος ὅστις ἂν βούληται * ἄλλῳ. C
Καὶ ὁ Πρωταγόρας αἰσχυνθείς, ὥς γέ μοι ἔδοξε, τοῦ τε
Ἀλκιβιάδου ταῦτα λέγοντος καὶ τοῦ Καλλίου δεομένου
καὶ τῶν ἄλλων σχεδόν τι τῶν παρόντων, μόγις προὐτρά-
πετο εἰς τὸ διαλέγεσθαι καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν ὡς
ἀποκρινόμενος.

Εἶπον δὴ ἐγώ Ὦ Πρωταγόρα, μὴ οἴου διαλέγεσθαί
μέ σοι ἄλλο τι βουλόμενον, ἢ ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε,
ταῦτα διασκέψασθαι· ἡγοῦμαι γὰρ πάνυ λέγειν τι τὸν
Ὅμηρον τὸ

Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν. D

εὐπορώτεροι γάρ πως ἅπαντές ἐσμεν οἱ ἄνθρωποι πρὸς
ἅπαν ἔργον καὶ λόγον καὶ διανόημα, μοῦνος δ' εἴπερ
τε νοήσῃ, αὐτίκα περιιὼν ζητεῖ ὅτῳ ἐπιδείξηται καὶ μεθ'
ὅτου βεβαιώσηται, ἕως ἂν ἐντύχῃ. ὥσπερ καὶ ἐγὼ ἕνεκα
τούτου σοὶ ἡδέως διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί, ἡγού-
μενος σὲ βέλτιστ' ἂν ἐπισκέψασθαι καὶ περὶ τῶν ἄλλων
περὶ ὧν εἰκὸς σκο*πεῖσθαι τὸν ἐπιεικῆ, καὶ δὴ καὶ περὶ E
ἀρετῆς· τίνα γὰρ ἄλλον ἢ σέ; ὅς γε οὐ μόνον αὐτὸς
οἴει καλὸς κἀγαθὸς εἶναι, ὥσπερ τινὲς ἄλλοι αὐτοὶ μὲν
ἐπιεικεῖς εἰσίν, ἄλλους δὲ οὐ δύνανται ποιεῖν, σὺ δὲ καὶ
αὐτὸς ἀγαθὸς εἶ καὶ ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς,
καὶ οὕτω πεπίστευκας σαυτῷ, ὥστε καὶ ἄλλων ταύτην
τὴν τέχνην ἀποκρυπτομένων σύ γ' ἀναφανδὸν σεαυτὸν
ὑπο*κηρυξάμενος εἰς πάντας τοὺς Ἕλληνας, σοφιστὴν 349
ἐπονομάσας, σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς δι-
δάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι. πῶς
οὖν οὐ σε χρῆν παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν καὶ
ἐρωτᾶν καὶ ἀνακοινοῦσθαι; οὐκ ἔσθ' ὅπως οὔ. καὶ νῦν δὴ
ἐγὼ ἐκεῖνα, ἅπερ τὸ πρῶτον ἠρώτων περὶ τούτων, πάλιν

Haec igitur et similia me dicente non declarabat Protagoras utrum facturus esset. dixit deinde Alcibiades Calliam adspiciens O Callia, num videtur tibi, inquit, etiam nunc bene Protagoras facere nolens, utrum rationem redditurus sit necne, declarare? mihi enim non videtur; at vero aut colloquitor aut se dicito nolle colloqui, ut hoc de ipso sciamus, Socrates autem cum alio colloquatur, vel alius quicumque vult cum alio. Tum Protagoras ad pudendum inductus, ut quidem mihi videbatur, quum Alcibiades haec diceret et Callias ceterique fere praesentes rogarent, vix impulsus est ad colloquendum et postulavit, ut ipse interrogaretur, quippe responsurus.

Dixi igitur O Protagora, ne existimes me tecum colloqui aliud quid spectantem nisi hoc, ut, quotiescumque ipse aliqua in re haesitem, eam dispiciam; arbitror enim utique Homerum aliquid dicere his verbis:

Una bini ubi eunt, ante unum consulit alter.

expeditiores enim sumus omnes homines ad quodvis et opus et sermonem et cogitationem, *solus vero quum consulit idem*, statim circumit quaerens, cui id ostendat cuiusque opera stabiliat, donec invenerit. quemadmodum ego quoque iccirco libentius tecum colloquor, quam cum alio quopiam, quia te existimo optime exploraturum esse quum alia, quae deceat explorare probum, tum etiam virtutem. et quis alius hoc faciat praeter te, ut qui non solum ipse te censeas honestum et bonum esse, verum etiam, quum alii ipsi quidem probi sint, alios vero non possint efficere, et ipse bonus sis et alios possis efficere bonos, et tantopere tibi confidas, ut, aliis hanc artem celantibus, tu sane publico te ipse praeconio venditans et coram omnibus Graecis sophisten appellans, te ipse exhibeas eruditionis ac virtutis magistrum, primusque eius mercedem postulaveris accipere. quomodo igitur te non oporteat advocare ad hanc quaestionem et interrogare et tecum de ea communicare? omni prorsus modo. nunc igitur illa, quae primum interrogavi, ite-

ἐπιθυμῶ ἐξ ἀρχῆς τὰ μὲν ἀναμνησθῆναι παρὰ σοῦ, τὰ δὲ ξυν-
διασκέψασθαι. ἦν δέ, ὡς ἐγῷμαι, τὸ ἐρώτημα τόδε. σοφία
καὶ σωφροσύνη καὶ ἀνδρεία καὶ δικαιοσύνη καὶ ὁσιότης, πό-
τερον ταῦτα, πέντε ὄντα ὀνόματα, ἐπὶ ἑνὶ πράγματί ἐστιν, ἢ
ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος οὐσία καὶ
πρᾶγμα ἔχον ἑαυτοῦ δύναμιν ἕκαστον, οὐκ ὂν οἷον τὸ ἕτερον
αὐτῶν τὸ ἕτερον; ἔφησθα οὖν σὺ οὐκ ὀνόματα ἐπὶ ἑνὶ εἶναι,
ἀλλ' ἕκαστον ἰδίῳ πράγματι τῶν ὀνομάτων τού*των ἐπικεῖ- C
σθαι, πάντα δὲ ταῦτα μόρια εἶναι ἀρετῆς, οὐχ ὡς τὰ τοῦ χρυ-
σοῦ μόρια ὅμοιά ἐστιν ἀλλήλοις καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν,
ἀλλ' ὡς τὰ τοῦ προσώπου μόρια καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν
καὶ ἀλλήλοις ἀνόμοια, ἰδίαν ἕκαστα δύναμιν ἔχοντα. ταῦτα εἰ
μέν σοι δοκεῖ ἔτι, ὥσπερ τότε, φαθί, εἰ δὲ ἄλλως πως, τοῦτο
διόρισαι, ὡς ἔγωγε οὐδέν σοι ὑπόλογον τίθεμαι, ἐάν πῃ ἄλλῃ
νῦν φήσῃς· οὐ γὰρ ἂν θαυμάζοιμι εἰ τότε ἀποπειρώμενός μου
ταῦτά πως * ἔλεγες. Ἀλλ' ἐγώ σοι, ἔφη, λέγω, ὦ Σώκρατες, D
ὅτι ταῦτα πάντα μόρια μέν ἐστιν ἀρετῆς, καὶ τὰ μὲν τέτταρα
αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστίν, ἡ δὲ ἀνδρεία
πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώσει ὅτι ἐγὼ
ἀληθῆ λέγω· εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικω-
τάτους μὲν ὄντας καὶ ἀνοσιωτάτους καὶ ἀκολαστοτάτους καὶ
ἀμαθεστάτους, ἀνδρειοτάτους δὲ διαφερόντως. Ἔχε δή,
ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐ*πισκέψασθαι ὃ λέγεις· πότερον E
τοὺς ἀνδρείους θαῤῥαλέους λέγεις, ἢ ἄλλο τι; Καὶ ἴτας γε,
ἔφη, ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. Φέρε δή, τὴν ἀρε-
τὴν καλόν τί φῄς εἶναι, καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ δι-
δάσκαλον σαυτὸν παρέχεις; Κάλλιστον μὲν οὖν, ἔφη, εἰ μὴ
μαίνομαί γε. Πότερον οὖν, ἦν δ' ἐγώ, τὸ μέν τι αὐτοῦ
αἰσχρόν, τὸ δέ τι καλόν, ἢ ὅλον καλόν; Ὅλον που καλὸν
ὡς οἷόν τε μάλιστα. Οἶσθα οὖν τίνες εἰς τὰ φρέατα * κο- 350
λυμβῶσι θαῤῥαλέως; Ἔγωγε ὅτι οἱ κολυμβηταί. Πότερον
διότι ἐπίστανται ἢ δι' ἄλλο τι; Ὅτι ἐπίστανται. Τίνες δὲ
ἀπὸ τῶν ἵππων πολεμεῖν θαῤῥαλέοι εἰσί; πότερον οἱ
ἱππικοὶ ἢ οἱ ἄφιπποι; Οἱ ἱππικοί. Τίνες δὲ πέλτας
ἔχοντες; οἱ πελταστικοὶ ἢ οἱ μή; Οἱ πελταστικοί· καὶ
τἆλλα γε πάντα, εἰ τοῦτο ζητεῖς, ἔφη, οἱ ἐπιστήμονες

rum velim ab initio partim recordari per te, partim tecum perpendere. erat autem, ni fallor, haec quaeſtio: ſapientia, temperantia, fortitudo, iuſtitia et pietas utrum hae, quae quinque ſunt nomina, ad unam rem pertinent, an unicuique horum nominum ſubiecta eſt propria quaedam natura et res ſuam quaeque vim habens, ita ut altera ab altera diverſa ſit? iam tu dicebas non eſſe nomina unius rei, ſed unumquodque horum nominum ſingulari rei ſubiectum eſſe, omnia vero haec partes eſſe virtutis, non ut auri partes ſimiles eſſent inter ſe et toti illi cuius partes eſſent, ſed ut faciei partes a toto, cuius partes eſſent, et inter ſe eſſent diverſae, propriam quaeque vim habentes. hoc ſi etiamnunc tibi videtur ſicut tum, declara, ſin aliter, dic aperte; nam nihil curo, ſi forte aliter ſtatuis; neque enim admirer, ſi tum me tentaturus haec dixeris. At ego, inquit, Socrate, tibi dico, has omnes eſſe virtutis partes, et quattuor ſatis inter ſe ſimiles, fortitudinem autem multum differre ab illis quattuor. ita vero cognoſces me vera dicere: invenies enim multos homines maxime quidem iniuſtos, impios, intemperantes atque inſcientes, ſed fortiſſimos inſignite. Agedum, inquam (enimvero dignum conſideratione eſt quod dicis): num fortes dicis confidentes eſſe, an aliud quid? Quin etiam, inquit, audacter aggredientes ad ea, ad quae plurimi verentur aggredi. Dic, quaeſo, virtutemne pulchri aliquid eſſe cenſes et ipſius, quae pulchra ſit, magiſtrum te ipſe exhibes? Pulcherrimam vero, inquit, niſi inſaniam. Utrum igitur, inquam, altera ipſius pars turpis, altera pulchra, an tota pulchra eſt? Tota videlicet eſt pulchra quam poteſt maxime. Scin qui in puteos urinentur audacter? Vero, urinatores. Utrum quia id ſciunt, an propter aliud quid? Quia ſciunt. Quinam vero ex equis pugnare audent? equites an equitandi imperiti? Equites. Et qui peltis? peltaſtae necne? Peltaſtae; et in reliquis omnibus, ſi hoc quaeris, inquit, ſcientes inſcienti-

τῶν μὴ ἐπισταμένων θαῤῥαλεώτεροί εἰσι, καὶ αὐτοὶ ἑαυτῶν,
ἐπειδὰν μά*θωσιν, ἢ πρὶν μαθεῖν. Ἤδη δέ τινας ἑώρακας, B
ἔφην, πάντων τούτων ἀνεπιστήμονας ὄντας, θαῤῥοῦντας δὲ
πρὸς ἕκαστα τούτων; Ἔγωγε, ἦ δ' ὅς, καὶ λίαν γε θαῤῥοῦν-
τας. Οὐκοῦν οἱ θαῤῥαλέοι οὗτοι καὶ ἀνδρεῖοί εἰσιν; Αἰσχρὸν
μέντ' ἄν, ἔφη, εἴη ἡ ἀνδρεία, ἐπεὶ οὗτοί γε μαινόμενοί εἰσιν.
Πῶς οὖν, ἔφην ἐγώ, λέγεις τοὺς ἀνδρείους; οὐχὶ τοὺς θαῤῥα-
λέους εἶναι; Καὶ νῦν γ', ἔφη. Οὐκοῦν οὗτοι, ἦν δ' ἐγώ, οἱ
οὕτω θαῤ*ῥαλέοι ὄντες οὐκ ἀνδρεῖοι, ἀλλὰ μαινόμενοι φαί- C
νονται, καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι οὗτοι καὶ θαῤῥαλεώτατοί
εἰσι, θαῤῥαλεώτατοι δὲ ὄντες ἀνδρειότατοι, καὶ κατὰ τοῦτον
τὸν λόγον ἡ σοφία ἂν ἀνδρεία εἴη; Οὐ καλῶς, ἔφη, μνημο-
νεύεις, ὦ Σώκρατες, ἃ ἔλεγόν τε καὶ ἀπεκρινόμην σοι. ἔγωγε
ἐρωτηθεὶς ὑπὸ σοῦ, εἰ οἱ ἀνδρεῖοι θαῤῥαλέοι εἰσίν, ὡμολό-
γησα, εἰ δὲ καὶ οἱ θαῤῥαλέοι ἀνδρεῖοι, οὐκ ἠρωτήθην· εἰ γάρ
με τοῦτο ἤρου, εἶπον ἂν ὅτι οὐ πάντες· τοὺς δὲ * ἀνδρείους D
ὡς οὐ θαῤῥαλέοι εἰσί, τὸ ἐμὸν ὁμολόγημα, οὐδαμοῦ ἐπέδει-
ξας ὡς οὐκ ὀρθῶς ὡμολόγησα. ἔπειτα τοὺς ἐπισταμένους
αὐτοὺς ἑαυτῶν θαῤῥαλεωτέρους ὄντας ἀποφαίνεις καὶ μὴ
ἐπισταμένων ἄλλων, καὶ ἐν τούτῳ οἴει τὴν ἀνδρείαν καὶ
τὴν σοφίαν ταὐτὸν εἶναι. τούτῳ δὲ τῷ τρόπῳ μετιὼν καὶ
τὴν ἰσχὺν οἰηθείης ἂν εἶναι σοφίαν. πρῶτον μὲν γὰρ εἰ
οὕτω μετιὼν ἔροιό με, εἰ οἱ ἰσχυροὶ δυνατοί εἰσι, φαίην
ἄν· ἔπειτα, εἰ οἱ ἐ*πιστάμενοι παλαίειν δυνατώτεροί εἰσι E
τῶν μὴ ἐπισταμένων παλαίειν καὶ αὐτοὶ αὑτῶν, ἐπειδὰν μά-
θωσιν, ἢ πρὶν μαθεῖν, φαίην ἄν· ταῦτα δὲ ἐμοῦ ὁμολογή-
σαντος ἐξείη ἄν σοι, χρωμένῳ τοῖς αὐτοῖς τεκμηρίοις τούτοις,
λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ
δὲ οὐδαμοῦ οὐδ' ἐνταῦθα ὁμολογῶ τοὺς δυνατοὺς ἰσχυροὺς
εἶναι, τοὺς μέντοι ἰσχυροὺς δυνατούς· οὐ γὰρ * ταὐτὸν εἶναι 351
δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ ἀπὸ ἐπιστήμης
γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ μανίας τε καὶ ἀπὸ θυ-
μοῦ, ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων·
οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν.
ὥστε ξυμβαίνει τοὺς μὲν ἀνδρείους θαῤῥαλέους εἶναι, μὴ
μέντοι τούς γε θαῤῥαλέους ἀνδρείους πάντας· θάρσος

bus audaciores ſunt ipſique audaciores exſiſtunt quum didicerunt, quam erant, antequam didicerant. Iamne vidiſti, inquam, qui, licet omnium horum eſſent ignari, audaces tamen in unoquoque fuerint? Ego vero, inquit, quin etiam nimium audentes. Nonne hi audaces etiam fortes ſunt? Turpis ſane foret, inquit, fortitudo; nam iſti quidem inſani ſunt. Quosnam igitur, inquam, dicis fortes? nonne audaces eos eſſe? Etiam nunc, inquit, ita ſtatuo. Itaque hi, inquam, qui tam audaces ſunt, non fortes, ſed inſani videntur, ibi contra, qui ſapientiſſimi ſunt, iidem etiam audaciſſimi, et, quod audaciſſimi, fortiſſimi ſunt: ut hac ratione ſapientia ſit fortitudo? Non bene, inquit, ea meminiſti, Socrate, quae et dixi et reſpondi. equidem interrogatus a te, num fortes audaces eſſent, conceſſi, num vero audaces etiam fortes, non interrogabar; hoc enim ſi me interrogaſſes, dixiſſem non in omnes id cadere; de fortibus autem, eos audaces eſſe, id quod ego conceſſi, neutiquam probaviſti me non recte conceſſiſſe. porro ſcientes ſtatuis et ſe ipſos et ceteros inſcientes audacia ſuperare, et in hoc arbitraris fortitudinem et ſapientiam idem eſſe. hanc vero rationem ſequens etiam robur arbitraberis ſapientiam eſſe. primum enim ſi hoc ſequens me interrogares, num robuſti eſſent potentes, dicerem; deinde num qui luctari poſſent, potentiores eſſent luctari neſcientibus et, quum didiciſſent, magis quam ante id poſſent, dicerem; haec vero quum conceſſiſſem, liceret tibi his utenti argumentis dicere, ex meo aſſenſu ſapientiam eſſe robur. ego autem nec usquam nec hic concedo potentes eſſe robuſtos, ſed robuſtos dico eſſe potentes; neque enim idem eſſe potentiam et robur, ſed illam, potentiam, e ſcientia exſiſtere, quin etiam ex inſania et ira, robur autem e natura bonoque corporis paſtu; ita etiam hic non idem eſſe audaciam et fortitudinem. quo quidem efficitur, ut fortes quidem audaces ſint, neque tamen audaces omnes ſint fortes; audacia

μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ τε καὶ ἀπὸ μα*νίας, ὥςπερ ἡ δύναμις, ἀνδρεία δὲ ἀπὸ B
φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται. Λέγεις δέ τινας, ἔφην, ὦ Πρωταγόρα, τῶν ἀνθρώπων εὖ ζῆν, τοὺς δὲ κακῶς; Ἔφη. Ἆρ' οὖν δοκεῖ σοι ἄνθρωπος ἂν εὖ ζῆν, εἰ ἀνιώμενός τε καὶ ὀδυνώμενος ζῴη; Οὐκ ἔφη. Τί δ', εἰ ἡδέως βιοὺς τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκεῖ οὕτω βεβιωκέναι; Ἔμοιγ', ἔφη. Τὸ μὲν ἄρ' ἡδέως ζῆν ἀγαθόν, τὸ δ' ἀηδῶς κακόν. * Εἴπερ τοῖς καλοῖς γ', ἔφη, ζῴη ἡδόμε- C
νος. Τί δή, ὦ Πρωταγόρα; μὴ καὶ σύ, ὥςπερ οἱ πολλοί, ἡδέ' ἄττα καλεῖς κακὰ καὶ ἀνιαρὰ ἀγαθά; Ἐγὼ γὰρ λέγω. Καθ' ὃ *) ἡδέα ἐστίν, ἆρα κατὰ τοῦτο οὐκ ἀγαθά, μὴ εἴ τι ἀπ' αὐτῶν ἀποβήσεται ἄλλο, καὶ αὖθις αὖ τὰ ἀνιαρὰ ὡςαύτως οὕτως οὔ, καθ' ὅσον ἀνιαρά, κακά; Οὐκ οἶδα, ὦ Σώκρατες, ἔφη, ἁπλῶς οὕτως ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκριτέον ἐστίν, ὡς τὰ ἡ*δέα τε ἀγαθά ἐστιν ἅπαντα καὶ τὰ ἀνιαρὰ κακά· ἀλλά D
μοι δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφαλέστερον εἶναι ἀποκρίνασθαι, ἀλλὰ καὶ πρὸς πάντα τὸν ἄλλον βίον τὸν ἐμόν, ὅτι ἔστι μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά, ἔστι δ' αὖ καὶ ἃ τῶν ἀνιαρῶν οὐκ ἔστι κακά, ἔστι δ' ἃ ἔστι, καὶ τρίτον ἃ οὐδέτερα, οὔτε κακὰ οὔτ' ἀγαθά. Ἡδέα δὲ καλεῖς, ἦν δ' ἐγώ, οὐ τὰ ἡδονῆς μετέχοντα ἢ ποιοῦντα ἡδονήν; Πά*νυ γ', ἔφη. Τοῦτο τοίνυν λέγω, καθ' ὅσον ἡδέα ἐστίν, E
εἰ οὐκ ἀγαθά, τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν εἰ οὐκ ἀγαθόν ἐστιν. Ὥςπερ σὺ λέγεις, ἔφη, ἑκάστοτε, ὦ Σώκρατες, σκοπώμεθα αὐτό, καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα καὶ τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν, ξυγχωρησόμεθα, εἰ δὲ μή, τότε ἤδη ἀμφισβητήσομεν. Πότερον οὖν, ἦν δ' ἐγώ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως, ἢ ἐγὼ ἡγῶμαι; Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου. Ἆρ' οὖν, ἦν δ' ἐγώ, τῇδέ πῃ καταφανὲς * ἂν ἡμῖν 352
γένοιτο; ὥςπερ εἴ τις ἄνθρωπον σκοπῶν ἐκ τοῦ εἴδους ἢ πρὸς ὑγίειαν ἢ πρὸς ἄλλο τι τῶν τοῦ σώματος ἔργων, ἰδὼν τὸ πρόςωπον καὶ τὰς χεῖρας ἄκρας εἴποι Ἴθι

*) ἄλλ. Ἔγωγε. Οἷον λέγεις· καθ' ὃ κτλ. ἴσ. ἀγαθά; οἷον τοιόνδε λέγω· καθ' ὃ κτλ.

enim et ex arte exſiſtit hominibus et ex ira et ex inſania, ſicut potentia, fortitudo autem e natura bonoque animi paſtu exſiſtit. Dicisne, Protagora, inquam, aliquos de hominibus bene vivere, alios vero male? Dixit. Num igitur tibi homo videtur bene vivere poſſe, ſi maerens et dolens vivat? Negavit. Quid, ſi vitam iucunde actam ponit, nonne tibi videtur bene ita vixiſſe? Mihi vero, inquit. Iucunde igitur vivere bonum eſt, iniucunde autem malum. Siquidem pulchris, inquit, delectans quis vivit. Quid igitur, Protagora? num tu quoque, ſicut multitudo, iucunda aliqua vocas mala et acerba bona? veluti hoc dico: quatenus iucunda ſunt, num eatenus non ſunt bona, niſi quid aliud ab iis evenerit, et rurſus acerba eodem modo non, quatenus acerba, mala? Neſcio, Socrate, inquit, an ſimpliciter ita, ut tu rogas, me reſpondere oporteat, iucunda bona eſſe omnia et acerba mala, ſed videtur mihi non ſolum ad hanc reſponſionem, verum etiam ad univerſam meam vitam tutius eſſe reſpondere, eſſe aliqua ex iucundis, quae non ſint bona, eſſe quoque aliqua ex acerbis, quae non ſint mala, rurſus eſſe quae ita ſint, et tertio quae neutra ſint, neque mala neque bona. Iucunda, inquam, nonne vocas, quae cum iucunditate coniuncta ſunt vel eam efficiunt? Sane quidem, inquit. Hoc igitur quaerens, num, quatenus iucunda ſint, bona non ſint, interrogo, ipſa iucunditas anne bona ſit. Quemadmodum tu dicis, inquit; ſemper, Socrate, conſideremus hoc, et ſi conſentanea videtur eſſe quaeſtio idemque apparet iucundum et bonum, concedemus, ſin minus, ita ambigemus. Utrum vero, inquam, tu vis ductare quaeſtionem, an ego ductem? Par eſt, inquit, te ducere, tu enim incepiſti etiam ſermonem. Num igitur, inquam, hac fortaſſe ratione perſpicuum nobis erit? nimirum quemadmodum, ſi quis hominis vel ſanitatem vel alium quempiam corporis habitum e ſpecie ſpectaturus ſit, facie eius extremisque manibus conſpectis dicat Agedum

δή μοι ἀποκαλύψας καὶ τὰ στήθη καὶ τὸ μετάφρενον ἐπίδει-
ξον, ἵν' ἐπισκέψωμαι σαφέστερον, καὶ ἐγὼ τοιοῦτόν τι ποθῶ
πρὸς τὴν σκέψιν· θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγα-
θὸν καὶ τὸ ἡδὺ ὥς φῃς, δέομαι τοιοῦτόν τι εἰπεῖν Ἴθι δή
μοι, ὦ Πρωταγόρα, καὶ τόδε τῆς διανοίας ἀποκάλυψον, * πῶς B
ἔχεις πρὸς ἐπιστήμην· πότερον καὶ τοῦτό σοι δοκεῖ ὥςπερ τοῖς
πολλοῖς ἀνθρώποις, ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ
ἐπιστήμης τοιοῦτόν τι, οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρ-
χικὸν εἶναι, οὐδὲ ὡς περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται,
ἀλλ' ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης, οὐ τὴν ἐπιστήμην
αὐτοῦ ἄρχειν, ἀλλ' ἄλλο τι, τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονήν,
τοτὲ δὲ λύπην, ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς
διανοούμενοι περὶ τῆς * ἐπιστήμης, ὥςπερ περὶ ἀνδραπόδου, C
περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. ἆρ' οὖν καὶ σοὶ τοι-
οῦτόν τι περὶ αὐτῆς δοκεῖ, ἢ καλόν τε εἶναι ἡ ἐπιστήμη καὶ
οἷον ἄρχειν τοῦ ἀνθρώπου, καὶ ἐάνπερ γιγνώσκῃ τις τἀγαθὰ
καὶ τὰ κακά, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενός, ὥστε ἄλλ' ἄττα
πράττειν, ἢ ἃ ἂν ἡ ἐπιστήμη κελεύῃ, ἀλλ' ἱκανὴν εἶναι τὴν
φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ; Καὶ δοκεῖ, ἔφη, ὥςπερ σὺ
λέγεις, ὦ Σώκρατες, καὶ ἅμα, εἴπερ τῳ ἄλλῳ, αἰσχρόν
* ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων D
κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Κα-
λῶς γε, ἔφην ἐγώ, σὺ λέγων καὶ ἀληθῆ. οἶσθα οὖν ὅτι
οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμοί τε καὶ σοὶ οὐ πείθονται,
ἀλλὰ πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν
πράττειν, ἐξὸν αὐτοῖς, ἀλλ' ἄλλα πράττειν; καὶ ὅσους δὴ
ἐγὼ ἠρόμην ὅ τί ποτε αἴτιόν ἐστι τούτου, ὑφ' ἡδονῆς φα-
σὶν ἡττωμένους ἢ λύπης ἢ ὧν νῦν δὴ ἐ*γὼ ἔλεγον, ὑπό E
τινος τούτων κρατουμένους ταῦτα ποιεῖν τοὺς ποιοῦντας.
Πολλὰ γάρ, οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ἄλλα οὐκ ὀρθῶς
λέγουσιν οἱ ἄνθρωποι. Ἴθι δὴ μετ' ἐμοῦ ἐπιχείρησον πεί-
θειν τοὺς ἀνθρώπους καὶ διδάσκειν, ὅ ἐστιν αὐτοῖς τοῦτο
τὸ πάθος, ὅ φασιν ὑπὸ τῶν * ἡδονῶν ἡττᾶσθαι καὶ οὐ 353
πράττειν διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν γε αὐ-
τά. ἴσως γὰρ ἂν λεγόντων ἡμῶν ὅτι Οὐκ ὀρθῶς λέγετε,

denudatum quoque pectus et dorfum mihi oftende, ut certius explorem: ita ego quoque tale quid defidero ad hanc quaeftionem; nempe quum cognoverim te ita fentire de bono et iucundo, ut ais, hoc fere dicere me oportet Agedum, Protagora, hanc quoque cogitationem mihi denuda, quid fentias de fcientia: utrum tibi quoque id videtur, quod plurimis hominibus, an aliud quid? videtur autem plurimis hoc fere de fcientia, nec validi nec ducens nec imperans quid effe, neque pro tali eam re habent, fed, quamvis faepenumero in homine fcientia infit, non fcientiam tamen ipfi imperare, fed aliud quid, modo iram modo iucunditatem modo dolorem, nonnumquam amorem, faepius etiam metum, revera exiftimantes fcientiam, ut fervum, huc atque illuc trahi a reliquis omnibus. num igitur tibi quoque hoc de ipfa videtur, an pulchram cenfes effe fcientiam et imperare poffe homini et, fi quis cognoverit bona et mala, eum a nulla re ita fuperatum iri, ut aliud quid faciat praeter ea, quae fcientia iubeat, fed fatis valere prudentiam ad opem homini ferendam? Videtur ita, inquit, ut dicis, Socrate, fimulque, fi quemquam, me haud decet negare fapientiam ac fcientiam omnibus fuperiorem effe rebus humanis. Bene vero, inquam, tu dicis et vera haec funt. fcin igitur, maximam hominum partem mihi et tibi non affentiri, fed multos dicere cognofcentes optima nolle ea facere, licet poffint, fed alia facere? et quofcumque interrogavi quaenam huius rei caufa effet, ii iucunditati dixerunt fuccumbentes vel a dolore aliove quopiam eorum quae modo memoravi fuperatos haec facere quicumque ita agerent. Alia etiam multa, ut cenfeo, inquit, Socrate, homines haud recte dicunt. Agedum conare mecum hominibus perfuadere eosque docere, quae fit ipfis affectio illa, quam dicunt, voluptati fuccumbendi et iccirco optima non faciendi, licet ea cognofcant. fortaffe enim, fi nos dicamus Non recte dici-

ὦ ἄνθρωποι, ἀλλὰ ψεύδεσθε, ἔροιντ' ἂν ἡμᾶς Ὦ Πρωτα-
γόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδο-
νῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστί, καὶ τί ὑμεῖς αὐτό φατε
εἶναι; εἴπατον ἡμῖν. Τί δέ, ὦ Σώκρατες, δεῖ ἡμᾶς σκο-
πεῖσθαι τὴν τῶν πολλῶν δόξαν ἀνθρώπων, οἳ ὅ τι ἂν
τυχωσι, τοῦτο λέγουσιν; * Οἶμαι, ἦν δ' ἐγώ, εἶναί τι ἡμῖν B
τοῦτο πρὸς τὸ ἐξευρεῖν περὶ ἀνδρείας, πρὸς τἆλλα μόρια
τὰ τῆς ἀρετῆς πῶς ποτ' ἔχει. εἰ οὖν σοι δοκεῖ ἐμμένειν
οἷς ἄρτι ἔδοξεν ἡμῖν, ἐμὲ ἡγήσασθαι, ᾗ οἶμαι ἂν ἔγωγε
κάλλιστα φανερὸν γενέσθαι, ἕπου, εἰ δὲ μὴ βούλει, εἴ σοι
φίλον, ἐῶ χαίρειν. Ἀλλ', ἔφη, ὀρθῶς λέγεις, καὶ πέραινε
ὥσπερ ἤρξω.

Πάλιν τοίνυν, ἔφην ἐγώ, εἰ ἔροιντο ἡ*μᾶς Τί οὖν C
φατὲ τοῦτο εἶναι, ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν ἐλέγο-
μεν; εἴποιμ' ἂν ἔγωγε πρὸς αὐτοὺς ὡδί· Ἀκούετε δή·
πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε καὶ Πρωταγόρας φράσαι.
ἄλλο τι γάρ, ὦ ἄνθρωποι, φατὲ ὑμῖν τοῦτο γίγνεσθαι ἐν
τοῖσδε; οἷον πολλάκις ὑπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδι-
σίων κρατούμενοι ἡδέων ὄντων, γιγνώσκοντες ὅτι πονηρά
ἐστιν, ὅμως αὐτὰ πράττειν; Φαῖεν ἄν. Οὐκοῦν ἐροίμεθ'
ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν Πονηρὰ δὲ αὐτὰ πῇ φατὲ
εἶναι; πότε*ρον ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παραχρῆ- D
μα παρέχει καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν, ἢ ὅτι εἰς τὸν
ὕστερον χρόνον νόσους τε ποιεῖ καὶ πενίας καὶ ἄλλα
τοιαῦτα πολλὰ παρασκευάζει; ἢ κἂν εἴ τι τούτων εἰς
τὸ ὕστερον μηδὲν παρασκευάζει, χαίρειν δὲ μόνον ποιεῖ,
ὅμως δ' ἂν *) κακὰ ἦν, ὅτι μαθόντα χαίρειν ποιεῖ καὶ
ὁπηοῦν; — ἆρ' οἰόμεθα ἂν αὐτούς, ὦ Πρωταγόρα, ἄλλο
τι ἀποκρίνασθαι, ἢ ὅτι οὐ κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς
τῆς παραχρῆμα ἐργασίαν κακά ἐστιν, * ἀλλὰ διὰ τὰ E
ὕστερον γιγνόμενα, νόσους τε καὶ τἆλλα; Ἐγὼ μὲν οἶμαι,
ἔφη ὁ Πρωταγόρας, τοὺς πολλοὺς ἂν ταῦτα ἀποκρίνα-
σθαι. Οὐκοῦν νόσους ποιοῦντα ἀνίας ποιεῖ, καὶ πενίας
ποιοῦντα ἀνίας ποιεῖ; — ὁμολογοῖεν ἄν, ὡς ἐγᾦμαι.

---

*) ἴσ. ὅμως αὐτὰ κακὰ ἦν.

tis, o homines, ſed mentimini, interrogent nos O Protagora et Socrate, ſi haec non eſt affectio illa voluptati ſuccumbendi, quaenam tandem erit et quam vos eam dicitis eſſe? aperite nobis. Quid vero, Socrate, opus eſt nobis perſcrutari plurimorum opinionem hominum, qui, quicquid occurrit, id dicunt? Arbitror, inquam, hoc nobis conducere ad inveniendum, fortitudo ad reliquas virtutis partes quomodo ſe habeat. quodſi tibi placet in iis ſtare, quae paullo ante nobis viſa ſunt, ut videlicet ego praeeam, quemadmodum arbitrer rem optime perſpicuam fore, ſequere, ſin id minus, ſi tibi gratum eſt, miſſum id facio. At, inquit, recte dicis, et perfice, ut exorſus es.

Rurſus igitur, inquam, ſi nos rogent Quid tandem cenſetis illud eſſe, quod nos diximus voluptatibus ſuccumbere? equidem hoc ipſis referam: Audite; conabimur enim vobis ego et Protagoras explicare. nonne, o homines, dicitis vobis hoc accidere in his: veluti ſaepenumero ab eſculentis, potulentis venereisque voluptatibus ſuperati ſuaviter vos afficientibus dicitis, quamvis cognoſcatis ea mala eſſe, tamen vos iis operari? Concedent. Nonne iterum ipſos interrogemus ego et tu Mala autem quatenus ea vocatis? utrum propterea quod voluptatem illam ſtatim afferant et iucundum ſit unumquodque, an, quod in poſterum morbos efficiant et paupertatem et alia multa id genus afferant? an, etiamſi nihil tale in poſterum afferunt, ſed gaudere tantum faciunt, tamen ipſa mala ſunt, quoniam ſcientem gaudere faciunt quacumque ratione? — num illos arbitramur, Protagora, aliud quid reſponſuros eſſe niſi hoc, ea non propter ipſam in praeſens allatam voluptatam mala eſſe, ſed poſt evenientium cauſa, morborum videlicet et ceterarum rerum? Equidem, inquit Protagoras, arbitror multitudinem hoc eſſe reſponſuram. Nonne morbos efficientia moleſtias efficiunt, et paupertatem efficientia moleſtias efficiunt? — conſentient, ut opinor.

Ξυνέφη ὁ Πρωταγόρας. Οὐκοῦν φαίνεται, ὦ ἄνθρωποι, ὑμῖν, ὥς φαμεν ἐγώ τε καὶ Πρωταγόρας, δι' οὐδὲν ἄλλο ταῦτα κακὰ ὄντα, ἢ διότι εἰς ἀνίας τε ἀποτελευτᾷ καὶ ἄλλων ἡδονῶν ἀποστερεῖ. — ὁμολο*γοῖεν ἄν; Ξυνεδόκει ἡμῖν 354
ἀμφοῖν. Οὐκοῦν πάλιν ἂν αὐτοὺς τὸ ἐναντίον εἰ ἐροίμεθα Ὦ ἄνθρωποι οἱ λέγοντες αὖ ἀγαθὰ ἀνιαρὰ εἶναι, ἆρ' οὐ τὰ τοιάδε λέγετε, οἷον τά τε γυμνάσια καὶ τὰς στρατείας καὶ τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας τὰς διὰ καύσεών τε καὶ τομῶν καὶ φαρμακειῶν καὶ λιμοκτονιῶν γιγνομένας, ὅτι ταῦτα ἀγαθὰ μέν ἐστιν, ἀνιαρὰ δέ; — φαῖεν ἄν; Ξυνεδόκει. Πότερον οὖν * κατὰ τόδε ἀγαθὰ αὐτὰ καλεῖτε, ὅτι B
ἐν τῷ παραχρῆμα ὀδύνας τὰς ἐσχάτας παρέχει καὶ ἀλγηδόνας, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγίειαί τε ἀπ' αὐτῶν γίγνονται καὶ εὐεξίαι τῶν σωμάτων καὶ τῶν πόλεων σωτηρίαι καὶ ἄλλων ἀρχαὶ καὶ πλοῦτοι; — φαῖεν ἄν, ὡς ἐγῷμαι. Ξυνεδόκει. Ταῦτα δὲ ἀγαθά ἐστι δι' ἄλλο τι, ἢ ὅτι εἰς ἡδονὰς ἀποτελευτᾷ καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς; ἢ ἔχετέ τι ἄλλο τέλος λέγειν, εἰς ὃ ἀποβλέψαντες αὐ*τὰ ἀγαθὰ καλεῖτε, ἀλλ' ἢ ἡδονάς τε καὶ λύπας; — οὐκ C
ἂν φαῖεν, ὡς ἐγῷμαι. Οὐδ' ἐμοὶ δοκεῖ, ἔφη ὁ Πρωταγόρας. Οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγετε ὡς κακόν; Ξυνεδόκει. Τοῦτ' ἄρα ἡγεῖσθ' εἶναι κακόν, τὴν λύπην, καὶ ἀγαθὸν τὴν ἡδονήν, ἐπεὶ καὶ αὐτὸ τὸ χαίρειν τότε λέγετε κακὸν εἶναι, ὅταν μειζόνων ἡδονῶν ἀποστερῇ ἢ ὅσας αὐτὸ ἔχει, ἢ λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν· ἐπεὶ εἰ κατ' ἄλλο τι * αὐ- D
τὸ τὸ χαίρειν κακὸν καλεῖτε καὶ εἰς ἄλλο τι τέλος ἀποβλέψαντες, ἔχοιτε ἂν καὶ ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Οὐδ' ἐμοὶ δοκοῦσιν, ἔφη ὁ Πρωταγόρας. Ἄλλο τι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι ὁ αὐτὸς τρόπος; τότε καλεῖτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ὅταν ἢ μείζους λύπας τῶν ἐν αὐτῷ οὐσῶν ἀπαλλάττῃ ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρασκευάζῃ; ἐπεὶ εἰ πρὸς ἄλλο τι τέλος ἀποβλέπετε, ὅταν καλῆτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ἢ * πρὸς ὃ E

Assensit Protagoras. Nonne igitur vobis, o homines, ut dicimus ego et Protagoras, nullam aliam ob causam mala videntur esse, nisi quod in molestias evadunt aliisque vos privant voluptatibus? — assentienturne? Utrique nostrûm visum est. Nonne rursus si contrarium eos rogemus O homines, qui dicitis rursum bona acerba esse, nonne haec dicitis, veluti exercitationes et expeditiones et medicorum curationes, quae ustionibus, sectionibus, remediis et perfecta abstinentia peraguntur, has videlicet bonas quidem esse, sed acerbas? — assentientur? Concessit. Utrum igitur iccirco bonas eas vocatis, quod in praesens dolores extremos afferant atque cruciatus, an, quod in posterum sanitates ex iis existant et boni corporis habitus et civitatum salus, in alias imperia et divitiae? — dicent, ut opinor. Concessit. Haec vero num bona sunt aliam ob causam, quam quod in voluptates evadunt dolorumque et liberationes et depulsiones? an alium quemquam finem habetis dicere, quem respicientes bona dicatis illa, praeter voluptates ac dolores? — negabunt, ut opinor. Nec mihi videtur, inquit Protagoras. Nonne igitur voluptatem consectamini tamquam bonum aliquid, dolorem autem fugitis tamquam malum? Concessit. Hoc igitur existimatis malum esse, dolorem, bonum vero quid voluptatem; nam ipsum etiam gaudere tum dicitis malum esse, quum maioribus privat voluptatibus, quam quas ipsum affert, vel maiores efficit dolores, quam quae voluptates in ipso insunt. etenim si aliam ob causam ipsum gaudere bonum diceretis et alium finem respiceretis, haberetis nobis quoque dicere; sed non habebitis. Nec mihi videntur habere, inquit Protagoras. Nonne rursus etiam eius, quod dolere dicitur, eadem est ratio? tum videlicet ipsum dolere bonum dicitis, quum vel a maioribus doloribus, quam qui in ipso insunt, liberat vel voluptates doloribus maiores efficit; nam si alium quemquam finem respicitis, quando ipsum dolere vocatis bonum, quam eum

ἐγὼ λέγω, ἔχετε ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Πρωταγόρας. Πάλιν τοίνυν, ἔφην ἐγώ, εἴ με ἀνέροισθε, ὦ ἄνθρωποι, Τίνος οὖν δή ποτε ἕνεκα πολλὰ περὶ τούτου λέγεις καὶ πολλαχῇ; Ξυγγιγνώσκετέ μοι, φαίην ἂν ἔγωγε· πρῶτον μὲν γὰρ οὐ ῥᾴδιον ἀποδεῖξαι τί ἐστι ποτὲ τοῦτο, ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἥττω εἶναι, ἔπειτα ἐν τούτῳ εἰσὶ πᾶσαι αἱ ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν
ἀναθέσθαι ἔξεστιν, εἴ πῃ ἔχετε ἄλλο τι φάναι * εἶναι τὸ 355
ἀγαθὸν ἢ τὴν ἡδονήν, ἢ τὸ κακὸν ἄλλο τι ἢ τὴν ἀνίαν· ἢ ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι τὸν βίον ἄνευ λυπῶν; εἰ δὲ ἀρκεῖ καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι ἀγαθὸν ἢ κακόν, ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτο ἀκούετε· φημὶ γὰρ ὑμῖν τούτου οὕτως ἔχοντος γελοῖον τὸν λόγον γίγνεσθαι, ὅταν λέγητε ὅτι πολλάκις γιγνώσκων τὰ κακὰ ἄνθρωπος ὅτι κακά ἐστιν, ὅμως πράττει αὐτά, ἐξὸν μὴ
πράττειν, ὑπὸ τῶν ἡδονῶν ἀγόμενος καὶ * ἐκπληττόμενος, B
καὶ αὖθις αὖ λέγητε ὅτι γιγνώσκων ὁ ἄνθρωπος τἀγαθὰ πράττειν οὐκ ἐθέλει διὰ τὰς παραχρῆμα ἡδονάς, ὑπὸ τούτων ἡττώμενος. ὡς δὲ ταῦτα γελοῖά ἐστι, κατάδηλον ἔσται, ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα ἅμα, ἡδεῖ τε καὶ ἀνιαρῷ καὶ ἀγαθῷ καὶ κακῷ, ἀλλ' ἐπειδὴ δύο ἐφάνη ταῦτα, δυοῖν καὶ ὀνόμασι προσαγορεύωμεν αὐτά, πρῶτον μὲν ἀγαθῷ καὶ κακῷ, ἔπειτ' αὖθις ἡδεῖ τε καὶ ἀνιαρῷ. θέ-
μενοι δὴ οὕτω, λέγωμεν ὅτι γιγνώ*σκων ὁ ἄνθρωπος C
τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως αὐτὰ ποιεῖ. ἐὰν οὖν τις ἡμᾶς ἔρηται Διὰ τί; Ἡττώμενος, φήσομεν. Ὑπὸ τοῦ; ἐκεῖνος ἐρήσεται ἡμᾶς· ἡμῖν δὲ ὑπὸ μὲν ἡδονῆς οὐκέτι ἔξεστιν εἰπεῖν· ἄλλο γὰρ ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς τὸ ἀγαθόν· ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν ὅτι Ἡττώμενος — Ὑπὸ τίνος; φήσει. Τοῦ ἀγαθοῦ, φήσομεν νὴ Δία. ἂν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς ὑβριστὴς ὤν, γελάσεται καὶ ἐρεῖ Ἦ γελοῖον λέγετε πρᾶγμα, εἰ πράττει τις κακά, γιγνώσκων ὅτι κακά ἐστιν, οὐ δέον αὐτὰ πράττειν, ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. ἆρα, φήσει,

quem dico, habetis nobis indicare; at non habebitis. Vera, inquit, dicis, Protagoras. Rurfus igitur, inquam, fi me interrogetis, o homines: Quid igitur tandem multa de hoc verba facis multisque modis? Ignofcite mihi, equidem referam; primum enim non eft facile demonftratu, quid tandem illud fit quod vos vocatis voluptatibus fuccumbere, deinde in eo nituntur omnes demonftrationes. verum etiamnunc retractare licet, fi qua dicere habetis aliud quicquam effe bonum praeter voluptatem, vel malum aliud quid praeter dolorem; an fatis vobis eft iucunde degere vitam fine doloribus? quodfi fatis eft nec aliud quodpiam habetis dicere bonum vel malum, quod non in haec evadat, quae deinceps dicturus fum audite. dico enim vobis, fi haec ita fe habeant, ridiculum effe dictum, fi ponatis, faepe hominem cognofcentem mala, quatenus mala fint, tamen ea facere, quum liceat non facere, a voluptatibus ductum et percuffum, et rurfus fi ponatis, hominem bona, etfi ea cognofcat, facere nolle propter praesentes voluptates quibus fuccumbat. haec autem ridicula effe perfpicuum erit, fi non multa nomina ufurpamus fcilicet, iucundum et acerbum, bonum et malum, fed, quum duo haec vifa fint, duobus etiam nominibus ea vocamus, primum bonum et malum dicentes, deinde iucundum et acerbum. hoc igitur fumentes dicamus, hominem mala cognofcentem, quatenus mala fint, tamen ea facere. quodfi quis nos interroget Cur? Succumbens, refpondebimus. Cuinam rei? ille e nobis quaeret; nobis autem *voluptati* non amplius dicere licet; aliud enim nomen pro illo voluptatis accepit et bonum dictum eft; refpondebimus igitur ipfi et dicemus Succumbens — Cuinam? dicet. Bono, referemus mehercule. iam fi forte, qui nos interrogat, protervus eft, ridebit ac dicet: Sane ridiculum eft, quod dicitis, quemquam mala cognofcentem, quatenus mala fint, ea facere, quum ea facere non oporteat, fuccumbentem bonis. num, dicet,

οὐκ ἀξίων ὄντων νικᾶν ἐν ὑμῖν τῶν ἀγαθῶν τὰ κακά, ἢ ἀξίων; φήσομεν δῆλον ὅτι ἀποκρινόμενοι ὅτι Οὐκ ἀξίων ὄντων· οὐ γὰρ ἂν ἐξημάρτανεν ὅν φαμεν ἥττω εἶναι τῶν ἡδονῶν. Κατὰ τί δέ, φήσει ἴσως, ἀνάξιά ἐστι τἀγαθὰ τῶν κακῶν ἢ τὰ κακὰ τῶν ἀγαθῶν; ἢ κατ' ἄλλο τι ἢ ὅταν τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα ᾖ; ἢ πλείω, τὰ δὲ * ἐλάττω ᾖ; — E οὐχ ἕξομεν εἰπεῖν ἄλλο ἢ τοῦτο. Δῆλον ἄρα, φήσει, ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγετε, ἀντὶ ἐλαττόνων ἀγαθῶν μείζω κακὰ λαμβάνειν. — Ταῦτα μὲν οὖν οὕτως. μεταλάβωμεν δὴ τὰ ὀνόματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις, καὶ λέγωμεν ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέγομεν τὰ κακά, νῦν δὲ λέγωμεν τὰ ἀνιαρά, γιγνώσκων ὅτι ἀνιαρά ἐστιν, ἡττώμενος ὑπὸ τῶν ἡδέων, δῆλον ὅτι ἀνα*ξίων ὄντων νικᾶν. 356 καὶ τίς ἄλλη ἀναξία ἡδονὴ *) πρὸς λύπην ἐστίν, ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων καὶ ἔλλειψις; ταῦτα δ' ἐστὶ μείζω τε καὶ σμικρότερα γιγνόμενα ἀλλήλων καὶ πλείω καὶ ἐλάττω καὶ μᾶλλον καὶ ἧττον. εἰ γάρ τις λέγοι ὅτι Ἀλλὰ πολὺ διαφέρει, ὦ Σώκρατες, τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, Μῶν ἄλλῳ τῳ, φαίην ἂν ἔγωγε, ἢ ἡδονῇ καὶ λύπῃ; οὐ γὰρ ἔσθ' ὅτῳ * ἄλλῳ· ἀλλ' ὥσπερ ἀγαθὸς B ἱστάναι ἄνθρωπος, ξυνθεὶς τὰ ἡδέα καὶ ξυνθεὶς τὰ λυπηρά, καὶ τὸ ἐγγὺς καὶ τὸ πόῤῥω στήσας ἐν τῷ ζυγῷ, εἰπὲ πότερα πλείω ἐστίν· ἐὰν μὲν γὰρ ἡδέα πρὸς ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω ληπτέα, ἐὰν δὲ λυπηρὰ πρὸς λυπηρά, τὰ ἐλάττω καὶ σμικρότερα, ἐὰν δὲ ἡδέα πρὸς λυπηρά, ἐὰν μὲν τὰ ἀνιαρὰ ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν τε τὰ ἐγγὺς ὑπὸ τῶν πόῤῥω ἐάν τε τὰ πόῤῥω ὑπὸ τῶν ἐγγύς, ταύτην τὴν πρᾶξιν πρακτέον ἐν ᾗ ἂν * ταῦτ' ἐνῇ, ἐὰν δὲ C τὰ ἡδέα ὑπὸ τῶν ἀνιαρῶν, οὐ πρακτέα. μή πῃ ἄλλῃ ἔχει, φαίην ἄν, ταῦτα, ὦ ἄνθρωποι; — οἶδ' ὅτι οὐκ ἂν ἔχοιεν ἄλλως λέγειν. Ξυνεδόκει καὶ ἐκείνῳ. Ὅτε δὴ τοῦτο οὕτως ἔχει, τόδε μοι ἀποκρίνασθε, φήσω· φαίνεται ὑμῖν τῇ ὄψει τὰ αὐτὰ μεγέθη ἐγγύθεν μὲν μείζω, πόῤῥωθεν δὲ ἐλάττω, ἢ οὔ; Φήσουσιν. Καὶ τὰ παχέα καὶ τὰ

*) ἴσ. ἀπαξία ἡδονῆς.

indignis illis bonis an dignis, quae in vobis mala ſuperent? Referemus ſine dubio reſpondentes Indignis bonis; neque enim peccaret is, quem dicimus ſuccumbere voluptatibus. Quatenus vero, dixerit forſitan, indigna ſunt bona malis vel mala bonis? aliane ratione niſi hac, ſi haec maiora, illa minora ſunt, vel plura haec, pauciora illa? — non habebimus aliter dicere quam ita. Patet igitur, dicet, ſuccumbere illud vos vocare pro maioribus bonis maiora mala ſumere. — Et haec quidem ita ſe habent. iam accipiamus rurſus vocabula iucundum et acerbum de iisdem rebus, et dicamus hominem facere — tum dicebamus mala, nunc ponamus acerba, licet cognoſcat ea acerba eſſe, ſuccumbentem iucundis, indignis ſcilicet quae ſuperent. et quaenam alia indignitas voluptatis ad dolorem eſt, niſi redundantia et defectio? hoc vero eſt, ſi maiora et minora inter ſe exſiſtunt, plura et pauciora, altiore et inferiore gradu. enimvero ſi quis dicat At multum differt, Socrate, praesens iucunditas a poſtera vel iucunditate vel dolore: Num alio quopiam, equidem referam, niſi voluptate et dolore? nihil eſt enim aliud, quo differant; ſed, ſicut homo ponderandi peritus, componens iucunda et componens acerba, et propinquum et longinquum ponderansque ea libra, dic utra plura ſint; nam ſi iucunda inter ſe trutina examinas, maiora ſemper et minora ſumenda ſunt, ſin acerba inter ſe examinas, minora et pauciora; ſin iucunda et acerba, quando acerba ſuperantur a iucundis, ſive propinqua a longinquis ſive longinqua a propinquis, hoc ipſum faciendum eſt, in quo id ineſt, ſin autem iucunda ab acerbis ſuperantur, non faciendum. numquid, dicam, aliter ſe haec habent, o homines? — ſcio non aliter ipſos habituros eſſe dicere. Viſum eſt etiam illi. Quod igitur ſi ita habet, hoc mihi reſpondete, dicam: videnturne vobis ſpectantibus eaedem magnitudines cominus quidem maiores, eminus vero minores, necne? Concedent. Etiam craſſa et plu-

πολλὰ ὡσαύτως; καὶ αἱ φωναὶ αἱ ἴσαι ἐγγύθεν μὲν μείζους,
πόῤῥωθεν δὲ σμικρότεραι; Φαῖεν ἄν. Εἰ οὖν * ἐν τούτῳ D
ἡμῖν ἦν τὸ εὖ πράττειν, ἐν τῷ τὰ μὲν μεγάλα μήκη καὶ πράτ-
τειν καὶ λαμβάνειν, τὰ δὲ σμικρὰ καὶ φεύγειν καὶ μὴ πράττειν,
τίς ἂν ἡμῖν σωτηρία ἐφάνη τοῦ βίου; ἆρα ἡ μετρητικὴ τέχνη
ἢ ἡ τοῦ φαινομένου δύναμις; ἢ αὕτη μὲν ἡμᾶς ἐπλάνα *) καὶ
ἐποίει ἄνω τε καὶ κάτω πολλάκις μεταλαμβάνειν ταὐτὰ καὶ
μεταμέλειν καὶ ἐν ταῖς πράξεσι καὶ ἐν ταῖς αἱρέσεσι τῶν μεγά-
λων τε καὶ σμικρῶν, ἡ δὲ μετρητικὴ ἄκυρον μὲν ἂν ἐποίησε
τοῦτο τὸ * φάντασμα, δηλώσασα δὲ τὸ ἀληθὲς ἡσυχίαν ἂν E
ἐποίησεν ἔχειν τὴν ψυχὴν μένουσαν ἐπὶ τῷ ἀληθεῖ καὶ ἔσωσεν
ἂν τὸν βίον; — ἆρ' ἂν ὁμολογοῖεν οἱ ἄνθρωποι πρὸς ταῦθ'
ἡμᾶς τὴν μετρητικὴν σώζειν ἂν τέχνην, ἢ ἄλλην; Τὴν μετρη-
τικήν, ὡμολόγει. Τί δ', εἰ ἐν τῇ τοῦ περιττοῦ καὶ ἀρτίου
αἱρέσει ἡμῖν ἦν ἡ σωτηρία τοῦ βίου, ὁπότε τὸ πλέον ὀρθῶς
ἔδει ἑλέσθαι καὶ ὁπότε τὸ ἔλαττον, ἢ αὐτὸ πρὸς ἑαυτὸ ἢ τὸ
ἕτερον πρὸς τὸ ἕτερον, εἴτ' ἐγγὺς εἴτε πόῤῥω εἴη, τί ἂν ἔσω-
ζεν ἡμῖν τὸν βίον; * ἆρ' ἂν οὐκ ἐπιστήμη; καὶ ἆρ' ἂν οὐ 357
μετρητική τις, ἐπειδήπερ ὑπερβολῆς τε καὶ ἐνδείας ἐστὶν ἡ
τέχνη; ἐπειδὴ δὲ περιττοῦ τε καὶ ἀρτίου, ἆρ' ἄλλη τις ἢ
ἀριθμητική; — ὁμολογοῖεν ἂν ἡμῖν οἱ ἄνθρωποι, ἢ οὔ;
'Εδόκουν ἂν καὶ τῷ Πρωταγόρᾳ ὁμολογεῖν. Εἶεν, ὦ ἄν-
θρωποι, ἐπειδὴ δὲ ἡδονῆς τε καὶ λύπης ἐν ὀρθῇ τῇ αἱρέσει
ἐφάνη ἡμῖν ἡ σωτηρία τοῦ βίου οὖσα, τοῦ τε πλέονος καὶ
ἐλάττονος καὶ μείζονος καὶ σμι*κροτέρου καὶ ποῤῥωτέρω καὶ B
ἐγγυτέρω, ἆρα πρῶτον μὲν οὐ μετρητικὴ φαίνεται, ὑπερβο-
λῆς τε καὶ ἐνδείας οὖσα καὶ ἰσότητος πρὸς ἀλλήλας σκέψις;
'Αλλ' ἀνάγκη. 'Επεὶ δὲ μετρητική, ἀνάγκη δήπου τέχνη καὶ
ἐπιστήμη. Ξυμφήσουσιν. Ἥτις μὲν τοίνυν τέχνη καὶ ἐπι-
στήμη ἐστὶν αὕτη, ἐσαῦθις σκεψόμεθα, ὅτι δὲ ἐπιστήμη ἐστί,
τοσοῦτον ἐξαρκεῖ πρὸς τὴν ἀπόδειξιν, ἣν ἐμὲ δεῖ καὶ Πρωτα-
γόραν ἀποδεῖξαι περὶ ὧν ἤρεσθ' ἡμᾶς. ἤρεσθε δέ, * εἰ μέμνη- C
σθε, ἡνίκα ἡμεῖς ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης μηδὲν εἶ-
ναι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖν, ὅπου ἂν ἐνῇ, καὶ

---

*) ἴσ. ἐπλάνα ἂν κτλ.

rima fimiliter? et voces aequales cominus quidem maiores, eminus vero tenuiores funt? Dicent. Quodfi igitur in hoc nobis verfaretur profperitas, nempe in productis magnitudinibus et faciendis et eligendis, in parvis vero fugiendis nec faciendis, quae nobis videretur vitae falus effe? metiendi ars, an externae vis vifionis? an potius haec in errorem nos induceret efficeretque, ut faepius modo hoc modo illud eadem in re eligeremus nosque poeniteret et feciffe et elegiffe vel magna vel parva, dimetiendi vero ars irritam faceret externam hanc vifionem, verum aperiens tranquillum efficeret animum, ftantem in vero, vitamque fervaret? — num affentientur homines dimetiendi artem nos fervare, an aliam? Metiendi artem. conceffit. Quid vero, fi in imparis et paris electione verfaretur nobis vitae falus, quando plus recte oporteret eligi et quando minus, unumquodque per fe vel alterum prae altero, five prope five procul effent, quid fervaret nobis vitam? nonne fcientia? et ea quidem metiendi fcientia, quandoquidem redundantiae et defectionis ars effet? quando vero imparis et paris, num alia quam numerandi fcientia? — affentienturne nobis homines necne? Vifi funt etiam Protagorae affenfuri effe. Iam, o homines, quoniam in recta voluptatis ac doloris electione vitae falus vobis vifa eft verfari, in eligendis videlicet pluribus et paucioribus, maioribus et minoribus, longinquioribus et propinquioribus, nonne primum metiendi peritia videtur effe, quum redundantia, defectus et aequalitas inter fe examinanda fint? Neceffe eft. Si vero metiendi peritia eft, neceffario ars et fcientia erit. Confentient. Quaenam haec ars et fcientia fit, alias quaeremus, hoc vero, fcientiam eam effe, iam fatis eft ad demonftrandum id, quod me et Protagoram demonftrare oportet de iis quae nos interrogaftis; interrogaftis vero, fi meminiftis, quum inter nos concederemus fcientia nihil effe fuperius, fed hanc femper fuperare, in quocumque ineffet, et vo-

ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων, ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδο-
νὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου, ἐπειδὴ δὲ
ὑμῖν οὐχ ὡμολογοῦμεν, μετὰ τοῦτο ἤρεσθ' ἡμᾶς· Ὦ Πρωτα-
γόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδονῆς
ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστὶ καὶ τί ὑ*μεῖς αὐτό φατε εἶναι; D
εἴπετε ἡμῖν. εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν εἴπομεν ὅτι ἀμαθία,
κατεγελᾶτε ἂν ἡμῶν, νῦν δ' ἐὰν ἡμῶν καταγελᾶτε, καὶ ὑμῶν
αὐτῶν καταγελάσεσθε· καὶ γὰρ ὑμεῖς ὡμολογήκατε ἐπιστήμης
ἐνδείᾳ ἐξαμαρτάνειν περὶ τὴν τῶν ἡδονῶν αἵρεσιν καὶ λυπῶν
τοὺς ἐξαμαρτάνοντας (ταῦτα δέ ἐστιν ἀγαθά τε καὶ κακά), καὶ
οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ εἰς τὸ πρόσθεν ἔτι ὡμολογήκα-
τε ὅτι μετρητικῆς· ἡ δὲ ἐξαμαρτανομένη πρᾶ*ξις ἄνευ ἐπιστή- E
μης ἴστε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράττεται, ὥςτε τοῦτ' ἐστὶ
τὸ ἡδονῆς ἥττω εἶναι ἀμαθία ἡ μεγίστη· ἧς Πρωταγόρας ὅδε
φησὶν ἰατρὸς εἶναι καὶ Πρόδικος καὶ Ἱππίας· ὑμεῖς δὲ διὰ
τὸ οἴεσθαι ἄλλο τι ἢ ἀμαθίαν εἶναι οὔτε αὐτοὶ οὔτε τοὺς
ὑμετέρους παῖδας παρὰ τοὺς τούτων διδασκάλους τούςδε τοὺς
σοφιστὰς πέμπετε, ὡς οὐ διδακτοῦ ὄντος, ἀλλὰ κηδόμενοι
τοῦ ἀργυρίου καὶ οὐ διδόντες τούτοις κακῶς πράττετε καὶ
ἰδίᾳ καὶ δημοσίᾳ.

Ταῦτα μὲν τοῖς πολλοῖς ἀπο*κεκριμένοι ἂν ἦμεν, 358
ὑμᾶς δὲ δὴ μετὰ Πρωταγόρου ἐρωτῶ, Ἱππία τε καὶ Πρό-
δικε (κοινὸς γὰρ δὴ ἔστω ὑμῖν ὁ λόγος), πότερον δοκῶ
ὑμῖν ἀληθῆ λέγειν, ἢ ψεύδεσθαι. Ὑπερφυῶς ἐδόκει ἅπα-
σιν ἀληθῆ εἶναι τὰ εἰρημένα. Ὁμολογεῖτε ἄρα, ἦν δ'
ἐγώ, τὸ μὲν ἡδὺ ἀγαθὸν εἶναι, τὸ δὲ ἀνιαρὸν κακόν· τὴν
δὲ Προδίκου τοῦδε διαίρεσιν τῶν ὀνομάτων παραιτοῦμαι·
εἴτε γὰρ ἡδὺ εἴτε τερπνὸν λέγεις εἴτε χαρτόν, εἴτε ὁπόθεν
καὶ ὅπως χαίρεις τὰ τοιαῦτα ὀνο*μάζων, ὦ βέλτιστε Πρό- B
δικε, τοῦτό μοι πρὸς ὃ βούλομαι ἀπόκριναι. Γελάσας οὖν
ὁ Πρόδικος ξυνωμολόγησε, καὶ οἱ ἄλλοι. Τί δὲ δή,
ὦ ἄνδρες, ἔφην ἐγώ, τὸ τοιόνδε; αἱ ἐπὶ τούτου πράξεις
ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαί
[καὶ ὠφέλιμοι], καὶ τὸ καλὸν ἔργον ἀγαθόν τε καὶ ὠφέλι-
μον; Ξυνεδόκει. Εἰ ἄρα, ἔφην ἐγώ, τὸ ἡδὺ ἀγαθόν
ἐστιν, οὐδεὶς οὔτε εἰδὼς οὔτε οἰόμενος ἄλλα βελτίω εἶναι

luptatem et reliqua omnia, vos autem diceretis, voluptatem ſaepe ſuperare etiam ſcientem hominem, hoc igitur quum vobis non concederemus, deinceps interrogaſtis nos O Protagora et Socrate, ſi haec non eſt affectio illa voluptati ſuccumbendi, quae tandem eſt et quam vos dicitis eam eſſe? aperite nobis. ſi tum ſtatim vobis dixiſſemus, inſcientiam eſſe, nos deriſiſſetis, nunc vero, ſi nos deridetis, etiam vos ipſos deridebitis; vos enim conceſſiſtis, ſcientiae inopia peccare in voluptatum et dolorum electione eos qui peccarent (haec vero ſunt bona et mala), et non ſolum ſcientiae, ſed etiam, ut ulterius conceſſiſtis, metiendi ſcientiae inopia; peccatum autem ſcientia absente ipſi haud dubie ſcitis inſcientia committi; quocirca voluptati ſuccumbere inſcientia eſt maxima; cuius quidem hic Protagoras et Prodicus et Hippias ſe profitentur medicos eſſe, vos autem, quia cenſetis, aliud quid eſſe quam inſcientiam, neque ipſi acceditis neque filios veſtros mittitis ad huius ſcientiae magiſtros hosce ſophiſtas, eam doceri non poſſe arbitrantes; at, quia pecuniam curatis nec his datis, male vobiscum agitur et privatim et publice.

Ac haec quidem multitudini reſponderemus; vos autem cum Protagora interrogo, Hippia et Prodice (communis enim eſto vobis ſermo), utrum videar vobis vera dicere, an mentiri. Mirum quam vera haec dicta omnibus viſa ſunt. Conceditis ergo, inquam, iucundum eſſe bonum, acerbum vero malum; huius Prodici autem verborum distinctionem deprecor; ſive enim iucundum ſive ſuave dicis ſive laetum ſive unde et quomodo geſtis talia appellare, optime Prodice, eo utens ad id quod volo reſponde. Ridens Prodicus conſenſit, ſicut reliqui quoque. Quid vero, o viri, inquam, hoc? omnia quae agimus, ut ſine dolore et iucunde vivamus, nonne pulchra ſunt, pulchrum vero opus bonum et utile eſt? Viſum eſt illis. Si igitur, inquam, iucundum eſt bonum, nemo neque ſciens neque arbitrans alia meliora eſſe,

ἢ ἃ ἐποίει καὶ δύναται, ἔ*πειτα ποιεῖ ταῦτα, ἐξὸν τὰ C
βελτίω, οὐδὲ τὸ ἥττω εἶναι αὑτοῦ ἄλλο τι τοῦτ᾽ ἐστὶν
ἢ ἀμαθία, οὐδὲ κρείττω ἑαυτοῦ ἄλλο τι ἢ σοφία. Ξυν-
εδόκει πᾶσιν. Τί δὲ δή; ἀμαθίαν ἄρα τὸ τοιόνδε λέ-
γετε, τὸ ψευδῆ ἔχειν δόξαν καὶ ἐψεῦσθαι περὶ τῶν πρα-
γμάτων τῶν πολλοῦ ἀξίων; Καὶ τοῦτο πᾶσι ξυνεδόκει.
Ἄλλο τι οὖν, ἔφην ἐγώ, ἐπί γε τὰ κακὰ οὐδεὶς ἑκὼν
ἔρχεται οὐδὲ ἐπὶ ἃ οἴεται κακὰ εἶναι, οὐδ᾽ ἔστι τοῦτο,
ὡς ἔοικεν, ἐν ἀνθρώπου φύ*σει, ἐπὶ ἃ οἴεται κακὰ εἶναι D
ἐθέλειν ἰέναι ἀντὶ τῶν ἀγαθῶν, ὅταν τε ἀναγκασθῇ δυ-
εῖν κακοῖν τὸ ἕτερον αἱρεῖσθαι, οὐδεὶς τὸ μεῖζον αἱρή-
σεται, ἐξὸν τὸ ἔλαττον; Ἅπαντα ταῦτα ξυνδοκεῖ ἅπασιν
ἡμῖν. Τί οὖν; ἔφην ἐγώ, καλεῖτέ τι δέος καὶ φόβον;
καὶ ἆρα, ὅπερ ἐγώ (πρὸς σὲ λέγω, ὦ Πρόδικε); προς-
δοκίαν τινὰ λέγω κακοῦ τουτο, εἴτε φόβον εἴτε δέος κα-
λεῖτε. Ἐδόκει Πρωταγόρᾳ μὲν καὶ Ἱππίᾳ δέος τε καὶ
φόβος εἶναι τοῦτο, Προδίκῳ δὲ δέος, * φόβος δ᾽ οὔ. E
Ἀλλ᾽ οὐδέν, ἔφην ἐγώ, ὦ Πρόδικε, διαφέρει, ἀλλὰ τόδε,
εἰ ἀληθῆ τὰ ἔμπροσθέν ἐστιν, ἆρά τις ἀνθρώπων ἐθελή-
σει ἐπὶ ταῦτα ἰέναι ἃ δέδοικεν, ἐξὸν ἐπὶ ἃ μή; ἢ ἀδύ-
νατον ἐκ τῶν ὡμολογημένων; ἃ γὰρ δέδοικεν, ὡμολό-
γηται ἡγεῖσθαι κακὰ εἶναι, ἃ δὲ ἡγεῖται κακά, οὐδένα
οὔτε ἰέναι ἐπὶ ταῦτα οὔτε λαμβάνειν ἑκόντα. Ἐδόκει καὶ
ταῦτα * πᾶσιν. Οὕτω δὴ τούτων ὑποκειμένων, ἦν δ᾽ 359
ἐγώ, ὦ Πρόδικέ τε καὶ Ἱππία, ἀπολογείσθω ἡμῖν Πρωτα-
γόρας ὅδε, ἃ τὸ πρῶτον ἀπεκρίνατο, πῶς ὀρθῶς ἔχει,
μὴ ἃ τὸ πρῶτον παντάπασι· τότε μὲν γὰρ δὴ πέντε ὄν-
των μορίων τῆς ἀρετῆς οὐδὲν ἔφη εἶναι τὸ ἕτερον οἷον
τὸ ἕτερον, ἰδίαν δὲ αὑτοῦ ἕκαστον ἔχειν δύναμιν· ἀλλ᾽
οὐ ταῦτα λέγω, ἀλλ᾽ ἃ τὸ ὕστερον εἶπε· τὸ γὰρ ὕστερον
ἔφη τὰ μὲν τέτταρα ἐπιεικῶς παραπλήσια ἀλλήλοις εἶναι,
τὸ δὲ ἓν πάνυ πολὺ διαφέρειν τῶν * ἄλλων, τὴν ἀνδρεί- B
αν. γνώσεσθαι δέ μ᾽ ἔφη τεκμηρίῳ τῷδε· εὑρήσεις γάρ, ὦ

quam quae facit et peragere poteſt, haec tamen facit, quum meliora poſſit, nec ſuccumbere ſibimet ipſi aliud quid eſt niſi inſcientia, nec ſuperare ſe ipſum aliud niſi ſapientia. Viſum eſt omnibus. Quid vero? inſcientiamne tale quid eſſe dicitis, quale eſt falſam habere opinionem et falli in rebus magni faciendis? Hoc quoque omnibus viſum eſt. Nonne vero, inquam, mala nemo ſponte aggreditur nec ea quae arbitratur mala eſſe, neque hoc, ut patet, hominis naturae inſitum eſt, ut quae putet mala eſſe ea aggredi velit pro bonis, quando autem cogitur e duobus malis alterum eligere, nemo maius eliget, ſi minus poterit? Omnia haec viſa ſunt nobis omnibus. Quid igitur? inquam, dicitisne aliquid metum et timorem? et idemne, quod ego (tibi hoc dico, Prodice)? exſpectationem videlicet mali id dico, ſive timorem ſive metum id appellatis. Viſum eſt Protagorae et Hippiae metus et timor illud eſſe, Prodico autem metus, non timor. At nihil, inquam, Prodice, iſtud intereſt, ſed hoc agitur, an vera ſint ſupra poſita: num quis hominum ad ea aggreſſurus ſit quae metuat, ſi poſſit ad ea quae non metuat, an fieri id non poſſit ex iis quae conceſſerimus; nam conceſſimus, quae quis timeret, ea ipſum mala exiſtimare, neminem vero quae mala iudicaret ea vel aggredi vel accipere ſua ſponte. Viſa ſunt haec quoque omnibus. Haec igitur, inquam, Prodice et Hippia, quum tamquam fundamenta poſita ſint, ſe defendito nobis hic Protagoras oſtendens, quomodo id quod primo reſpondit recte habeat, non, quod omnium primo poſuit; tum enim, quum quinque virtutis partes ſumpſiſſet, nullam earum dixit talem eſſe qualis altera eſſet, ſed ſuam quamque et propriam vim habere; hoc igitur non intelligo, ſed id quod poſtea poſuit; poſt enim dixit quattuor admodum ſimiles inter ſe eſſe, unam vero omnino differre a reliquis, virtutem; quod me perſpecturum eſſe dixit ex hoc argumento: reperies enim,

Σώκρατες, ἀνθρώπους ἀνοσιωτάτους μὲν ὄντας καὶ ἀδικω-
τάτους καὶ ἀκολαστοτάτους καὶ ἀμαθεστάτους, ἀνδρειοτά-
τους δέ· ᾧ γνώσει ὅτι πολὺ διαφέρει ἡ ἀνδρεία τῶν ἄλ-
λων μορίων τῆς ἀρετῆς. καὶ ἐγὼ εὐθὺς τότε πάνυ ἐθαύ-
μασα τὴν ἀπόκρισιν, καὶ ἔτι μᾶλλον, ἐπειδὴ ταῦτα μεθ'
ὑμῶν διεξῆλθον. ἠρόμην δ' οὖν τοῦτον, εἰ τοὺς ἀνδρείους
λέγει θαῤῥαλέους· ὁ δὲ Καὶ ἴτας γ', * ἔφη. μέμνησαι, ἦν G
δ' ἐγώ, ὦ Πρωταγόρα, ταῦτα ἀποκρινόμενος; Ὡμολόγει.
Ἴθι δή, ἔφην ἐγώ, εἰπὲ ἡμῖν, ἐπὶ τί λέγεις ἴτας εἶναι τοὺς
ἀνδρείους; ἢ ἐφ' ἅπερ οἱ δειλοί; Οὐκ ἔφη. Οὐκοῦν ἐφ'
ἕτερα; Ναί, ἦ δ' ὅς. Πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαῤ-
ῥαλέα ἔρχονται, οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά; Λέγεται δή,
ὦ Σώκρατες, οὕτως ὑπὸ τῶν ἀνθρώπων. Ἀληθῆ, ἔφην
ἐγώ, λέγεις· ἀλλ' οὐ τοῦτ' ἐρωτῶ, ἀλλὰ σὺ ἐπὶ * τί φῂς ἴτας D
εἶναι τοὺς ἀνδρείους; ἆρ' ἐπὶ τὰ δεινά, ἡγουμένους δεινὰ
εἶναι, ἢ ἐπὶ τὰ μή; Ἀλλὰ τοῦτό γ', ἔφη, ἐν οἷς σὺ ἔλεγες
τοῖς λόγοις, ἀπεδείχθη ἄρτι ὅτι ἀδύνατον. Καὶ τοῦτο, ἔφην
ἐγώ, ἀληθὲς λέγεις· ὥστ' εἰ τοῦτο ὀρθῶς ἀπεδείχθη, ἐπὶ
μὲν ἃ δεινὰ ἡγεῖται εἶναι, οὐδεὶς ἔρχεται [ἐπειδὴ τὸ ἥττω
εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα]. Ὡμολόγει. Ἀλλὰ μὴν
ἐπὶ ἅ γε θαῤῥοῦσι, πάντες αὖ ἔρχονται, καὶ δειλοὶ καὶ ἀν-
δρεῖοι, καὶ ταύτῃ γε ἐπὶ τὰ αὐτὰ ἔρχονται οἱ δειλοί τε καὶ
οἱ * ἀνδρεῖοι. Ἀλλὰ μέντοι, ἔφη, ὦ Σώκρατες, πᾶν γε E
τοὐναντίον ἐστὶν ἐπὶ ἃ οἵ τε δειλοὶ ἔρχονται καὶ οἱ ἀνδρεῖ-
οι. αὐτίκα εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι, οἱ δὲ
οὐκ ἐθέλουσιν. Πότερον, ἔφην ἐγώ, καλὸν ὂν ἰέναι ἢ
αἰσχρόν; Καλόν, ἔφη. Οὐκοῦν εἴπερ καλόν, καὶ ἀγαθὸν
ὡμολογήσαμεν ἐν τοῖς ἔμπροσθεν; τὰς γὰρ καλὰς πράξεις
ἁπάσας ἀγαθὰς ὡμολογήσαμεν. Ἀληθῆ λέγεις, καὶ ἀεὶ ἔμοι-
γε δοκεῖ οὕτως. Ὀρθῶς γε, ἔφην ἐγώ. ἀλλὰ πο*τέρους 360
φῂς εἰς τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι, καλὸν ὂν καὶ ἀγα-
θόν; Τοὺς δειλούς, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγώ, εἴπερ
καλὸν καὶ ἀγαθόν, καὶ ἡδύ; Ὡμολόγηται γοῦν, ἔφη. Ἆρ'
οὖν γιγνώσκοντες οἱ δειλοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ

Socrate, maxime quidem impios et iniuſtos et intemperantes et inſcientes, at fortiſſimos; quo intelliges, multum differre fortitudinem a reliquis virtutis partibus. atque ego tum ſtatim admiratus ſum hanc reſponſionem et magis etiam, quum haec vobiscum perſequerer. interrogavi igitur hunc, an fortes diceret ſidentes, et ille Quin etiam, inquit, audaces. Meminiſtine, inquam, Protagora, haec te reſpondiſſe? Conceſſit. Agedum, inquam, dic nobis: quid audacter aggredientes dicis fortes? num id quod timidi aggrediuntur? Negavit. Ergo diverſa? Sane quidem, inquit. Utrum timidi audenda aggrediuntur, fortes vero timenda? Dicunt ſane, Socrate, ita homines. Verum, inquam, dicis; at non hoc interrogo, ſed tu quid exiſtimas audacter aggredi fortes? num timenda eaque pro timendis habentes, an non timenda? Sed hoc quidem, inquit, iis quas tu protuliſti rationibus demonſtratum eſt fieri non poſſe. Etiam hoc, inquam, verum dicis; itaque, ſi recte id demonſtratum eſt, nemo ad ea quae timenda eſſe cenſet aggreditur [quandoquidem hoc, ſibi ipſi ſuccumbere, invenimus inſcientiam eſſe]. Conſenſit. At vero ea, quibus confidunt, omnes aggrediuntur, et timidi et fortes, et hac quidem ratione eadem aggrediuntur timidi et fortes. Attamen, inquit, Socrate, prorſus contraria inter ſe ſunt ea, quae timidi aggrediuntur et quae fortes; exempli cauſa in bellum hi volunt ire, illi nolunt. Utrum, inquam, quod pulchrum ſit ire, an, quod turpe? Quod pulchrum, inquit. Nonne, ſi pulchrum eſt, etiam bonum eſſe conceſſimus in praegreſſis? pulchras enim actiones omnes bonas eſſe conceſſimus. Vera dicis, et ſemper ita mihi videtur. Recte vero, inquam; at utros dicis in bellum ire nolle, quum pulchrum ac bonum ſit? Timidos, inquit. Nonne, inquam, ſi pulchrum et bonum eſt, etiam iucundum erit? Conceſſum certe eſt, inquit. Num igitur ſcientes timidi nolunt ire in id

κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον; Ἀλλὰ καὶ τοῦτο ἐὰν ὁμολογῶμεν, ἔφη, διαφθεροῦμεν τὰς ἔμπροσθεν ὁμολογίας. Τί δ' ὁ ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον ἔρχεται; Ἀνάγκη, ἔφη, ὁμολογεῖν. * Οὐκοῦν ὅλως B
οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται, ὅταν φοβῶνται, οὐδὲ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν; Ἀληθῆ, ἔφη. Εἰ δὲ μὴ αἰσχρά, ἆρ' οὐ καλά; Ὡμολόγει. Εἰ δὲ καλά, καὶ ἀγαθά; Ναί. Οὐκοῦν καὶ οἱ δειλοὶ καὶ οἱ θρασεῖς καὶ οἱ μαινόμενοι τοὐναντίον αἰσχρούς τε φόβους φοβοῦνται καὶ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν; Ὡμολόγει. Θαῤῥοῦσι δὲ τὰ αἰσχρὰ καὶ κακὰ δι' ἄλλο τι, ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν; Οὕ*τως ἔχει, ἔφη. Τί οὖν; τοῦτο δι' ὃ δειλοί εἰ- C
σιν οἱ δειλοί, δειλίαν ἢ ἀνδρείαν καλεῖς; Δειλίαν ἔγωγ', ἔφη. Δειλοὶ δὲ οὐ διὰ τὴν τῶν δεινῶν ἀμαθίαν ἐφάνησαν ὄντες; Καὶ πάνυ γ', ἔφη. Διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν. Ὡμολόγει. Δι' ὃ δὲ δειλοί εἰσι, δειλία ὁμολογεῖται παρὰ σοῦ. Ξυνέφη. Οὐκοῦν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν ἀμαθία δειλία ἂν εἴη; Ἐπένευσεν. Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἐναντίον * ἀνδρεία δειλίᾳ. Ἔφη. Οὐκ- D
οῦν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν σοφία ἐναντία τῇ τούτων ἀμαθίᾳ ἐστίν; Καὶ ἐνταῦθα ἔτι ἐπένευσεν. Ἡ δὲ τούτων ἀμαθία δειλία; Πάνυ μόγις ἐνταῦθα ἐπένευσεν. Ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν ἀνδρεία ἐστίν, ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ. Οὐκέτι ἐνταῦθ' οὔτ' ἐπινεῦσαι ἠθέλησεν ἐσίγα τε. Καὶ ἐγὼ εἶπον Τί δή, ὦ Πρωταγόρα, οὔτε σύ φῃς ἃ ἐρωτῶ οὔτε ἀπόφῃς; Αὐτός, ἔφη, πέρανον. Ἕν γ', ἔ*φην ἐγώ, μόνον ἐρόμενος E
ἔτι σε, εἴ σοι, ὥσπερ τὸ πρῶτον, ἔτι δοκοῦσιν εἶναί τινες ἄνθρωποι ἀμαθέστατοι μέν, ἀνδρειότατοι δέ. Φιλονεικεῖν μοι, ἔφη, δοκεῖς, ὦ Σώκρατες, τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον· χαριοῦμαι οὖν σοι, καὶ λέγω ὅτι ἐκ τῶν ὡμολογημένων ἀδύνατόν μοι δοκεῖ εἶναι. Οὔτοι, ἦν δ' ἐγώ, ἄλλου ἕνεκα ἐρωτῶ πάντα ταῦτα ἢ σκέψασθαι βουλόμενος, πῶς ποτ' ἔχει τὰ περὶ τῆς ἀρετῆς

quod pulchrius et melius et iucundius est? At hoc praeterea si concedimus, inquit, evertemus quae ante concessimus. Quid vero fortis? non ad pulchrius et melius et iucundius aggreditur? Necesse est, inquit, concedere. Nonne in universum fortes neque turpi afficiuntur timore, ut timeant, neque turpi sunt confidentia? Verum, inquit. Quodsi non turpi, nonne pulchra? Concessit. Et si pulchra, etiam bona? Ita. Nonne timidi et audaces et insani contra turpi afficiuntur timore turpique sunt confidentia? Concessit. Confidunt autem turpibus et malis aliam ob causam, an propter ignorationem et inscientiam? Ita vero habet, inquit. Quid igitur? hoc, propter quod timidi sunt timidi, timiditatem, an fortitudinem appellas? Timiditatem equidem, inquit. Timidi vero nonne propter timendorum inscientiam timidi visi sunt? Sane quidem, inquit. Hanc ergo propter inscientiam timidi sunt. Concessit. Et id, propter quod timidi sunt, timiditatem esse concedis. Dixit. Itaque timendorum et non timendorum inscientia timiditas erit? Annuit. At vero, inquam, contraria est fortitudo timiditatis. Dixit. Itaque timendorum et non timendorum sapientia contraria erit eorundem inscientiae? Adhuc hìc annuit. Illorum vero inscientia timiditas? Vixdum hìc annuit. Ergo sapientia timendorum et non timendorum fortitudo est, contraria illa eorundem inscientiae. Non amplius hìc annuere voluit, sed tacuit. Tum ego Cur tandem, inquam, Protagora, neque ais quod interrogo neque negas? Ipse, inquit, perfice. Unum tantum, inquam, praeterea interrogabo te, num tibi, ut primo, adhuc videantur nonnulli homines inscientissimi quidem, at fortissimi esse. Contendere, inquit, mihi videris hoc, Socrate, ut ego respondeam; itaque gratificabor tibi, et dico, hoc mihi videri ex iis quae concessimus fieri non posse. At vero, inquam, nullam aliam ob causam haec omnia interrogo, nisi quod perspicere cupio, quomodo se habeant quae ad virtutem

καὶ τί ποτ' ἐστὶν αὐτὸ ἡ ἀρετή. οἶδα γὰρ ὅτι τούτου φανε-
ροῦ γε*νομένου μάλιστ' ἂν κατάδηλον γένοιτ' ἐκεῖνο, περὶ 361
οὗ ἐγώ τε καὶ σὺ μακρὸν λόγον ἑκάτερος ἀπετείναμεν, ἐγὼ
μὲν λέγων ὡς οὐ διδακτὸν ἀρετή, σὺ δ' ὡς διδακτόν. καί
μοι δοκεῖ ἡμῶν ἡ ἄρτι ἔξοδος τῶν λόγων ὥσπερ ἄνθρωπος
κατηγορεῖν τε καὶ καταγελᾶν, καὶ εἰ φωνὴν λάβοι, εἰπεῖν
ἂν ὅτι Ἄτοποί γ' ἐστέ, ὦ Σώκρατές τε καὶ Πρωταγόρα,
σὺ μὲν λέγων ὅτι οὐ διδακτόν ἐστιν ἀρετὴ ἐν τοῖς ἔμπρο-
σθεν, νῦν σεαυτῷ τἀναντία σπεύδεις, ἐ*πιχειρῶν ἀποδεῖξαι B
ὡς πάντα χρήματά ἐστιν ἐπιστήμη, καὶ ἡ δικαιοσύνη καὶ
ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία. ᾧ τρόπῳ μάλιστ' ἂν διδα-
κτὸν φανείη ἡ ἀρετή· εἰ μὲν γὰρ ἄλλο τι ἦν ἢ ἐπιστήμη
ἡ ἀρετή, ὥσπερ Πρωταγόρας ἐπεχείρει λέγειν, σαφῶς οὐκ
ἂν ἦν διδακτόν, νῦν δὲ εἰ φανήσεται ἐπιστήμη ὄν, ὡς σὺ
σπεύδεις, ὦ Σώκρατες, θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν·
Πρωταγόρας δ' αὖ διδακτὸν τότε ὑποθέμενος, νῦν τοὐναν-
τίον ἔοικε σπεύδοντι, * ὀλίγου πάντα μᾶλλον φανῆναι αὐτό, C
ἢ ἐπιστήμην· καὶ οὕτως ἂν ἥκιστα εἴη διδακτόν. ἐγὼ οὖν,
ὦ Πρωταγόρα, πάντα ταῦτα καθορῶν ἄνω κάτω ταραττό-
μενα δεινῶς, πᾶσαν προθυμίαν ἔχω καταφανῆ αὐτὰ γενέ-
σθαι, καὶ βουλοίμην ἂν ταῦτα διεξελθόντας ἡμᾶς ἐξελθεῖν
ἐπὶ τὴν ἀρετὴν ὅ τι ἔστι, καὶ πάλιν ἐπισκέψασθαι περὶ
αὐτοῦ, εἴτε διδακτὸν εἴτε μὴ διδακτόν, μὴ πολλάκις ἡμᾶς
ὁ Ἐπιμηθεὺς ἐκεῖνος καὶ ἐν τῇ σκέψει σφήλῃ ἐξα*πατή- D
σας, ὥσπερ καὶ ἐν τῇ διανομῇ ἠμέλησεν ἡμῶν, ὥς φης σύ.
ἤρεσεν οὖν μοι καὶ ἐν τῷ μύθῳ ὁ Προμηθεὺς μᾶλλον τοῦ
Ἐπιμηθέως· ᾧ χρώμενος ἐγώ, καὶ προμηθούμενος ὑπὲρ
τοῦ βίου τοῦ ἐμαυτοῦ παντός, πάντα ταῦτα πραγματεύο-
μαι, καὶ εἰ σὺ ἐθέλοις, ὅπερ καὶ κατ' ἀρχὰς ἔλεγον, μετὰ
σοῦ ἂν ἥδιστα ταῦτα ξυνδιασκοποίην. Καὶ ὁ Πρωταγόρας
Ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, ἐπαινῶ σου τὴν προθυμίαν
καὶ τὴν διέξοδον τῶν λόγων· καὶ γὰρ οὔτε * τἆλλα οἶ- E
μαι κακὸς εἶναι ἄνθρωπος, φθονερός τε ἥκιστ' ἀνθρώ-
πων· ἐπεὶ καὶ περὶ σοῦ πρὸς πολλοὺς δὴ εἴρηκα, ὅτι ὧν

pertinent et quid tandem ipsa sit virtus. scio enim hoc si manifestum fuerit, maxime perspicuum fore illud de quo ego et tu longam uterque orationem extendimus, ego scilicet dicens, doceri non posse virtutem, tu vero, doceri eam posse. atque videtur mihi hic orationum nostrarum exitus tamquam homo nos accusare atque deridere, et, si vocem nactus fuerit, dicturus esse: Admirabiles sane estis, Socrate et Protagora: tu enim, qui posueras ante, non posse doceri virtutem, nunc, quod tibi repugnat, contendis, conans demonstrare omnes res esse scientiam, et iustitiam et temperantiam et fortitudinem; qua quidem ratione maxime videbitur doceri posse virtus; nam si aliud quid esset virtus praeter scientiam, ut Protagoras instituit dicere, manifesto non posset doceri, nunc autem si videbitur scientia esse, ut tu contendis, Socrate, mirum ni doceri poterit; Protagoras contra, qui doceri posse virtutem tum statuerat, nunc contrarium videtur contendere, non multum videlicet abesse, quin quidvis potius videatur quam scientia esse, et hoc pacto minime poterit doceri. iam ego, Protagora, omnia haec spectans sursum deorsum turbata mirum in modum, omnino propensus sum eo, ut manifesta haec fiant, et pervelim haec nos persequentes ad virtutem, quid sit, progredi, iterumque de ipsa quaerere, an possit doceri necne, ne forte nos Epimetheus ille etiam in quaestione fallat decipiens, sicut in distributione nos neglexit, ut tu ais. placuit mihi etiam in fabula Prometheus magis quam Epimetheus, illoque utens et prospiciens toti meae vitae omnia haec sedulo ago; atque si tu velles, quod initio iam dixi, una tecum libentissime haec perscrutarer. Tum Protagoras Equidem, inquit, Socrate, laudo propensum tuum animum et orationis quam sequeris expositionem. etenim ut in universum me non esse malum hominem arbitror, ita omnium minime invidum; nam etiam de te aliis iam dixi, me omnium quos convenio

ἐντυγχάνω πολὺ μάλιστα ἄγαμαι σέ, τῶν μὲν τηλικούτων καὶ πάνυ· καὶ λέγω γε ὅτι οὐκ ἂν θαυμάζοιμι, εἰ τῶν ἐλλογίμων γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ. καὶ περὶ τούτων δὲ ἐςαῦθις, ὅταν βούλῃ, διέξιμεν, νῦν δ' ὥρα ἤδη καὶ ἐπ' ἄλλο τι τρέ*πεσθαι. 'Αλλ', ἦν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν, εἴ σοι 362
δοκεῖ· καὶ γὰρ ἐμοὶ οἷπερ ἔφην ἰέναι πάλαι ὥρα, ἀλλὰ Καλλίᾳ τῷ καλῷ χαριζόμενος παρέμεινα.

Ταῦτ' εἰπόντες καὶ ἀκούσαντες ἀπῆμεν.

---

maximi te aestimare, eorum certe qui tuae aetatis sunt omnino; quin etiam dico me non esse miraturum, si celebrium in sapientia virorum exsistas. atque haec alias, si vis, persequemur; nunc tempus iam est ad aliud quid pergendi. Sane, inquam, ita facere oportet, si tibi videtur; nam me quoque eo quo dixi ire iamdudum oportuit; at Calliae pulchro gratificans mansi.

His dictis et auditis discessimus.

ΦΑΙΔΡΟΣ.



ΣΩΚΡΑΤΗΣ ΦΑΙΔΡΟΣ

Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; 227

ΦΑΙ. Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου, πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους· συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ· τῷ δὲ σῷ καὶ ἐμῷ ἑταίρῳ πειθόμενος Ἀκουμενῷ κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους· φησὶ γὰρ ἀκοπωτέρους τῶν ἐν τοῖς * δρόμοις εἶναι. B

ΣΩΚ. Καλῶς γάρ, ὦ ἑταῖρε, λέγει· ἀτὰρ Λυσίας ἦν, ὡς ἔοικεν, ἐν ἄστει;

ΦΑΙ. Ναί, παρ' Ἐπικράτει, ἐν τῇδε τῇ πλησίον τοῦ Ὀλυμπίου οἰκίᾳ τῇ Μορυχίᾳ.

ΣΩΚ. Τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία;

ΦΑΙ. Πεύσει, εἴ σοι σχολὴ προϊόντι ἀκούειν.

ΣΩΚ. Τί δαί *); οὐκ ἂν οἴει με κατὰ Πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσασθαι, τὸ σήν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι;

ΦΑΙ. * Πρόαγε δή. C

ΣΩΚ. Λέγοις ἄν.

ΦΑΙ. Καὶ μήν, ὦ Σώκρατες, προσήκουσά γέ σοι ἡ ἀκοή· ὁ γάρ τοι λόγος ἦν, περὶ ὃν διετρίβομεν, οὐκ οἶδ' ὅντινα τρόπον ἐρωτικός. γέγραφε γὰρ δὴ ὁ Λυσίας πειρώμενόν τινα τῶν καλῶν, οὐχ ὑπὸ ἐραστοῦ δέ· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται· λέγει γὰρ ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι.

ΣΩΚ. Ὦ γενναῖος! εἴθε γράψειεν, ὡς χρὴ πένητι μᾶλλον ἢ πλουσίῳ, καὶ πρεσβυτέρῳ ἢ νεωτέρῳ, καὶ ὅσα ἄλλα ἐμοί τε * πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν· ἦ γὰρ D ἂν ἀστεῖοι καὶ δημωφελεῖς εἶεν οἱ λόγοι. ἔγωγ' οὖν οὕτως

*) γρ. δέ.

SOCRATES PHAEDRVS

So. O care Phaedre, quonam et unde?

Phae. A Lyſia, Socrate, Cephali filio, et eo ambulatum extra murum; multum enim apud ipſum traduxi temporis ſedens a mane; tuo autem et meo amico obtemperans Acumeno in viis conficio ambulationes; dicit enim has magis reficere quam illas in xyſtis.

So. Recte vero, amice, dicit; at Lyſias, ut ſignificas, in urbe erat?

Phae. Vero, apud Epicratem, hic prope Olympium in domo Morychia.

So. In quanam re otium conſumpſiſtis? an dubium non eſt, quin orationibus, ut ſolet, Lyſias vos paverit?

Phae. Comperies, ſi tibi otium progrediendi atque audiendi.

So. Quid ita? Nonne me putas ſecundum Pindarum quavis etiam occupatione ſuperius habiturum eſſe, tuam et Lyſiae colloquutionem audire?

Phae. Procede dum.

So. Dic, quaeſo.

Phae. Et ſane, Socrate, accommodata tibi eſt auditio; enimvero oratio, in qua otium conſumpſimus, neſcio quomodo amatoria erat. ſcripſit videlicet Lyſias de pulchro quodam ſollicitando quidem, neque tamen ab amatore: ſed hoc ipſum ſcilicet argute finxit; dicit enim, vacuo ab amore potius gratificandum eſſe quam amanti.

So. O generoſe! utinam ſcripſiſſet, oportere pauperi potius gratificari quam diviti, et ſeniori potius quam iuniori, et quae alia in me cadunt et in plurimos noſtrûm. profecto enim ſcitae omnibusque ſalutares ta-

ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστε, ἂν βαδίζων ποιῇ τὸν περίπατον Μέγαράδε καὶ κατὰ Ἡρόδικον προσβὰς τῷ τείχει πάλιν ἀπίῃς, οὐ μή σου ἀπολειφθῶ.

ΦΑΙ. Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες; οἴει με, ἃ Λυ*σίας ἐν πολλῷ χρόνῳ κατὰ σχολὴν ξυνέθηκε, δεινότα- 228
τος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνημονεύσειν ἀξίως ἐκείνου; πολλοῦ γε δέω· καίτοι ἐβουλόμην γ' ἂν μᾶλλον, ἢ μοι πολὺ χρυσίον γενέσθαι.

ΣΩΚ. Ὦ Φαῖδρε, εἰ ἐγὼ Φαῖδρον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων, εὖ οἶδα *), ὅτι Λυσίου λόγον ἀκούων ἐκεῖνος οὐ μόνον ἅπαξ ἤκουσεν, ἀλλὰ καὶ πολλάκις ἐπαναλαμβάνων ἐκέλευσέν οἱ
λέγειν, ὁ δὲ * ἐπείθετο προθύμως· τῷ δὲ οὐδὲ ταῦτα ἦν B
ἱκανά, ἀλλὰ τελευτῶν παραλαβὼν τὸ βιβλίον, ἃ μάλιστα ἐπεθύμει ἐπεσκόπει· καὶ τοῦτο δρῶν ἐξ ἑωθινοῦ καθήμενος, ἀπειπὼν εἰς περίπατον ᾔει, ὡς μὲν ἐγὼ οἶμαι, νὴ τὸν κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ μὴ πάνυ τις ἦν μακρός. ἐπορεύετο δ' ἐκτὸς τείχους, ἵνα μελετῴη· ἀπαντήσας δὲ τῷ νοσοῦντι περὶ λόγων ἀκοήν, ἰδὼν μὲν ἰόντα ἥσθη, ὅτι
ἕξοι τὸν ξυγκορυβαντιῶντα, καὶ προάγειν ἐκέλευε· * δεο- C
μένου δὲ λέγειν τοῦ τῶν λόγων ἐραστοῦ, ἐθρύπτετο ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν, τελευτῶν δὲ ἔμελλε, καὶ εἰ μή τις ἑκὼν ἀκούοι, βίᾳ ἐρεῖν. σὺ οὖν, ὦ Φαῖδρε, αὐτοῦ δεήθητι, ὅπερ τάχα πάντως ποιήσει, νῦν ἤδη ποιεῖν.

ΦΑΙ. Ἐμοὶ ὡς ἀληθῶς πολὺ κράτιστόν ἐστιν, οὕτως ὅπως δύναμαι λέγειν· ὥς μοι δοκεῖς σὺ οὐδαμῶς με ἀφήσειν, πρὶν ἂν εἴπω ἁμωσγέπως.

ΣΩΚ. Πάνυ γάρ σοι ἀληθῆ δοκῶ.

ΦΑΙ. Οὑτωσὶ τοίνυν ποιήσω· τῷ ὄν*τι γάρ, ὦ Σώ- D

*) ἴσ. ἀλλ' εὖ οἶδα.

les essent orationes. iam equidem tanto eam opere audire concupisco, ut, etiamsi progrediens ambulationem conficias Megaram et, quod Herodicus praecipit, ad murum accedens rursus abeas, nullo modo pone te remansurus sim.

Phae. Quomodo dicis, mi optime Socrates? arbitraris, quae Lysias multum temporis consumens per otium composuit, gravissimus omnium, qui nunc sunt, in scribendo, haec me imperitum esse relaturum pro ipsius dignitate? multum utique absum; quamquam mallem me id valere potius, quam multum auri mihi obtingere.

So. O Phaedre, si ego Phaedrum ignoro, mei quoque ipsius oblitus sum; at enim neutrum horum est, sed bene scio ipsum, Lysiae oratione audita, non semel tantum eam audivisse, sed iterum illum iussisse sibi eam praelegere, illum vero obtemperasse libenter; huic autem ne hoc quidem satis erat, sed ad extremum sumens librum, quae maxime cupiebat inspexit, idque quum fecisset a mane sedens, defatigatus ambulatum ivit, ut equidem arbitror, per canem, memoriter tenens orationem, nisi nimis longa erat. profectus autem est extra murum, ut meditaretur; ibique obviam factus homini, cuius animus aegrotat e cupiditate orationum audiendarum, laetatus est venientem spectans, quod habiturus esset una bacchantem, et procedere eum iussit; petente autem orationum amatore, ut eam diceret, delicias fecit quasi dicere non cuperet, tandem vero patebat ipsum etiam, si quis sponte non auditurus esset, per vim dicturum esse. tu igitur, Phaedre, roga ipsum, ut, quod mox omni modo facturus est, iam nunc faciat.

Phae. Mihi profecto longe optimum est, ita ut possum dicere; nam videris mihi nullo me modo dimissurus esse, donec dicam quacumque ratione.

So. Prorsus vere de me iudicas.

Phae. Ita igitur facturus sum: revera enim, So-

κρατες, παντὸς μᾶλλον τά γε ῥήματα οὐκ ἐξέμαθον, τὴν μέντοι διάνοιαν σχεδὸν ἁπάντων, οἷς ἔφη διαφέρειν τὰ τοῦ ἐρῶντος ἢ τὰ τοῦ μή, ἐν κεφαλαίοις ἕκαστον ἐφεξῆς δίειμι, ἀρξάμενος ἀπὸ τοῦ πρώτου.

ΣΩΚ. Δείξας γε πρῶτον, ὦ φιλότης, τί ἄρα ἐν τῇ ἀριστερᾷ ἔχεις ὑπὸ τῷ ἱματίῳ· τοπάζω γάρ σε ἔχειν τὸν λόγον αὐτόν· εἰ δὲ τοῦτο ἔστιν, οὑτωσὶ διανοοῦ περὶ ἐμοῦ, ὡς ἐγώ σε πάνυ μὲν φιλῶ, παρόντος δὲ * Λυσίου E
ἐμαυτόν σοι ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται. ἀλλ' ἴθι, δείκνυε.

ΦΑΙ. Παῦε! ἐκκέκρουκάς με ἐλπίδος, ὦ Σώκρατες, ἣν εἶχον ἐν σοὶ ὡς ἐγγυμνασόμενος. ἀλλὰ ποῦ δὴ βούλει καθιζόμενοι ἀναγνῶ*μεν; 229

ΣΩΚ. Δεῦρ' ἐκτραπόμενοι κατὰ τὸν Ἰλισσὸν ἴωμεν, εἶτα, ὅπου ἂν δόξῃ, ἐν ἡσυχίᾳ καθιζώμεθα.

ΦΑΙ. Εἰς καιρόν, ὡς ἔοικεν, ἀνυπόδητος ὢν ἔτυχον· σὺ μὲν γὰρ δὴ ἀεί. ῥᾷστον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον βρέχουσι τοὺς πόδας ἰέναι, καὶ οὐκ ἀηδές, ἄλλως τε καὶ τήνδε τὴν ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας.

ΣΩΚ. Πρόαγε δὴ καὶ σκόπει ἅμα, ὅπου καθιζησόμεθα.

ΦΑΙ. Ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον;

ΣΩΚ. Τί μήν;

ΦΑΙ. Ἐκεῖ * σκιά τ' ἐστὶ καὶ πνεῦμα μέτριον καὶ B
πόα καθίζεσθαι, ἤ, ἐὰν βουλώμεθα, κατακλιθῆναι.

ΣΩΚ. Προάγοις ἄν.

ΦΑΙ. Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ ἐνθένδε μέντοι ποθὲν ἀπὸ τοῦ Ἰλισσοῦ λέγεται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι;

ΣΩΚ. Λέγεται γάρ.

ΦΑΙ. Ἆρ' οὖν ἐνθένδε; χαρίεντα γοῦν καὶ καθαρὰ καὶ διαφανῆ τὰ ὑδάτια φαίνεται, καὶ ἐπιτήδεια κόραις παίζειν παρ' αὐτά.

ΣΩΚ. Οὔκ, ἀλλὰ κάτωθεν, ὅσον δύ' ἢ τρία στά*δια, C
ᾗ πρὸς τὸ τῆς Ἀγραίας διαβαίνομεν, καί πού τίς ἐστι βωμὸς αὐτόθι Βορέου.

crate, verba ipſa neutiquam edidici. argumentum tamen fere omnium, quibus differre dixit amantis et ab amore vacui conditionem, ſummatim unumquodque deinceps perſequuturus ſum, ordiens a primo.

So. Utique ſi prius oſtenderis, amice, quid in ſiniſtra teneas ſub pallio; ſuſpicor enim te ipſam habere orationem; quod ſi eſt, ita exiſtima de me, valde quidem me amare te, praesente tamen Lyſia me tibi dedere ad exercendum, haudquaquam ſtatutum habeo cum animo. Agedum, oſtende.

Phae. Apage! eluſiſti ſpem, quam habueram fore ut in te, Socrate, me exercerem. Sed ubinam vis conſidentes legamus?

So. Huc declinantes iuxta Iliſſum pergamus, tum, ſicubi placuerit, in tranquillo conſidamus.

Phae. Opportune, ut apparet, discalceatus ſum; tu videlicet ſemper es. facillimum igitur nobis iuxta aquulam irrigantibus pedes procedere et haud incommodum, praeſertim hoc et anni et diei tempore.

So. Progredere dum et circumſpice ſimul, ubi conſidere poſſimus.

Phae. Videsne illam altiſſimam platanum?

So. Quidni?

Phae. Ibi umbra eſt et aura temperata et gramen ad conſidendum vel, ſi malumus, cubandum.

So. Progredere, quaeſo.

Phae. Dic mihi, Socrate, nonne hinc fere ab Iliſſo dicitur Boreas Orithyiam ſuſtuliſſe.

So. Dicitur vero.

Phae. Num igitur hinc? venuſta certe, limpida et pellucida aquula videtur et accommodata puellis ad ipſam luſuris.

So. Non hinc, ſed infra ad duo vel tria ſtadia, qua ad Agraeae templum tranſimus, eſtque, ni fallor, Boreae ibi ſacellum aliquod.

ΦΑΙ. Οὐ πάνυ νενόηκα. ἀλλ' εἰπὲ πρὸς Διός, ὦ
Σώκρατες, καὶ σὺ τοῦτο τὸ μυθολόγημα πείθει ἀληθὲς
εἶναι;

ΣΩΚ. 'Αλλ' εἰ ἀπιστοίην, ὥςπερ οἱ σοφοί, οὐκ ἂν
ἄτοπος εἴην· εἶτα σοφιζόμενος φαίην*), αὐτὴν πνεῦμα Βο-
ρέου κατὰ τῶν πλησίον πετρῶν σὺν Φαρμακείᾳ παίζουσαν
ὦσαι, καὶ οὕτω δὴ τελευτήσασαν λεχθῆναι ὑπὸ τοῦ Βο-
ρέου ἀνάρ*παστον γεγονέναι, ἢ ἐξ 'Αρείου πάγου· λέγεται D
γὰρ αὖ καὶ οὗτος ὁ λόγος, ὡς ἐκεῖθεν, ἀλλ' οὐκ ἐνθένδε
ἡρπάσθη. ἐγὼ δέ, ὦ Φαῖδρε, ἄλλως μὲν τὰ τοιαῦτα χαρίεν-
τα ἡγοῦμαι, λίαν δὲ δεινοῦ καὶ ἐπιπόνου καὶ οὐ πάνυ
εὐτυχοῦς ἀνδρός, κατ' ἄλλο μὲν οὐδέν, ὅτι δ' αὐτῷ ἀνάγ-
κη μετὰ τοῦτο τὸ τῶν 'Ιπποκενταύρων εἶδος ἐπανορθοῦ-
σθαι, καὶ αὖθις τὸ τῆς Χιμαίρας· καὶ ἐπιῤῥεῖ δὲ ὄχλος
τοιούτων Γοργόνων καὶ Πηγάσων καὶ ἄλλων ἀμηχάνων
πλήθει τε καὶ * ἀτοπίᾳ τερατολόγων τινῶν φύσεων, αἷς εἴ E
τις ἀπιστῶν προςβιβᾷ κατὰ τὸ εἰκὸς ἕκαστον, ἅτε ἀγροίκῳ
τινὶ σοφίᾳ χρώμενος, πολλῆς αὐτῷ σχολῆς δεήσει. ἐμοὶ δὲ
πρὸς ταῦτα οὐδαμῶς ἔστι σχολή· τὸ δὲ αἴτιον, ὦ φίλε,
τούτου τόδε· οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα
γνῶναι ἐμαυτόν· γελοῖον δέ μοι φαί*νεται, τοῦτ' ἔτι ἀγνο- 230
οῦντα τὰ ἀλλότρια σκοπεῖν. ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα,
πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλε-
γον, σκοπῶ οὐ ταῦτα, ἀλλὰ ἐμαυτόν, εἴτε τι θηρίον ὢν
τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμέ-
νον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῶον, θείας τι-
νὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. ἀτάρ, ὦ ἑταῖρε,
μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον, ἐφ' ὅπερ
ἦγες ἡμᾶς;

ΦΑΙ. Τοῦ*το μὲν οὖν αὐτό. B

ΣΩΚ. Νὴ τὴν Ἥραν, καλή γε ἡ καταγωγή· ἥ τε γὰρ
πλάτανος αὕτη μάλα ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ τε ἄγνου
τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον καὶ ὡς **) ἀκμὴν ἔχει
τῆς ἄνθης, ὡς ἂν εὐωδέστατον παρέχοι τὸν τόπον· ἥ τε

*) ἴσ. φαίην ἄν.
**) ἴσ. οὕτως.

Phae. Plane nefcivi. fed dic mihi per Iovem, Socrate, tune etiam hanc fabellam credis veram efle?

So. At fi fidem ei nullam haberem, ficut fapientes, haud ineptus effem; tum comminifcens dicerem, Boream eam ventum de propinquis rupibus cum Pharmacea ludentem deturbaffe, et ita videlicet mortuam dictam effe a Borea abreptam, vel de Areopago; fertur enim etiam haec fama, eam hinc, non illinc fublatam effe. ego vero, Phaedre, ceterum quidem talia lepida, nimis tamen arguti, laboriofi et neutiquam felicis effe viri indico, hanc unam ob caufam, quod eum oportet deinde Hippocentaurorum formam corrigere et rurfus Chimaerae fpeciem; praeterea affluit turba huiusmodi Gorgonum et Pegaforum aliarumque monftrofarum quarundam naturarum incredibilis et multitudinis et ineptiae, quibus fi quis fidem non habeat et ad probabilitatem velit unamquamque emendare, illiberalem quandam fapientiam adhibens, multo ipfi otio opus erit. mihi autem ad haec nullum plane otium eft, et in caufa, o amice, eft hoc: nondum poffum, quod Delphica infcriptio praecipit, me ipfum nofcere; ridiculum vero mihi videtur, hoc adhuc ignorantem de alienis quaerere. quocirca haec miffa faciens, credens autem id, quod volgo de iis exiftimatur, quod modo dixi, quaero non de his, fed de me ipfo, num forte beftia fim Typhone multiplicius contexta magisque tumida, an mitior ac fimplicior animans, divinae cuiusdam et a tumore alienae fortis natura particeps. at, o amice, ut fermonem huc deflectamus, nonne haec eft arbor, ad quam nos ducere volebas?

Phae. Haec ipfa eft.

So. Per Iunonem, pulchrum fane deverforium eft; platanus enim haec admodum patula et excelfa, viticis altitudo atque opacitas perpulchra et eiusmodi flore viget, ut fuaviffimo locum odore perfundat; fons prae-

αὖ πηγὴ χαριεστάτη ὑπὸ τῆς πλατάνου ῥεῖ μάλα ψυχροῦ
ὕδατος, ὥςγε τῷ ποδὶ τεκμήρασθαι· νυμφῶν τέ τινων καὶ
Ἀχελώου ἱερὸν ἀπὸ τῶν κορῶν τε καὶ ἀγαλμάτων ἔοικεν
εἶναι· εἰ δ' αὖ * βούλει, τὸ εὔπνουν τοῦ τόπου ὡς ἀγα- C
πητόν τε καὶ σφόδρα ἡδύ, θερινόν τε καὶ λιγυρὸν
ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ· πάντων δὲ κομψότατον τὸ
τῆς πόας, ὅτι ἐν ἠρέμα προςάντει ἱκανὴ πέφυκε κατακλι-
νέντι τὴν κεφαλὴν παγκάλως ἔχειν, ὥςτε ἄριστά σοι ἐξενά-
γηται, ὦ φίλε Φαῖδρε.

ΦΑΙ. Σὺ δέ γε, ὦ θαυμάσιε, ἀτοπώτατός τις φαί-
νει· ἀτεχνῶς γάρ, ὃ λέγεις, ξεναγουμένῳ τινὶ καὶ οὐκ
ἐπιχωρίῳ ἔοικας· οὕτως ἐκ τοῦ ἄστεος οὔτ' εἰς * τὴν D
ὑπερορίαν ἀποδημεῖς, οὔτ' ἔξω τείχους ἔμοιγε δοκεῖς τὸ
παράπαν ἐξιέναι.

ΣΩΚ. Ξυγγίγνωσκέ μοι, ὦ ἄριστε· φιλομαθὴς γάρ
εἰμι· τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν μ' ἐθέλει
διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. σὺ μέντοι δοκεῖς
μοι τῆς ἐμῆς ἐξόδου τὸ φάρμακον εὑρηκέναι· ὥςπερ γὰρ
οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἤ τινα καρπὸν προσείον-
τες ἄγουσι, σὺ ἐμοὶ λόγους οὕτω προτείνων ἐν βιβλίοις
τήν τε Ἀττικὴν φαί*νει περιάξειν ἅπασαν καὶ ὅποι ἂν E
ἄλλοσε βούλῃ. νῦν δ' οὖν ἐν τῷ παρόντι δεῦρ' ἀφικόμε-
νος ἐγὼ μέν μοι δοκῶ κατακείσεσθαι, σὺ δ' ἐν ὁποίῳ
σχήματι οἴει ῥᾷστα ἀναγνώσεσθαι, τοῦτο ἑλόμενος ἀναγί-
γνωσκε.

ΦΑΙ. Ἄκουε δή.

Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστασαι, καὶ ὡς νο-
μίζω ξυμφέρειν ἡμῖν τούτων γενομένων, ἀκήκοας· ἀξιῶ
δὲ μὴ διὰ τοῦτο ἀτυ*χῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς 231
ὢν σου τυγχάνω· ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν
εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται, τοῖς δὲ
οὐκ ἔστι χρόνος, ἐν ᾧ μεταγνῶναι προςήκει· οὐ γὰρ ὑπ' ἀνάγ-
κης, ἀλλ' ἑκόντες, ὡς ἂν ἄριστα περὶ τῶν οἰκείων βου-
λεύσαιντο, πρὸς τὴν δύναμιν τὴν αὑτῶν εὖ ποιοῦσιν. ἔτι δὲ

terea amoenissimus sub platano fluit admodum frigidae aquae, ut pede tentans colligas; Nympharum aliquarum et Acheloi sacellum propter pupas et simulacra videtur esse; hoc porro si vis, perquam acceptum locus perflatum habet et valde iucundum, eiusque aestivus stridulusque sibilus insonat ad cicadarum chorum; omnium vero lepidissimum est gramen, propterea quod lenis eius acclivitas accommodata est ad cubandum, ut capite oppido pulchre quiescas. quocirca optime hospitis circumducendi munus explevisti, o care Phaedre.

Phae. Tu sane, o mirifice, admirabilissimus videris; revera enim, ut dicis, hospitis cuiusdam circumducendi, non indigenae similis es; adeo ex urbe neque in regiones externas proficisceris, neque extra murum mihi videris omnino excedere.

So. Ignosce mihi, optime; etenim discendi cupidus sum, regiones autem et arbores nihil prorsus me docent, homines vero in urbe. attamen tu mihi videris remedium, quod ad exeundum me incitet, invenisse; quemadmodum enim, qui fruticem vel fructum aliquem protendunt, esurientia pecora ducunt, ita orationes mihi praetendens in libris per Atticam videris me circumducturus esse totam, et quocumque volueris. nunc vero in praesentia, quum huc venerim, libet mihi recumbere, tu autem in quo statu te censes commodissime lecturum esse, hoc sumpto lege.

Phae. Audi dum.

Quomodo res meae se habeant scis, et me arbitrari nobis prodesse hoc si fieret, audivisti; aequum vero iudico nullam me iccirco repulsam eorum accipere quae peto, quod non sum amator tuus; nam illos tum poenitet eorum, quae bene fecerunt, quum cupiditatem deposuerunt, his vero nullum est tempus, quo sententiam mutare iis conveniat; neque enim necessitate aliqua adstricti, sed sponte ea ratione qua rebus suis optime consulant pro suis ipsi viribus bene faciunt. praeterea

οἱ μὲν ἐρῶντες σκοποῦσιν, ἅ τε κακῶς διέθεντο τῶν αὑ-
τῶν διὰ τὸν ἔρωτα, καὶ ἃ πεποιήκασιν εὖ, καὶ ὃν εἶχον
πόνον * προςτιθέντες, ἡγοῦνται πάλαι τὴν ἀξίαν ἀποδε- B
δωκέναι χάριν τοῖς ἐρωμένοις· τοῖς δὲ μὴ ἐρῶσιν οὔτε
τὴν τῶν οἰκείων ἀμέλειαν διὰ τοῦτο ἔστι προφασίζεσθαι,
οὔτε τοὺς παρεληλυθότας πόνους ὑπολογίζεσθαι, οὔτε τὰς
πρὸς τοὺς προςήκοντας διαφορὰς αἰτιάσασθαι· ὥςτε περιῃ-
ρημένων τοσούτων κακῶν, οὐδὲν ὑπολείπεται ἀλλ' ἢ ποι-
εῖν προθύμως, ὅ τι ἂν αὐτοις οἴωνται πράξαντες χαριεῖ-
σθαι. ἔτι δὲ εἰ διὰ τοῦτο ἄξιον τοὺς ἐ*ρῶντας περὶ πολ- C
λοῦ ποιεῖσθαι, ὅτι τούτους μάλιστά φασι φιλεῖν, ὧν ἂν
ἐρῶσι, καὶ ἕτοιμοί εἰσι καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἔρ-
γων τοῖς ἄλλοις ἀπεχθανόμενοι τοῖς ἐρωμένοις χαρίζεσθαι,
ῥᾴδιον γνῶναι, εἰ ἀληθῆ λέγουσιν, ὅτι, ὅσων ἂν ὕστερον
ἐρασθῶσιν, ἐκείνους αὐτῶν περὶ πλείονος ποιήσονται, καὶ
δῆλον ὅτι, ἐὰν ἐκείνοις δοκῇ, καὶ τούτους κακῶς ποιήσου-
σι. καίτοι πῶς εἰκός ἐστι τοιοῦτον πρᾶγμα προέσθαι τοι-
αύτην ἔχοντι ξυμφοράν, ἣν οὐδ' ἂν * ἐπιχειρήσειεν οὐδεὶς D
ἔμπειρος ὢν ἀποτρέπειν; καὶ γὰρ αὐτοὶ ὁμολογοῦσι νοσεῖν
μᾶλλον ἢ σωφρονεῖν, καὶ εἰδέναι ὅτι κακῶς φρονοῦσιν,
ἀλλ' οὐ δύνασθαι αὐτῶν κρατεῖν· ὥςτε πῶς ἂν εὖ φρονή-
σαντες ταῦτα καλῶς ἔχειν ἡγήσαιντο, περὶ ὧν οὕτω δια-
κείμενοι βουλεύονται *); καὶ μὲν δή, εἰ μὲν ἐκ τῶν ἐρών-
των τὸν βέλτιστον αἱροῖο, ἐξ ὀλίγων ἄν σοι ἡ ἔκλεξις εἴη,
εἰ δ' ἐκ τῶν ἄλλων τὸν σαυτῷ ἐπιτηδειότατον, ἐκ πολλῶν·
ὥςτε πολὺ πλείων ἐλπίς, ἐν τοῖς * πολλοῖς ὄντα τυχεῖν τὸν E
ἄξιον τῆς σῆς φιλίας.

Εἰ τοίνυν τὸν νόμον τὸν καθεστηκότα δέδοικας, μὴ
πυθομένων τῶν ἀνθρώπων ὄνειδός σοι γένηται, εἰκός ἐστι,
τοὺς μὲν ἐρῶντας, οὕτως ἂν οἰο*μένους καὶ ὑπὸ τῶν ἄλ- 232
λων ζηλοῦσθαι, ὥςπερ αὐτοὺς ὑφ' αὑτῶν, ἐπαρθῆναι [τῷ]
λέγειν καὶ φιλοτιμουμένους ἐπιδείκνυσθαι πρὸς ἅπαντας,
ὅτι οὐκ ἄλλως αὐτοῖς πεπόνηται, τοὺς δὲ μὴ ἐρῶντας,
κρείττους αὑτῶν ὄντας, τὸ βέλτιστον ἀντὶ τῆς δόξης
τῆς παρὰ τῶν ἀνθρώπων αἱρεῖσθαι. ἔτι δὲ τοὺς μὲν

---

*) γρ. βούλονται.

amantes perpendunt, quicquid rerum ſuarum male conſtituerint propter amorem et quicquid bene fecerint, et laborem quem habuerint addentes arbitrantur iamdudum meritam debitamque retuliſſe gratiam amatis; iis vero, qui non amant, neque rerum ſuarum negligentiam hanc ob cauſam licet praetendere, neque praeteritorum laborum rationem ducere, neque disſidia cum neceſſariis cauſari: ut, circumciſis tantis malis, nihil iis relinquatur, niſi ut impigre faciant, quodcumque illis praeſtantes arbitrentur gratum ſe facturos eſſe. praeterea ſi iccirco par eſt amantes magni aeſtimari, quod hi maxime dicuntur diligere, ſi quos amore proſequantur, paratique eſſe et verbis et re, in reliquorum offenſionem incurrentes, amatis gratificari, facile eſt intelligere, an vera dicantur, inde quod, quoscumque poſtea amaturi ſunt, eos ipſis pluris aeſtimabunt et ſine ulla controverſia, ſi illis viſum fuerit, ipſis etiam male facient. quamquam qui par ſit eiusmodi rem proiici homini eiusmodi habenti malum, quod ne incipiat quidem peritus quisquam avertere? etenim ipſi fatentur inſanire ſe magis quam ſapere, et ſcire quidem ſe mentis non eſſe compotes, ſed non poſſe ſibi temperare. quocirca quì, ad ſanitatem quum redierint, haec bene habere exiſtimaturi ſint, de quibus ita affecti conſulant? quin etiam ſi ex amantibus optimum volueris eligere, e paucis tibi eligendi optio erit, ſin e ceteris tibi accommodatiſſimum, e pluribus; quocirca longe maior ſpes eſt fore ut in multitudine reperiatur dignus amicitia tua.

Quodſi perſuaſionem publice receptam vereris, ne videlicet, ſi compererint homines, probro tibi ſit, veriſimile eſt, amantes quidem, qui ita arbitrentur ſibi ceteros invidere, ut ipſi inter ſe invideant, eo incitari, ut dicant et ambitione ducti oſtentent apud omnes, ſe non fruſtra laboraſſe, eos autem, qui non ament, quippe qui ſibi temperent, id quod optimum eſt famae apud homines conſequendae praeponere. praeterea amantes

ἐρῶντας πολλοὺς ἀνάγκη πυθέσθαι καὶ ἰδεῖν ἀκολουθοῦν-
τας τοῖς ἐρωμένοις καὶ ἔργον τοῦτο ποιουμένους, ὥστε,
ὅταν ὀφθῶσι διαλεγόμενοι * ἀλλήλοις, τότε αὐτοὺς οἴον- B
ται ἢ γεγενημένης ἢ μελλούσης ἔσεσθαι τῆς ἐπιθυμίας
ξυνεῖναι· τοὺς δὲ μὴ ἐρῶντας οὐδ' αἰτιᾶσθαι διὰ την ξυν-
ουσίαν ἐπιχειροῦσιν, εἰδότες ὅτι ἀναγκαῖόν ἐστιν ἢ διὰ
φιλίαν τῳ διαλέγεσθαι ἢ δι' ἄλλην τινὰ ἡδονήν. καὶ μὲν
δή, εἴ σοι δέος παρέστηκεν ἡγουμένῳ, χαλεπὸν εἶναι φι-
λίαν ξυμμένειν, καὶ ἄλλῳ μὲν τρόπῳ διαφορᾶς γενομένης
κοινὴν ἀμφοτέροις καταστῆναι τὴν ξυμφοράν, προεμένου
δὲ σοῦ ἃ * περὶ πλείστου ποιεῖ, μεγάλην ἄν σοι βλάβην C
γενέσθαι, εἰκότως ἂν τοὺς ἐρῶντας μᾶλλον φοβοῖο· πολ-
λὰ γὰρ αὐτοὺς ἔστι τὰ λυποῦντα, καὶ πάντ' ἐπὶ τῇ αὐ-
τῶν βλάβῃ νομίζουσι γίγνεσθαι. διόπερ καὶ τὰς πρὸς
τοὺς ἄλλους τῶν ἐρωμένων ξυνουσίας ἀποτρέπουσι, φο-
βούμενοι τοὺς μὲν οὐσίαν κεκτημένους, μὴ χρήμασιν αὐ-
τοὺς ὑπερβάλωνται, τοὺς δὲ πεπαιδευμένους, μὴ ξυνέσει
κρείττους γένωνται, τῶν δ' ἄλλο τι κεκτημένων ἀγαθὸν
τὴν * δύναμιν ἑκάστου φυλάττονται· πείσαντες μὲν οὖν D
ἀπέχθεσθαί σε τούτοις, εἰς ἐρημίαν φίλων καθιστᾶσιν· ἂν
δὲ τὸ σαυτοῦ σκοπῶν ἄμεινον ἐκείνων φρονῇς, ἥξεις αὐ-
τοῖς εἰς διαφοράν. ὅσοι δὲ μὴ ἐρῶντες ἔτυχον, ἀλλὰ δι'
ἀρετὴν ἔπραξαν ὧν ἐδέοντο, οὐκ ἂν τοῖς ξυνοῦσι φθο-
νοῖεν, ἀλλὰ τοὺς μὴ ἐθέλοντας μισοῖεν, ἡγούμενοι ὑπ'
ἐκείνων μὲν ὑπερορᾶσθαι, ὑπὸ τῶν ξυνόντων δὲ ὠφελεῖ-
σθαι· ὥστε πολὺ πλείων ἐλπίς, φιλίαν αὐ*τοῖς ἐκ τοῦ πρά- E
γματος ἢ ἔχθραν γενήσεσθαι.

Καὶ μὲν δὴ τῶν μὲν ἐρώντων πολλοὶ πρότερον τοῦ σώ-
ματος ἐπεθύμησαν, ἢ τὸν τρόπον ἔγνωσαν καὶ τῶν ἄλλων οἰ-
κείων ἔμπειροι ἐγένοντο· ὥστε ἄδηλον, εἰ ἔτι αὐτοῖς τότε βου-
λήσονται φίλοι εἶναι, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται·
* τοῖς δὲ μὴ ἐρῶσιν, οἳ καὶ πρότερον ἀλλήλοις φίλοι ὄντες 233
ταῦτα ἔπραξαν, οὐκ ἐξ ὧν ἂν εὖ πάθωσι ταῦτα εἰκὸς ἐλάτ-
τω τὴν φιλίαν αὐτοῖς ποιῆσαι, ἀλλὰ ταῦτα μνημεῖα
καταλειφθῆναι τῶν μελλόντων ἔσεσθαι. καὶ μὲν δὴ βελτίονί

quidem fieri non poteſt quin multi comperiant et videant ſectantes amatos idque ſedulo agentes, ita ut, quando eos conſpiciant inter ſe colloquentes, arbitrentur eos vel ob praeteritam vel ob futuram cupiditatem una eſſe, iis vero, qui non amant, ne conantur quidem conſuetudinem ut probrum obiicere, quia ſciunt, fieri non poſſe quin vel ob amicitiam cum aliquo colloquaris vel ob aliam quampiam voluptatem. quin etiam ſi in metu es cenſens haud facile fieri ut amicitia ſtabilis permaneat, et alias quidem, ſi disſidium intercedat, communo utrique eſſe malum, quum vero proieceris quod plurimi facias, magnum te detrimentum accepturum eſſe, iure amantes magis timebis; multa enim ſunt quae dolorem iis efficiant omniaque ſuo detrimento arbitrantur fieri. quocirca etiam amatorum cum ceteris conſuetudines avertunt, metuentes bonorum poſſeſſores, ne opibus ſe ſuperent, et eruditos, ne intelligentia praeſtent, et ſi quis aliud quippiam boni habet, eius facultatem verentur; perſuadentes igitur tibi, ut in illorum offenſionem incurras, efficiunt ut ab amicis deſtituaris; et ſi tibi ipſe proſpiciens prudentius quam illi feceris, concitabis eorum diſcordiam. quotquot vero non amando adepti, ſed virtute ſua conſequuti ſunt quod cupiverant, non invidebunt tecum verſantibus, ſed, qui noluerint, eos oderunt, exiſtimantes ab his te deſpici, ab illis vero adiuvari. quocirca longe maior ſpes eſt fore ut amicitia ipſis hac ex re, quam diſcordia, oriatur.

Quin etiam maior amantium pars prius corpus concupiſcit, quam mores cognovit et quae reliqua ſunt alicuius propria, experta eſt: ut incertum ſit, an tum adhuc in amicitia cum ipſis permanſuri ſint, quum cupiditatem depoſuerint; de iis vero qui non amant, quippe qui iam ante amicitia inter ſe coniuncti hoc perfecerint, non eſt veriſimile, per quae voluptate afficiantur, ea amicitiam eorum deminutura eſſe, ſed haec monumenta relictum iri futurorum officiorum. quin etiam melio-

σοι προσήκει γενέσθαι ἐμοὶ πειθομένῳ, ἢ ἐραστῇ· ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐπαινοῦσι, τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται, τὰ δὲ καὶ αὐτοὶ χεῖρον διὰ * τὴν ἐπιθυμίαν γιγνώσκοντες. B
τοιαῦτα γὰρ ὁ ἔρως ἐπιδείκνυται· δυστυχοῦντας μέν, ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνιαρὰ ποιεῖ νομίζειν, εὐτυχοῦντας δέ, καὶ τὰ μὴ ἡδονῆς ἄξια παρ' ἐκείνων ἐπαίνου ἀναγκάζει τυγχάνειν· ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοὺς ἐρωμένους ἢ ζηλοῦν αὐτοὺς προσήκει. ἐὰν δ' ἐμοὶ πείθῃ, πρῶτον μὲν οὐ τὴν παροῦσαν ἡδονὴν θεραπεύων ξυνέσομαί σοι, ἀλλὰ τὴν μέλλουσαν ὠφέλειαν ἔσεσθαι, οὐχ * ὑπ' C
ἔρωτος ἡττώμενος, ἀλλ' ἐμαυτοῦ κρατῶν, οὐδὲ διὰ σμικρὰ ἰσχυρὰν ἔχθραν ἀναιρούμενος, ἀλλὰ διὰ μεγάλα βραδέως ὀλίγην ὀργὴν ποιούμενος, τῶν μὲν ἀκουσίων ξυγγνώμην ἔχων, τὰ δὲ ἑκούσια πειρώμενος ἀποτρέπειν· ταῦτα γάρ ἐστι φιλίας πολὺν χρόνον ἐσομένης τεκμήρια. εἰ δ' ἄρα σοι τοῦτο παρέστηκεν, ὡς οὐχ οἷόν τε ἰσχυρὰν φιλίαν γενέσθαι, ἐὰν μή τις ἐρῶν τυγχάνῃ, ἐνθυμεῖσθαι χρή, ὅτι οὔτ' ἂν τοὺς υἱεῖς πε*ρὶ πολλοῦ ἐποιούμεθα οὔτ' ἂν τοὺς πατέρας καὶ D
τὰς μητέρας, οὔτ' ἂν πιστοὺς φίλους ἐκεκτήμεθα, οἳ οὐκ ἐξ ἐπιθυμίας τοιαύτης γεγόνασιν, ἀλλ' ἐξ ἑτέρων ἐπιτηδευμάτων. ἔτι δὲ εἰ χρὴ τοῖς δεομένοις μάλιστα χαρίζεσθαι, προσήκει καὶ τῶν ἄλλων μὴ τοὺς βελτίστους, ἀλλὰ τοὺς ἀπορωτάτους εὖ ποιεῖν· μεγίστων γὰρ ἀπαλλαγέντες κακῶν πλείστην χάριν αὐτοῖς εἴσονται. καὶ μὲν δὴ καὶ ἐν ταῖς ἰδίαις δαπάναις οὐ τοὺς * φίλους ἄξιον παρακαλεῖν, ἀλλὰ E
τοὺς προσαιτοῦντας καὶ τοὺς δεομένους πλησμονῆς· ἐκεῖνοι γὰρ καὶ ἀγαπήσουσι καὶ ἀκολουθήσουσι καὶ ἐπὶ τὰς θύρας ἥξουσι καὶ μάλιστα ἡσθήσονται καὶ οὐκ ἐλαχίστην χάριν εἴσονται καὶ πολλὰ ἀγαθὰ αὐτοῖς εὔξονται.

'Αλλ' ἴσως προσήκει οὐ τοῖς σφόδρα δεομένοις χαρίζεσθαι, ἀλλὰ τοῖς μάλιστα ἀποδοῦναι χάριν δυναμένοις, οὐδὲ τοῖς ἐρῶσι μόνον, ἀλλὰ τοῖς τοῦ πράγματος ἀξίοις,
*οὐδὲ ὅσοι τῆς σῆς ὥρας ἀπολαύσονται, ἀλλὰ οἵτινες 234

rem te exſiſtere conſentaneum eſt mihi obtemperantem, quam amatori; iſti enim etiam praeter id quod optimum eſt et dicta et facta laudant, partim timentes ne in offenſionem incurrant, partim etiam ipſi pravius propter cupiditatem intelligentes. in talibus vero amor ſe oſtentat: infelices facit ut ea quae aliis nullum afferunt dolorem, pro triſtibus habeant, felices autem cogit ut etiam gaudio indigna laude afficiant: ut eorum, qui amantur, multo magis miſereri, quam iis invidere debeas. mihi autem ſi obtemperaveris, primum non praesenti voluptati inſerviens tecum verſabor, ſed futuram ſpectans utilitatem, non amori ſuccumbens, ſed mihi ipſi temperans, neque leves ob res ſtabilem inimicitiam capiens, ſed magnas ob res lente exiguam iram colligens, ea denique, quae invitus feceris, tibi ignoſcens, et quae ſponte facturus es, conans avertere: haec ſunt enim amicitiae diu permanſurae argumenta. quodſi forte in mentem tibi veniat exiſtimare ſtabilem non poſſe amicitiam eſſe, niſi quis amet, reputare te oportet, nos neque filios magni facturos eſſe neque patres ac matres, nec fidos habituros eſſe amicos, quippe qui non ex huiusmodi cupiditate tibi exſiſtant, ſed ex diverſis vitae inſtitutis. praeterea ſi oportet indigentibus potiſſimum gratificari, conſentaneum eſt etiam e ceterorum numero non optimis, ſed egentiſſimis bene facere; graviſſimis enim liberati e malis maximas nobis gratias habebunt. quin etiam in privatarum epularum ſumptibus non amicos par eſt vocari, ſed mendicantes indigentesque expletionis; hi enim et amplectentur et ſectabuntur et ad fores accedent et maxime laetabuntur, nec minimam gratiam habebunt et multa nobis bona precabuntur.

At profecto non valde indigentibus gratificandum eſt, ſed iis qui maxime poſſint gratiam referre, neque amantibus tantum, ſed hac re dignis, neque omnibus, qui pulchritudinis tuae florem carpent, ſed qui, quum

πρεσβυτέρῳ γενομένῳ τῶν σφετέρων ἀγαθῶν μεταδώσου-
σιν, οὐδὲ οἱ διαπραξάμενοι πρὸς τοὺς ἄλλους φιλοτιμή-
σονται, ἀλλ᾽ οἵτινες αἰσχυνόμενοι πρὸς ἅπαντας σιωπήσον-
ται, οὐδὲ τοῖς ὀλίγον χρόνον σπουδάζουσιν, ἀλλὰ τοῖς ὁμοί-
ως διὰ παντὸς τοῦ βίου φίλοις ἐσομένοις, οὐδὲ οἵτινες
παυόμενοι τῆς ἐπιθυμίας *) ἔχθρας πρόφασιν ζητήσουσιν,
ἀλλ᾽ οἱ παυσάμενοι τῆς ὥρας **) * τότε τὴν αὐτῶν ἀρετὴν B
ἐπιδείξονται. Σὺ οὖν τῶν τε εἰρημένων μέμνησο, καὶ
ἐκεῖνο ἐνθυμοῦ, ὅτι τοὺς μὲν ἐρῶντας οἱ φίλοι νουθετοῦ-
σιν, ὡς ὄντος κακοῦ τοῦ ἐπιτηδεύματος, τοῖς δὲ μὴ ἐρῶσιν
οὐδεὶς πώποτε τῶν οἰκείων ἐμέμψατο, ὡς διὰ τοῦτο κακῶς
βουλευομένοις περὶ ἑαυτῶν. Ἴσως ἂν οὖν ἔροιό με, εἰ
ἅπασί σοι παραινῶ τοῖς μὴ ἐρῶσι χαρίζεσθαι· ἐγὼ δὲ οἶ-
μαι οὐδ᾽ ἂν τὸν ἐρῶντα πρὸς ἅπαντάς σε κελεύειν τοὺς
ἐρῶντας ταύ*την ἔχειν τὴν διάνοιαν· οὔτε γὰρ τῷ λαμβά- C
νοντι χάριτος ἴσης ἄξιον, οὔτε σοὶ βουλομένῳ τοὺς ἄλλους
λανθάνειν ὁμοίως δυνατόν· δεῖ δὲ βλάβην μὲν ἀπ᾽ αὐτοῦ
μηδεμίαν, ὠφέλειαν δὲ ἀμφοῖν γίγνεσθαι. Ἐγὼ μὲν οὖν
ἱκανά μοι νομίζω τὰ εἰρημένα· εἰ δέ τι σὺ ποθεῖς ***)
ἡγούμενος παραλελεῖφθαι, ἐρώτα.

Τί σοι φαίνεται, ὦ Σώκρατες, ὁ λόγος; οὐχ ὑπερ-
φυῶς τά τε ἄλλα καὶ τοῖς ὀνό*μασιν εἰρῆσθαι; D

ΣΩΚ. Δαιμονίως μὲν οὖν, ὦ ἑταῖρε, ὥστε με ἐκπλα-
γῆναι· καὶ τοῦτο ἐγὼ ἔπαθον διὰ σέ, ὦ Φαῖδρε, πρὸς σὲ
ἀποβλέπων, ὅτι ἐμοὶ ἐδόκεις γάννυσθαι ὑπὸ τοῦ λόγου με-
ταξὺ ἀναγιγνώσκων· ἡγούμενος γὰρ σὲ μᾶλλον ἢ ἐμὲ ἐπαΐ-
ειν περὶ τῶν τοιούτων, σοὶ εἱπόμην καὶ ἑπόμενος ξυνεβάκ-
χευσα μετὰ σοῦ, τῆς θείας κεφαλῆς.

ΦΑΙ. Εἶεν, οὕτω δὴ δοκεῖ παίζειν;

ΣΩΚ. Δοκῶ γάρ σοι παίζειν, καὶ οὐχὶ ἐσπουδακέναι;

* ΦΑΙ. Μηδαμῶς, ὦ Σώκρατες· ἀλλ᾽ ὡς ἀληθῶς E
εἰπέ, πρὸς Διὸς φιλίου, οἴει ἄν τιν᾽ ἔχειν εἰπεῖν ἄλλον

---

*) ἴσ. παυομένῳ τῆς ὥρας.

**) ἴσ. παυσάμενοι τῆς ἐπιθυμίας.

***) ἴσ. ἐπιποθεῖς.

ſenueris, ſua ipſi bona tecum communicabunt, neque qui, impetrato eo quod optaverant, apud ceteros de eo gloriabuntur, ſed qui pudenter coram omnibus tacebunt, neque qui breve per tempus te colunt, ſed qui aequaliter totam per vitam tibi amici erunt, neque qui, quum deſloreſcere inceperis, inimicitiae cauſam quaerent, ſed qui, quum cupiditatem depoſuerint, tum ſuam ipſi virtutem oſtentabunt. Iam tu et dictorum memor eſto et hoc reputato, amantes ab amicis increpari malum iudicantibus hoc vitae inſtitutum, ab amore autem vacuis numquam de familiaribus aliquem ut probrum obieciſſe, quod hanc ob cauſam rebus ſuis male conſulerent. Quaeras autem forſitan ex me, an ſuadeam tibi, ut omnibus qui non ament gratificere; ego vero exiſtimo neque amantem in omnes te iubere amantes ita animatum eſſe; neque enim is qui accipit pari gratia dignum iudicabit, neque tu, qui cupis alios latere, pariter id poteris aſſequi; oportet vero detrimentum ex hac re nullum, emolumentum contra utrique exſiſtere. Equidem ſatis eſſe puto a me dicta, tu vero ſi amplius quid deſideras, praetermiſſum id eſſe arbitrans, interroga.

Quid iudicas, Socrate, de oratione? nonne mirifice, praeſertim quod ad verba attinet, tibi videtur compoſita eſſe?

So. Divinitus ſane, o amice, adeo ut obſtupefactus ſim; et hoc paſſus ſum per te, Phaedre, te adſpiciens, quod mihi videbare laetitia perfundi, dum orationem legebas; arbitrans enim te magis quam me intelligentem eſſe huiusmodi rerum, te ſequebar ſequensque bacchabar cum te, divino capite.

Phae. Iam ita tibi videtur iocari?

So. Videorne tibi iocari, ac non ſerio loqui?

Phae. Minime vero, Socrate; at vere dic per Iovem amicitiae cuſtodem, num cenſes alium quempiam

τῶν Ἑλλήνων ἕτερα μείζω τούτων καὶ πλείω περὶ τοῦ αὐτοῦ πράγματος;

ΣΩΚ. Τί δέ; καὶ ταύτῃ δεῖ ὑπ' ἐμοῦ τε καὶ σοῦ τὸν λόγον ἐπαινεθῆναι, ὡς τὰ δέοντα εἰρηκότος τοῦ ποιητοῦ, ἀλλ' οὐκ ἐκείνῃ μόνον, ὅτι σαφῆ καὶ στρογγύλα [καὶ ἀκριβῶς] ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται; εἰ γὰρ δεῖ, ξυγχωρητέον χάριν σήν, ἐπεὶ ἐμέ γε ἔλαθεν ὑπὸ τῆς ἐμῆς οὐδε*νίας· τῷ γὰρ ῥητορικῷ αὐτοῦ μόνῳ τὸν νοῦν προσεῖ- 235
χον, τοῦτο δὲ οὐδὲ αὐτὸν ᾤμην Λυσίαν οἴεσθαι *) ἱκανὸν εἶναι. καὶ δὴ οὖν μοι ἔδοξεν, ὦ Φαῖδρε, εἰ μή τι σὺ ἄλλο λέγεις, δὶς καὶ τρὶς ταὐτὰ εἰρηκέναι, ὡς οὐ πάνυ εὐπορῶν τοῦ πολλὰ λέγειν περὶ τοῦ αὐτοῦ· ἴσως οὐδὲν αὐτῷ μέλον τοῦ τοιούτου· καὶ ἐφαίνετο δή μοι νεανιεύεσθαι ἐπιδεικνύμενος, ὡς οἷός τε ὢν ταὐτὰ ἑτέρως τε καὶ ἑτέρως λέγων ἀμφοτέρως εἰπεῖν ἄριστα.

ΦΑΙ. Οὐ*δὲν λέγεις, ὦ Σώκρατες· αὐτὸ μὲν γὰρ τοῦ- B
το καὶ μάλιστα ὁ λόγος ἔχει· τῶν γὰρ ἐνόντων ἀξίως ῥηθῆναι ἐν τῷ πράγματι οὐδὲν παραλέλοιπεν· ὥστε παρὰ τὰ ἐκείνῳ εἰρημένα μηδέν' ἄν ποτε δύνασθαι εἰπεῖν ἄλλα πλείω καὶ πλείονος ἄξια.

ΣΩΚ. Τοῦτο ἐγώ σοι οὐκέτι οἷός τε ἔσομαι πείθεσθαι· παλαιοὶ γὰρ καὶ σοφοὶ ἄνδρες τε καὶ γυναῖκες περὶ αὐτῶν εἰρηκότες καὶ γεγραφότες ἐξελέγξουσί με, ἐάν σοι χαριζόμενος ξυγχωρῶ.

ΦΑΙ. Τίνες οὗτοι; καὶ ποῦ σὺ * βελτίω τούτων C
ἀκήκοας;

ΣΩΚ. Νῦν μὲν οὕτως οὐκ ἔχω εἰπεῖν, δῆλον δὲ ὅτι τινῶν ἀκήκοα, ἢ που Σαπφοῦς τῆς καλῆς ἢ Ἀνακρέοντος τοῦ σοφοῦ ἢ καὶ ξυγγραφέων τινῶν. πόθεν δὴ τεκμαιρόμενος λέγω; πλῆρές περ, ὦ δαιμόνιε, τὸ στῆθος ἔχων αἰσθάνομαι, παρὰ ταῦτα ἂν ἔχειν εἰπεῖν ἕτερα μὴ χείρω. ὅτι μὲν οὖν παρά γε ἐμαυτοῦ οὐδὲν αὐτῶν ἐννενόηκα, εὖ οἶδα ξυνειδὼς ἐμαυτῷ ἀμαθίαν· λείπεται δή, οἶμαι, ἐξ ἀλλοτρίων ποθὲν ναμάτων διὰ τῆς ἀκοῆς πεπληρῶ*σθαί με δίκην ἀγ- D

*) ἴσ. οἴεσθαι ἄν.

e Graecis habiturum esse alia eaque maiora his et plura eodem de genere dicere?

So. Quid? etiam in hoc debet oratio a me et te laudari, quod necessaria dixerit eius auctor, non in illo tantum, quod perspicuum et rotundum unumquodque vocabulum tornatum sit? si oportet, concedendum tua gratia; nam me quidem latuit pro eo quod nihil scio; ad rhetoricum enim modo animum adverti, illi vero nec ipsum arbitrabar Lysiam se parem esse iudicaturum: atque adeo mihi visus est, Phaedre, nisi quid aliud dicis, bis et ter eadem dicere, utpote non satis valens ad plura dicenda eadem de re, fortasse quia hoc non intererat ipsius; et videbatur mihi sane se iactare ostentando, se posse, eadem aliter atque aliter exponentem, utraque ratione dicere optime.

Phae. Nihil dicis, Socrate; hoc ipsum enim vel maxime oratio habet: eorum enim, quae digna inerant in re de quibus exponeretur, nihil praetermisit. quocirca praeter ea quae ille dixit nullus umquam poterit dicere alia plura maiorisque facienda.

So. Hoc iam tibi non potero credere; vetusti enim et sapientes tam viri quam feminae, qui de eo dixerunt et scripserunt, redarguent me, si tibi gratificans concessero.

Phae. Quinam hi sunt? et ubi tu meliora his audivisti?

So. Nunc quidem non possum statim dicere, sed dubium non est quin a quibusdam audiverim, vel a Sappho pulchra vel ab Anacreonte sapiente vel etiam a scriptoribus quibusdam. Unde tandem colligens id dico? plenum sane, o divine, pectus gerens sentio praeter haec me posse alia non deteriora dicere. atqui a me ipso nihil eorum me cognovisse probe scio, conscius mihi ipse inscitiae; relinquitur igitur, opinor, ut ex alienis fontibus auditu impletus sim instar vasis; propter iner-

γείου· ὑπὸ δὲ νωθείας αὖ καὶ αὐτὸ τοῦτο ἐπιλέλησμαι, ὅπως τε καὶ ὧντινων ἤκουσα.

ΦΑΙ. Ἀλλ', ὦ γενναιότατε, κάλλιστα εἴρηκας· σὺ γάρ ἐμοί, ὧντινων μὲν καὶ ὅπως ἤκουσας, μηδ' ἂν κελεύω εἴπῃς, τοῦτο δὲ αὐτὸ ὃ λέγεις ποίησον· τῶν ἐν τῷ βιβλίῳ βελτίω τε καὶ μὴ ἐλάττω ἕτερα ὑποσχέθητι εἰπεῖν τούτων ἀπεχόμενος· καί σοι ἐγώ, ὥσπερ οἱ ἐννέα ἄρχοντες, ὑπισχνοῦμαι χρυσῆν εἰκόνα ἰσομέτρητον εἰς Δελφοὺς ἀναθή-
σειν, * οὐ μόνον ἐμαυτοῦ, ἀλλὰ καὶ σήν. E

ΣΩΚ. Φίλτατος εἶ καὶ ὡς ἀληθῶς χρυσοῦς, ὦ Φαῖδρε, εἴ με οἴει λέγειν, ὡς Λυσίας τοῦ παντὸς ἡμάρτηκε, καὶ οἷόν τε δὴ παρὰ ταῦτα πάντα ἄλλα εἰπεῖν· τοῦτο δὲ οἶμαι οὐδ' ἂν τὸν φαυλότατον παθεῖν ξυγγραφέα. αὐτίκα, περὶ οὗ ὁ λόγος, τί οἴει λέγοντα, ὡς χρὴ μὴ ἐρῶντι μᾶλ-
λον ἢ ἐρῶντι χαρίζεσθαι, παρέντα τοῦ μὲν * τὸ φρόνιμον 256
ἐγκωμιάζειν, τοῦ δὲ τὸ ἄφρον ψέγειν, ἀναγκαῖα γοῦν ὄντα, εἶτ' ἄλλ' ἄττα ἕξειν λέγειν; ἀλλ' οἶμαι τὰ μὲν τοιαῦτα ἐατέα καὶ ξυγγνωστέα λέγοντι, καὶ τῶν μὲν τοιούτων οὐ τὴν εὕρεσιν, ἀλλὰ τὴν διάθεσιν ἐπαινετέον, τῶν δὲ μὴ ἀναγκαίων τε καὶ χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει καὶ τὴν εὕρεσιν.

ΦΑΙ. Ξυγχωρῶ ὃ λέγεις· μετρίως γάρ μοι δοκεῖς εἰρηκέναι. ποιήσω οὖν καὶ ἐγὼ οὕτως· τὸ μὲν τὸν ἐρῶντα
τοῦ μὴ ἐρῶντος μᾶλ*λον νοσεῖν δώσω σοι ὑποτίθεσθαι, B
τῶν δὲ λοιπῶν ἕτερα πλείω καὶ πλείονος ἄξια εἰπὼν τοῦ Λυσίου, παρὰ τὸ Κυψελιδῶν ἀνάθημα σφυρήλατος ἐν Ὀλυμπίᾳ στάθητι.

ΣΩΚ. Ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχελῶν σε, καὶ οἴει δή με ὡς ἀληθῶς ἐπιχειρήσειν εἰπεῖν παρὰ τὴν ἐκείνου σοφίαν ἕτερόν τι ποικιλώτερον.

ΦΑΙ. Περὶ μὲν τούτου, ὦ φίλε, εἰς τὰς ὁμοίας λα-
βὰς ἐλήλυθας· ῥητέον μὲν γάρ σοι * παντὸς μᾶλλον οὔ- C
τως ὅπως οἷός τε εἶ· ἵνα δὲ μὴ τὸ τῶν κωμῳδῶν φορτικὸν

tiam autem hoc ipſum quoque oblitus ſum, quomodo et a quibus audierim.

Phae. Optime vero, o generoſiſſime, dicis; etenim, a quibus et quomodo audieris, nec ſi iubeam mihi dicas, hoc ipſum autem fac quod dicis: iis quae in libro inſunt meliora neque pauciora alia promitte te dicturum eſſe ab his te abstinentem, et ego tibi, ſicut novem archontes, polliceor, auream me ſtatuam eiusdem magnitudinis Delphis poſiturum eſſe, non meam modo, ſed etiam tuam.

So. Amiciſſimus es et revera aureus, Phaedre, ſi me opinaris dicere, Lyſiam a propoſito prorſus aberraſſe et fieri poſſe ut praeter haec quisquam omnia alia proferat; hoc vero arbitror ne viliſſimo quidem ſcriptori poſſe accidere. exempli cauſa, quae res agitur, num cenſes aliquem qui dicat vacuo ab amore potius quam amanti gratificandum eſſe, etiamſi praetermiſerit illius prudentiam laudare, huius vero dementiam vituperare, quod certe neceſſarium eſt, tamen alia quaedam habiturum eſſe dicere? at, opinor, talia condonanda et ignoſcenda ſunt dicenti, et in talibus non inventionem, ſed diſpoſitionem oportet laudari, in iis vero, quae non ſunt neceſſaria, inventu autem difficilia, praeter diſpoſitionem etiam inventionem.

Phae. Concedo quod dicis; recte enim mihi videeris monuiſſe. faciam igitur ego quoque ita: amantem eo, qui non amet, magis inſanire, concedam tibi ſupponere, de reliquis vero, ſi alia plura maiorisque facienda dicis iis, quae Lyſias protulit, iuxta ſtatuam a Cypſelidis conſecratam malleo ductus Olympiae ſtato.

So. Seria agis, Phaedre, quod delicias tuas reprehendi te ludificans, et putas ſcilicet me vere conaturum eſſe illius ſapientia aliud quid dicere artificioſius.

Phae. De hoc, o amice, eandem das ad prehendendum anſam; dicendum eſt enim tibi omni modo ita ut potes; ne vero moleſtam illam comicorum rationem

πρᾶγμα ἀναγκαζώμεθα ποιεῖν, ἀνταποδιδόντες ἀλλήλοις, εὐλαβήθητι, καὶ μὴ βούλου με ἀναγκάσαι λέγειν ἐκεῖνο τὸ εἰ ἐγώ, ὦ Σώκρατες, Σωκράτην ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, καὶ ὅτι ἐπεθύμει μὲν λέγειν, ἐθρύπτετο δέ· ἀλλὰ διανοήθητι ὅτι ἐντεῦθεν οὐκ ἄπιμεν, πρὶν ἂν σὺ εἴπῃς ἃ ἔφησθα ἐν τῷ στήθει ἔχειν· ἐσμὲν δὲ μόνω ἐν ἐρημίᾳ, ἰσχυρότερος δὲ ἐγὼ καὶ νεώτερος· * ἐκ δ' ἁπάντων τούτων ξύνες ὅ σοι λέγω, καὶ μηδαμῶς πρὸς βίαν βουληθῇς μᾶλλον ἢ ἑκὼν λέγειν. D

ΣΩΚ. Ἀλλ', ὦ μακάριε Φαῖδρε, γελοῖος ἔσομαι, παρ' ἀγαθὸν ποιητὴν ἰδιώτης αὐτοσχεδιάζων περὶ τῶν αὐτῶν.

ΦΑΙ. Οἶσθ' ὡς ἔχει; παῦσαι πρός με καλλωπιζόμενος· σχεδὸν γὰρ ἔχω ὃ εἰπὼν ἀναγκάσω σε λέγειν.

ΣΩΚ. Μηδαμῶς τοίνυν εἴπῃς.

ΦΑΙ. Οὔκ, ἀλλὰ καὶ δὴ λέγω· ὁ δέ μοι λόγος ὅρκος ἔσται. ὄμνυμι γάρ σοι — τίνα μέντοι, τίνα θεῶν; εἰ *) βούλει, τὴν πλά*τανον ταυτηνί, ἦ μήν, ἐάν μοι μὴ εἴπῃς τὸν λόγον ἐναντίον αὐτῆς ταύτης, μηδέποτέ σοι ἕτερον λόγον μηδένα μηδενὸς μήτ' ἐπιδείξειν μήτ' ἐξαγγελεῖν. E

ΣΩΚ. Βαβαί, ὦ μιαρέ, ὡς εὖ ἀνεῦρες τὴν ἀνάγκην ἀνδρὶ φιλολόγῳ ποιεῖν ὃ ἂν κελεύῃς!

ΦΑΙ. Τί δῆτα ἔχων στρέφει;

ΣΩΚ. Οὐδὲν ἔτι, ἐπειδὴ σύ γε ταῦτα ὀμώμοκας· πῶς γὰρ ἂν οἷός τ' εἴην τοιαύτης θοίνης ἀπέχεσθαι;

* ΦΑΙ. Λέγε δή. 237

ΣΩΚ. Οἶσθ' οὖν ὡς ποιήσω;

ΦΑΙ. Τοῦ πέρι;

ΣΩΚ. Ἐγκαλυψάμενος ἐρῶ, ἵνα ὅτι τάχιστα διαδράμω τὸν λόγον, καὶ μὴ βλέπων πρὸς σὲ ὑπ' αἰσχύνης διαπορῶμαι.

ΦΑΙ. Λέγε μόνον, τὰ δ' ἄλλα ὅπως βούλει ποίει.

ΣΩΚ. Ἄγετε δή, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ Λιγύων ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμ μοι λάβεσθε τοῦ μύθου, ὅν με ἀναγ-

*) γρ. ἤ.

cogamur ſequi omnia ſibi reddendi, cave et noli me cogere ut illud dicam: *ſi ego, Socrate, Socratem ignoro, mei etiam ipſius oblitus ſum,* et: *cupiebat quidem dicere, ſed delicias faciebat;* immo cogita hinc nos non eſſe abituros, priusquam dixeris quae profeſſus es in pectore gerere; ſumus vero ſoli in ſolitudine, et ego robuſtior atque iunior; ex his omnibus perſpice quid tibi dicam, minimeque velis vi potius quam ſponte dicere.

So. At, o egregie Phaedre, ridiculus ero, ſi ego, prae bono poeta imperitus, ex tempore dicam eadem de re.

Phae. Scin quid fit? deſine mihi delicias facere; revera enim habeo, quod memorans te cogam ut dicas.

So. Immo ne dicas.

Phae. Non, quin potius dico, oratio autem mea iusiurandum erit. iuro enim tibi — per quem potiſſimum, per quem deorum? ſi vis, per hancce platanum, me, niſi mihi dicas orationem coram hac ipſa, nullam tibi umquam aliam nullius orationem neque oſtenſurum neque indicaturum eſſe.

So. Papae, o ſceleſte, quam bene excogitaſti quo cogas virum dicendi amantem ut faciat quodcumque iuſſeris!

Phae. Quid tandem ita tergiverſaris?

So. Non amplius, quum tu haec iuraveris; nam qui poſſim ab huiusmodi epulo me abstinere?

Phae. Dic modo.

So. Scin ut facturus ſim?

Phae. Qui tandem?

So. Operto capite dicturus ſum, ut quam celerrime percurram orationem, nec in te intuens prae pudore haeſitem.

Phae. Dic modo, cetera ut vis fac.

So. Agite dum, Muſae, ſive propter carminis genus canora arte ligantes dictae eſtis, ſive a muſica illa Ligurum gente hoc accepiſtis cognomen, adiuvate mihi

κάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν, ἵνα ὁ ἑταῖρος αὐτοῦ, καὶ
πρότε*ρον δοκῶν τούτῳ σοφὸς εἶναι, νῦν ἔτι μᾶλλον δόξῃ. B

Ἦν οὕτω δὴ παῖς, μᾶλλον δὲ μειρακίσκος ἁπαλός,
μάλα καλός· τούτῳ δὲ ἦσαν ἐρασταὶ πάνυ πολλοί· εἷς δέ
τις αὐτῶν αἱμύλος ἦν, ὃς οὐδενὸς ἧττον ἐρῶν ἐπεπείκει
τὸν παῖδα ὡς οὐκ ἐρῴη· καί ποτε αὐτὸν αἰτῶν ἔπειθε
τοῦτ' αὐτό, ὡς μὴ ἐρῶντι πρὸ τοῦ ἐρῶντος δέοι χαρίζεσθαι,
ἔλεγέ τε ὧδε.

Περὶ παντός, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι καλῶς
βουλεύεσθαι, εἰδέναι δεῖ, περὶ οὗ ἂν ᾖ ἡ * βουλή, ἢ παν- C
τὸς ἁμαρτάνειν ἀνάγκη. τοὺς δὲ πολλοὺς λέληθεν ὅτι οὐκ
ἴσασι τὴν οὐσίαν ἑκάστου, ὡς οὖν εἰδότες οὐ διομολογοῦν-
ται ἐν ἀρχῇ τῆς σκέψεως, προελθόντες δὲ τὸ εἰκὸς ἀπο-
διδόασιν· οὔτε γὰρ ἑαυτοῖς οὔτε ἀλλήλοις ὁμολογοῦσιν.
ἐγὼ οὖν καὶ σὺ μὴ πάθωμεν ὃ ἄλλοις ἐπιτιμῶμεν, ἀλλ'
ἐπειδὴ σοὶ καὶ ἐμοὶ ὁ λόγος πρόκειται, πότερα ἐρῶντι ἢ
μὴ μᾶλλον εἰς φιλίαν ἰτέον, περὶ ἔρωτος, οἷόν τέ ἐστι καὶ
ἣν ἔχει δύναμιν, ὁμολογίᾳ θέμενοι ὅρον, * εἰς τοῦτο ἀπο- D
βλέποντες καὶ ἀναφέροντες τὴν σκέψιν ποιώμεθα *), εἴτε
ὠφέλειαν εἴτε βλάβην παρέχει.

Ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον,
ὅτι δ' αὖ καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν.
τῷ δὴ τὸν ἐρῶντά τε καὶ μὴ κρινοῦμεν; δεῖ αὖ νοῆσαι
ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινέ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγον-
τε, οἷν ἑπόμεθα ᾗ ἂν ἄγητον, ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυ-
μία ἡδονῶν, ἄλλη δὲ ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ ἀρί-
στου. τούτω δὲ ἐν ἡμῖν τοτὲ * μὲν ὁμονοεῖτον, ἔστι δὲ E
ὅτε στασιάζετον, καὶ τοτὲ μὲν ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρα-
τεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατού-
σης τῷ κράτει σωφροσύνη ὄνομα, * ἐπιθυμίας δὲ ἀλόγως ἑλ- 238
κούσης ἐπὶ ἡδονὰς καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ ὕβρις ἐπω-

*) ἴσ. σκοπώμεθα.

orationem, quam me cogit optimus hic dicere, ut amicus suus, qui ante iam ipsi visus est sapiens, nunc etiam magis videatur.

Itaque erat puer, vel potius adolescentulus tener, admodum pulcher; huic erant amatores permulti, quorum unus callidus erat, qui aeque atque ceteri amans persuaserat puero se non amare; atque aliquando eum flagitans persuasit hoc ipsum, ei qui non amaret prae amante esse gratificandum; dixit vero ita.

In omnibus, o puer, unum idemque est principium iis qui bene volunt deliberare: intelligi oportet, quid sit id de quo deliberetur, aliter a proposito prorsus aberrent necesse est. plurimos autem fugit se non intelligere cuiusque rei naturam, quasi igitur intelligant, non conveniunt inter se in quaestionis initio, progredientes vero id quod par est pendunt; neque enim sibimet ipsi neque inter se consentiunt. iam ego et tu caveamus ne idem nobis accidat, quod aliis obiicimus; et quum tibi et mihi quaestio proposita sit, utrum cum amante an cum eo qui non amet amicitiam iungi oporteat, amoris, qualis sit et quam habeat vim, consentientes ponamus definitionem, et hanc intuentes eoque referentes quaestionem quaeramus, utilitatemne an detrimentum afferat.

Iam vero cupiditatem quandam esse amorem, cuilibet patet, sed eos etiam, qui non ament, concupiscere pulchra scimus. quomodo igitur amantem et ab amore vacuum discernemus? oportet videlicet cogitare, in unoquoque nostrûm duas quasdam inesse species imperantes ac ducentes, quas sequamur quocumque ducant, innatam voluptatum cupiditatem unam, alteram adscitum iudicium, appetens optimi. hae in nobis modo concordant, modo inter se dissident, et alias haec, alias illa potior est. iam si iudicium ad optimum ratione ducit potiusque est, huic potestati est nomen temperantia, contra si cupiditas rationis expers trahit ad voluptates et imperat in nobis, huic imperio protervitas nomen im-

νομάσθη. ὕβρις δὲ δὴ πολυώνυμον· πολυμελὲς γὰρ καὶ πολυειδές. καὶ τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν τύχῃ γενομένη, τὴν αὑτῆς ἐπωνυμίαν ὀνομαζόμενον τὸν ἔχοντα παρέχεται, οὔτε τινὰ καλὴν οὔτε ἐπαξίαν κεκτῆσθαι. περὶ μὲν γὰρ ἐδωδὴν κρατοῦσα τοῦ λόγου τε τοῦ ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία γαστριμαργία τε, καὶ τὸν ἔχοντα * ταὐτὸν τοῦτο κεκλημένον παρέξεται, περὶ δὲ αὖ μέ- B θας τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ ἄγουσα, δῆλον οὗ τεύξεται προσρήματος· καὶ τἄλλα δὴ τὰ τούτων ἀδελφὰ καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα, τῆς ἀεὶ δυναστευούσης, ὃ προσήκει καλεῖσθαι πρόδηλον. ἧς δ' ἕνεκα πάντα τὰ πρόσθεν εἴρηται, σχεδὸν μὲν ἤδη φανερόν, λεχθὲν δέ, ἢ μὴ λεχθέν, πάντως σαφέστερον. ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης κρατήσασα ἐπι*θυμία, πρὸς ἡδονὴν C ἀχθεῖσα *) κάλλους καί, ὑπὸ αὖ τῶν ἑαυτῆς ξυγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐῤῥωμένως ῥωσθεῖσα, νικήσασα ἀγωγή, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη.

Ἀτάρ, ὦ φίλε Φαῖδρε, δοκῶ τι σοί, ὥσπερ ἐμαυτῷ, θεῖον πάθος πεπονθέναι;

ΦΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες, παρὰ τὸ εἰωθὸς εὔροιά τίς σε εἴληφε.

ΣΩΚ. Σιγῇ τοίνυν μου ἄκουε· τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι, ὥστε, ἐὰν ἄρα πολ*λάκις νυμφόλη- D πτος προϊόντος τοῦ λόγου γένωμαι, μὴ θαυμάσῃς· τὰ νῦν γὰρ οὐκέτι πόῤῥω διθυράμβων φθέγγομαι.

ΦΑΙ. Ἀληθέστατα λέγεις.

ΣΩΚ. Τούτων μέντοι σὺ αἴτιος· ἀλλὰ τὰ λοιπὰ ἄκουε· ἴσως γὰρ κἂν ἀποτράποιτο τὸ ἐπιόν. ταῦτα μὲν οὖν θεῷ μελήσει, ἡμῖν δὲ πρὸς τὸν παῖδα πάλιν τῷ λόγῳ ἰτέον.

Εἶεν, ὦ φέριστε, ὃ μὲν δὴ τυγχάνει ὄν, περὶ οὗ βουλευτέον, εἴρηταί τε καὶ ὥρισται· βλέποντες δὲ δὴ πρὸς αὐτὸ τὰ

---

*) ἴσ. ταχθεῖσα.

ponitur. protervitas autem multa habet nomina; multis enim constat membris et multiformis est. ac inter has quidem species quaecumque eminet, ea facit ut suo nomine vocetur is qui ipsa tenetur, neque illo pulchro neque digno quod quaeratur. etenim in cibis fruendis quae superat rationem optimi reliquasque cupiditates cupiditas, ea ligurritio nominabitur atque efficiet ut, qui ipsa tenetur, eodem nomine nuncupetur; in ebrietate autem dominans eumque, qui ipsam possidet, eodem ducens quodnam inventura sit nomen, perspicitur; et de reliquis his similibus similiumque cupiditatum nominibus, quomodo, quaecumque principatum tenet, appellanda sit manifestum. cuius vero causa omnia haec dicta sint, paene iam evidens, expositum tamen, quam non expositum, omnino dilucidius. etenim cupiditas rationis expers et iudicium, quod ad rectum tendit, superans, contra voluptatem constituta pulchritudinis et, a cognatis sibi cupiditatibus adversus corporum pulchritudinem fortiter corroborata, ductoris more vincens, ab hoc fortiter pugnandi more appellationem nacta, amor dicta est.

At, o care Phaedre, videorne tibi, sicut mihi, divina incitatione affectus esse?

Phae. Sane quidem, Socrate, praeter consuetudinem flumine quodam orationis correptus es.

So. Tacite igitur me audi; revera enim divinus videtur locus esse, ut, si forte progrediente oratione furore inflammer, ne mireris; neque enim iam, quae nunc protuli, a dithyrambis longe absunt.

Phae. Verissime dicis.

So. Eius vero rei tu causam sustines; at reliqua audi; fortasse enim quod me invadit, avertetur. hoc igitur deo curae erit, nobis vero ad puerum oratione redeundum.

Iam, mi optime, quid sit illud de quo deliberandum, dictum atque definitum est; hoc vero respicientes

λοιπὰ * λέγωμεν, τίς ὠφέλεια ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ E
μὴ τῷ χαριζομένῳ ἐξ εἰκότος ξυμβήσεται. Τῷ μὲν δὴ ὑπὸ
ἐπιθυμίας ἀρχομένῳ δουλεύοντί τε ἡδονῇ ἀνάγκη που τὸν
ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. νοσοῦντι δὲ
πᾶν ἡδὺ τὸ μὴ ἀντιτεῖνον, κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν·
οὔτε δὴ κρείττω * οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παιδικὰ 239
ἀνέξεται, ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάσεται· ἥτ-
των δὲ ἀμαθὴς σοφοῦ, δειλὸς ἀνδρείου, ἀδύνατος εἰπεῖν
ῥητορικοῦ, βραδὺς ἀγχίνου. τοσούτων κακῶν καὶ ἔτι πλει-
όνων κατὰ τὴν διάνοιαν τοῦ ἐραστοῦ τῷ ἐρωμένῳ ἀνάγκη
γιγνομένων τε καὶ φύσει ἐνόντων, τῶν μὲν ἥδεσθαι, τὰ δὲ
παρασκευάζειν, ἢ στέρεσθαι τοῦ παραυτίκα ἡδέος. φθονε-
ρὸν δὴ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων * ξυνουσιῶν B
ἀπείργοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστ᾽ ἀνὴρ γίγνοιτο,
μεγάλης αἴτιον εἶναι βλάβης, μεγίστης δέ, τῆς ὅθεν ἂν
φρονιμώτατος εἴη· τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει
ὄν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόῤῥωθεν εἴργειν, περίφο-
βον ὄντα τοῦ καταφρονηθῆναι, τά τε ἄλλα μηχανᾶσθαι,
ὅπως ἂν ᾖ πάντ᾽ ἀγνοῶν καὶ πάντ᾽ ἀποβλέπων εἰς τὸν
ἐραστήν, οἷος ὢν τῷ μὲν ἥδιστος, ἑαυτῷ δὲ βλαβερώτα-
τος *) εἴη.

Τὰ μὲν οὖν κατὰ διάνοιαν ἐπί*τροπός τε καὶ κοι- C
νωνὸς οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα· τὴν δὲ τοῦ
σώματος ἕξιν τε καὶ θεραπείαν, οἵαν τε καὶ ὡς θερα-
πεύσει, οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγ-
κασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. ὀφθήσεται δέ τινα
μαλθακὸν καὶ οὐ στερεὸν διώκων, οὐδ᾽ ἐν ἡλίῳ καθαρῷ
τεθραμμένον, ἀλλ᾽ ὑπὸ ξυμμιγεῖ σκιᾷ, πόνων μὲν ἀνδρεί-
ων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἁπαλῆς
καὶ ἀνάνδρου διαίτης, ἀλλο*τρίοις χρώμασι καὶ κόσμοις D
χήτει οἰκείων κοσμούμενον, ὅσα τε ἄλλα τούτοις ἕπεται,
πάντα ἐπιτηδεύοντα· ἃ δῆλα, καὶ οὐκ ἄξιον περαιτέρω

---

*) ἴσ. βλαβερώτατος ἄν.

reliqua dicamus, quaenam utilitas vel quodnam detrimentum per amantem et per amore vacuum gratificanti probabiliter eventura ſint. Ei igitur qui a cupiditate regitur ſervitque voluptati neceſſe haud dubie eſt amatum quam ſuaviſſimum ſibi efficere. aegrotanti vero omne ſuave eſt quod non repugnat, melius vero et aequale inimicum; neque igitur meliorem neque aequalem ultro amator amatum ſustinebit, ſed inferiorem eum ſemperque deteriorem efficiet; inferior autem indoctus ſapiente, timidus forti, dicendi imperitus eloquente, tardus ſagace. tanta mala etiamque plura ad animum ſpectantia amato vel exſiſtunt vel natura inſunt, quae quidem amator partim laetus cognoſcit, partim efficiat neceſſe eſt; aliter praesente privatur voluptate. invidus igitur ſit neceſſe eſt, et ab aliis multis eum prohibendo congreſſionibus iisque utilibus, quibus maxime vir futurus ſit, magnum ipſi detrimentum afferet, maximum vero ab hac prohibendo, qua ſapientiſſimus poſſit exſiſtere; haec eſt autem divina philoſophia, a qua amatori puerum amatum neceſſe eſt longius abducere, magno adducto timore, ne deſpiciatur, et omnino operam dare, ut puer omnium rerum ſit ignarus et in omnibus ſpectet amatorem: quo quidem in ſtatu huic ſuaviſſimus, ſibi vero pernicioſiſſimus erit.

Quod igitur ad animum attinet, tutor atque ſocius haudquaquam fructuoſus eſt vir qui tenetur amore; corporis vero habitudinem ac curationem qualem et quomodo, cuiuscumque dominus factus fuerit, inſtiturus ſit hic qui iucundum prae bono coactus eſt ſectari, oportet dein conſiderari. conſpicietur igitur mollem aliquem, non ſolidum ſectans, nec in ſole aperto educatum, ſed in craſſa umbra, laborum virilium et ſudorum ſiccorum ignarum, gnarum vero mollis et effeminatae vitae, alienis coloribus et ornamentis, propriis deficientibus, ornatum, et quae alia cum his coniuncta ſunt, ea omnia colentem; quae perſpicua ſunt, nec operae

προβαίνειν, ἀλλὰ ἓν κεφάλαιον *) ὁρισαμένους ἐπ' ἄλλο ἰέ-
ναι· τὸ γὰρ τοιοῦτον σῶμα ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις,
ὅσαι μεγάλαι, οἱ μὲν ἐχθροὶ θαῤῥοῦσιν, οἱ δὲ φίλοι καὶ αὐ-
τοὶ οἱ ἐρασταὶ φοβοῦνται. τοῦτο μὲν οὖν, ὡς δῆλον, ἐατέον,
τὸ δὲ ἐφεξῆς ῥητέον, τίνα ἡμῖν ὠφέλειαν ἢ τίνα βλάβην περὶ
*τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπεία παρέ- E
ξεται.

Σαφὲς δὴ τοῦτό γε παντὶ μέν, μάλιστα δὲ τῷ ἐραστῇ,
ὅτι τῶν φιλτάτων τε καὶ εὐνουστάτων καὶ θειοτάτων κτημά-
των ὀρφανὸν πρὸ παντὸς εὔξαιτ' ἂν εἶναι τὸν ἐρώμενον· πα-
τρὸς γὰρ καὶ μητρὸς καὶ ξυγγενῶν καὶ φίλων στέρεσθαι ἂν
αὐτὸν δέξαιτο, διακωλυτὰς καὶ ἐπιτιμητὰς ἡγούμενος τῆς ἡδί-
στης * πρὸς αὐτὸν ὁμιλίας· ἀλλὰ μὴν οὐσίαν γε ἔχοντα χρυσοῦ 240
ἤ τινος ἄλλης κτήσεως οὔτε εὐάλωτον ὁμοίως οὔτε ἁλόντα εὐ-
μεταχείριστον ἡγήσεται. ἐξ ὧν πᾶσ' ἀνάγκη ἐραστὴν παιδικοῖς
φθονεῖν μὲν οὐσίαν κεκτημένοις, ἀπολλυμένης δὲ χαίρειν.
ἔτι τοίνυν ἄγαμον, ἄπαιδα, ἄοικον ὅτι πλεῖστον χρόνον παι-
δικὰ ἐραστὴς εὔξαιτ' ἂν γενέσθαι, τὸ αὐτοῦ **) γλυκὺ ὡς
πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. Ἔστι μὲν δὴ καὶ
ἄλλα κακά, ἀλλά τις ἔμιξε * δαίμων τοῖς πλείστοις ἐν τῷ πα- B
ραυτίκα ἡδονήν· οἷον κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ με-
γάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον· καί
τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοι-
ουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων, οἷς τό γε καθ'
ἡμέραν ἡδίστοισιν εἶναι ὑπάρχει· παιδικοῖς δὲ ἐραστὴς πρὸς
τῷ βλαβερῷ καὶ εἰς τὸ ξυν*ημερεύειν πάντων ἀηδέστατον· C
ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα· ἡ γάρ, οἶ-
μαι, χρόνου ἰσότης ἐπ' ἴσας ἡδονὰς ἄγουσα δι' ὁμοιότητα φι-
λίαν παρέχεται· ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων ξυνουσία
ἔχει. καὶ μὴν τό γε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν λέγεται·

---

*) ἴσ. ἐν κεφαλαίῳ.
**) ἴσ. αὐτῷ.

pretium eſt longius progredi; ſed ſummatim ea explicantes ad aliud quid aggrediamur: tali videlicet corpori in bello aliisque negotiis, quaecumque magna ſunt, hoſtes quidem confident, amici autem ipſique amatores timebunt. hoc igitur quippe perſpicuum praetermittendum, deinceps vero quod ſequitur dicendum, quamnam nobis utilitatem vel quodnam detrimentum, ſi poſſeſſionem ſpectamus, amatoris conſuetudo ac tutela ſit allatura.

Manifeſtum hoc quidem cuique, maxime vero amatori, ipſum ante omnia optare, ut cariſſimis, benivolentiſſimis ac diviniſſimis bonis orbatus ſit amatus; patre enim et matre et cognatis et amicis eum privatum cupiet, prohibitores et reprehenſores illos exiſtimans ſuaviſſimae cum eo conſuetudinis; at vero aurum poſſidentem vel aliud quodpiam bonum nec facilem captu pariter nec, ſi captus fuerit, facilem tractatu exiſtimabit. quapropter prorſus neceſſe eſt amatorem amato invidere bona poſſidenti, hisque deperditis gaudere. praeterea ut matrimonii, liberorum, domus quam diutiſſime expers ſit amatus, amator optabit, ſua voluptate quam diutiſſime frui cupiens. Sunt quidem alia etiam mala, ſed admiſcuit deus aliquis plurimis praeſentem voluptatem, velut adulatori, infeſtae beluae et perniciei magnae, tamen admiſcuit natura voluptatem quandam haud inſcitam; atque vituperet forſitan quispiam meretricem ut perniciofam, et alia multa generis eiusdem, quae fovemus ac colimus, quorum quotidianus certe uſus eſt ſuaviſſimus; amato vero amator, praeterquam quod pernicioſus, etiam ad quotidianam conſuetudinem omnium inſuaviſſimus eſt. enimvero aequalem vetus proverbium eſt oblectare aequalem; temporum videlicet, opinor, aequalitas ad aequales voluptates ducens ſimilitudine amicitiam efficit; ac tamen ſatietatem etiam horum conſuetudo habet. quinetiam neceſſarium grave cuique quaque in re dicitur; quod qui-

ὃ δὴ πρὸς τῇ ἀνομοιότητι μάλιστ' ἐραστὴς πρὸς παιδικὰ
ἔχει· νεωτέρῳ γὰρ πρεσβύτερος ξυνὼν οὔθ' ἡμέρας οὔτε
νυκτὸς ἀπολείπεται ἑκών, ἀλλ' ὑπ' ἀνάγ*κης τε καὶ οἴστρου D
ἐλαύνεται, ὃς ἐκείνῳ μὲν ἡδονὰς ἀεὶ διδοὺς ἄγει, ὁρῶντι,
ἀκούοντι, ἁπτομένῳ καὶ πᾶσαν αἴσθησιν αἰσθανομένῳ τοῦ
ἐρωμένου, ὥστε μεθ' ἡδονῆς ἀραρότως αὐτῷ ὑπηρετεῖν·
τῷ δὲ δὴ ἐρωμένῳ ποῖον παραμύθιον ἢ τίνας ἡδονὰς δι-
δοὺς ποιήσει τὸν ἴσον χρόνον ξυνόντι μὴ οὐχὶ ἐπ' ἔσχατον
ἐλθεῖν ἀηδίας, ὁρῶντι μὲν ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν
ὥρᾳ, ἑπομένων δὲ τῶν ἄλλων ταύτῃ, ἃ καὶ λόγῳ ἐστὶν
ἀκούειν οὐκ ἐπιτερπές, μὴ * ὅτι δὴ ἔργῳ, ἀνάγκης ἀεὶ E
προσκειμένης μεταχειρίζεσθαι, φυλακάς τε δὴ καχυπόπτους
φυλαττομένῳ διὰ παντὸς καὶ πρὸς ἅπαντας, ἀκαίρους τε
ἐπαίνους καὶ ὑπερβάλλοντας ἀκούοντι, ὡς δ' αὔτως ψό-
γους νήφοντος μὲν οὐκ ἀνεκτούς, εἰς δὲ μέθην ἰόντος
πρὸς τῷ μὴ ἀνεκτῷ ἐπ' αἴσχει, παῤῥησίᾳ κατακορεῖ καὶ
ἀναπεπταμένῃ χρωμένου.

Καὶ ἐρῶν μὲν βλαβερός τε καὶ ἀηδής, λήξας δὲ τοῦ
ἔρωτος εἰς τὸν ἔπειτα χρόνον ἄπιστος, εἰς ὃν πολλὰ καὶ
μετὰ πολλῶν ὅρκων τε καὶ δεήσεων ὑπισχνούμενος μόγις
κατεῖχε τὴν ἐν τῷ τότε * ξυνουσίαν ἐπίπονον οὖσαν φέρειν 241
δι' ἐλπίδα ἀγαθῶν. τότε δὴ δέον ἐκτίνειν, μεταβαλὼν ἄλ-
λον ἄρχοντα καὶ προστάτην ἐν ἑαυτῷ, νοῦν καὶ σωφροσύ-
νην ἀντ' ἔρωτος καὶ μανίας, ἄλλος γεγονὼς λέληθε τὰ παι-
δικά. καὶ ὁ μὲν αὐτὸν χάριν ἀπαιτεῖ τῶν τότε, ὑπομιμνή-
σκων τὰ πραχθέντα καὶ λεχθέντα, ὡς τῷ αὐτῷ διαλεγόμε-
νος, ὁ δὲ ὑπὸ αἰσχύνης οὔτε εἰπεῖν τολμᾷ ὅτι ἄλλος γέγο-
νεν, οὔθ' ὅπως τὰ τῆς προτέρας ἀνοήτου ἀρχῆς ὁρκωμόσιά
τε καὶ * ὑποσχέσεις ἐμπεδώσει ἔχει, νοῦν ἤδη ἐσχηκὼς καὶ B
σεσωφρονηκώς, ἵνα μὴ πράττων ταὐτὰ τῷ πρόσθεν ὅμοιός
τε ἐκείνῳ καὶ ὁ αὐτὸς πάλιν γένηται. φυγὰς δὴ γίγνεται
ἐκ τούτων καὶ ἀπεστερηκὼς ὑπ' ἀνάγκης ὁ *) πρὶν ἐρα-
στής, ὀστράκου μεταπεσόντος, ἵεται φυγῇ μεταβαλών· ὁ
δὲ ἀναγκάζεται διώκειν ἀγανακτῶν καὶ ἐπιθεάζων, ἠγνοη-

*) ἴσ. οὗ.

dem praeter dissimilitudinem maxime amator ad amatum habet; cum iuniore enim senior consuescens nec diu nec noctu eum deserit ultro, sed necessitate et furore stimulatur, qui ipsi quidem perpetuas voluptates praebens moderatur, videnti, audienti, contrectanti omnibusque percipiendi rationibus percipienti amatum, ita ut cum voluptate adhaerescens illi serviat, amato autem quale levamen quasve voluptates praebens efficiet, ut ne aequale tempus consuescens ad extremam perveniat molestiam, videns faciem seniorem nec formosam, aliisque huic adiunctis, quae etiam verbis auditu iniucunda sunt, nedum re, necessitate semper imposita attrectandi, praeterea ob custodias suspiciosas se custodiens quovis tempore et ad quemvis, importunasque laudes ac modum excedentes audiens, itemque vituperationes, sobrii illas quidem haud tolerabiles, ebrii autem non solum intolerabiles, verum etiam turpissimas, quippe qui libertatem fastidiosam apertamque adhibeat.

Atque amans quidem perniciosus et insuavis, amore autem deposito in posterum tempus est infidus, in quod multa multis cum iuribus iurandis ac precibus promittens vix eum retinuit, ut illam tum consuetudinem molestam ferret spe ductus bonorum. tunc igitur quum debeat illa persolvere, recipiendo in sese alium principem ac praefectum, rationem ac temperantiam pro amore et insania, alius est factus insciis deliciis suis. et hic quidem ab ipso gratiam reposcit praeteritorum, admonens de factis et dictis, quasi cum eodem colloquatur; ille vero prae pudore neque dicere audet, alium se factum esse, neque superioris dementis imperii iura iuranda et promissa servare potest, mentem iam nactus et ad sanitatem reductus, ut ne faciens eadem, atque prior, similis huius et idem rursus exsistat. transfuga igitur fit iccirco et deserens necessitate coactus eum, cuius antea amator erat, testa conversa proripit se fuga mutatus; ille autem cogitur prosequi indignans et exsecrans,

κῶς τὸ ἅπαν ἐξ ἀρχῆς, ὅτι οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ * πολὺ μᾶλλον μὴ C ἐρῶντι καὶ νοῦν ἔχοντι, εἰ δὲ μή, ἀναγκαῖον εἴη ἐνδοῦναι ἑαυτὸν ἀπίστῳ, δυςκόλῳ, φθονερῷ, ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν, πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον οὔτε ἔστιν οὔτε ποτὲ ἔσται. Ταῦτά τε οὖν χρή, ὦ παῖ, ξυννοεῖν καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν, ὅτι οὐ μετ' εὐνοίας γίγνεται, ἀλλὰ σιτίου τρόπον χάριν πλησμονῆς

*Ὡς λύκοι ἄρν' ἀγαπῶσ', ὣς παῖδα φιλοῦσιν ἐρασταί. D

Τοῦτ' ἐκεῖνο, ὦ Φαῖδρε· οὐκέτ' ἂν πέρα ἀκούσαις μου *) λέγοντος, ἀλλ' ἤδη σοι τέλος ἐχέτω ὁ λόγος.

ΦΑΙ. Καίτοι ᾤμην γε μεσοῦν αὐτόν, καὶ ἐρεῖν τὰ ἴσα περὶ τοῦ μὴ ἐρῶντος, ὡς δεῖ ἐκείνῳ χαρίζεσθαι μᾶλλον, λέγων αὖ ὅσα ἔχει ἀγαθά· νῦν δὲ δή, ὦ Σώκρατες, τί ἀποπαύει;

ΣΩΚ. Οὐκ ᾔσθου, ὦ μακάριε, ὅτι ἤδη ἔπη * φθέγ- B γομαι, ἀλλ' οὐκέτι διθυράμβους, καὶ ταῦτα ψέγων; ἐὰν δ' ἐπαινεῖν τὸν ἕτερον ἄρξωμαι, τί με οἴει ποιήσειν; ἆρ' οἶσθ' ὅτι ὑπὸ τῶν Νυμφῶν, αἷς με σὺ προὔβαλες ἐκ προνοίας, σαφῶς ἐνθουσιάσω; λέγω οὖν ἑνὶ λόγῳ ὅτι, ὅσα τὸν ἕτερον λελοιδορήκαμεν, τῷ ἑτέρῳ τἀναντία τούτων ἀγαθὰ πρόσεστι. καὶ τί δεῖ μακροῦ λόγου; περὶ γὰρ ἀμφοῖν ἱκανῶς εἴρηται. καὶ οὕτω δὴ ὁ μῦθος, ὅ τι πάσχειν προσήκει αὐτῷ, τοῦτο πείσεται· καὶ ἐγὼ τὸν ποταμὸν * τοῦτον δια- 242 βὰς ἀπέρχομαι, πρὶν ὑπὸ σοῦ τι μεῖζον ἀναγκασθῆναι.

ΦΑΙ. Μήπω γε, ὦ Σώκρατες, πρὶν ἂν τὸ καῦμα παρέλθῃ· ἢ οὐχ ὁρᾷς, ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται σταθερά **); ἀλλὰ περιμείναντες καὶ ἅμα περὶ τῶν εἰρημένων διαλεχθέντες, τάχα ἐπειδὰν ἀποψύξῃ, ἴωμεν.

ΣΩΚ. Θεῖός γ' εἶ περὶ τοὺς λόγους, ὦ Φαῖδρε, καὶ ἀτεχνῶς θαυμάσιος· οἶμαι γὰρ ἐγὼ τῶν ἐπὶ τοῦ σοῦ

---

*) γρ. ἐμοῦ.

**) γρ. ἡ δὴ καλουμένη σταθερά.

quum ignoraverit omnino ab initio, numquam se oportuisse amanti et necessario dementi gratificari, sed potius ab amore vacuo mentisque compoti, sin minus, necesse esse se dedere persido, moroso, invido, insuavi, pernicioso quidem rei familiari, pernicioso etiam corporis habitudini, longe autem perniciosissimo animi eruditioni, qua nec hominibus nec diis revera praestabilius quicquam neque est neque umquam erit. Haec igitur oportet te, puer, reputare atque perspectum habere, amatoris amicitiam non cum benivolentia coniunctam esse, sed tamquam cibum expletionis causa

Ut lupus agnum ardet, puerum sic ardet amator.

Hoc est, Phaedre; non ultra audies me dicentem, sed iam finem tibi habeto oratio.

Phae. Attamen arbitrabar equidem ad dimidium eam pervenisse dicturamque esse eadem de amoris experte, huic videlicet gratificandum esse potius, exponentem itidem, quae haberet bona; nunc igitur, Socrate, quid definis?

So. Nonne animadvertisti, o beate, iam versus me heroicos fundere, non amplius dithyrambos, et quidem vituperantem? quodsi laudare alterum incepero, quid me putas facturum esse? nostine me a Nymphis, quibus tu me obiecisti consulto, manifesto concitatum iri? Dico igitur uno verbo, quaecumque alteri ut vitia obiecerimus, eorum contraria bona in alterum cadere. quid etiam longa opus est oratione? de utroque enim satis dictum est; et ita fabulae, quod accidere ei convenit, accidet, et ego fluvium hic transiens abiturus sum, priusquam a te gravius aliquid cogar.

Phae. Ne prius sane, Socrate, quam calor praeterierit; an non vides ferme iam meridiem esse summum? at manentes simulque de dictis colloquentes, quum primum aestus deferbuerit, eamus.

So. Divinus sane es in orationibus, Phaedre, et revera admirandus; arbitror enim earum, quae te vivo

βίου γεγονότων λόγων μηδένα * πλείους ἢ σὲ πεποιηκέναι γε- B
γενῆσθαι, ἤτοι αὐτὸν λέγοντα ἢ ἄλλους ἑνί γέ τῳ τρόπῳ προς-
αναγκάζοντα· Σιμμίαν Θηβαῖον ἐξαιρῶ λόγου· τῶν δὲ ἄλλων
πάμπολυ κρατεῖς. καὶ νῦν αὖ δοκεῖς αἴτιός μοι γεγενῆσθαι
λόγῳ τινὶ ῥηθῆναι.

ΦΑΙ. Οὐ πόλεμόν γε ἀγγέλλεις· ἀλλὰ πῶς δὴ καὶ τίνι
τούτῳ;

ΣΩΚ. Ἡνίκ' ἔμελλον, ὦ 'γαθέ, τὸν ποταμὸν διαβαί-
νειν, τὸ δαιμόνιόν τε καὶ τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι
ἐγένετο [ἀεὶ δέ με ἐπίσχει, ὃ ἂν μέλλω * πράττειν]· καί τινα C
φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι, ἥ με οὐκ ἐᾷ ἀπιέναι, πρὶν ἂν
ἀφοσιώσωμαι, ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον. εἰμὶ δὴ οὖν
μάντις μέν, οὐ πάνυ δὲ σπουδαῖος, ἀλλ', ὥςπερ οἱ τὰ γράμ-
ματα φαῦλοι, ὅσον ἐμαυτῷ μόνον ἱκανός· σαφῶς οὖν ἤδη
μανθάνω τὸ ἁμάρτημα. Ὡς δή τι, ὦ ἑταῖρε, μαντικόν γέ τι
καὶ ἡ ψυχή. ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λό-
γον, καί πως ἐδυςωπούμην κατ' Ἴβυκον, μή τι παρὰ θεοῖς
ἀμ*πλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω· νῦν δ' ᾔσθημαι D
τὸ ἁμάρτημα.

ΦΑΙ. Λέγεις δὲ δὴ τί;

ΣΩΚ. Δεινόν, ὦ Φαῖδρε, δεινὸν λόγον αὐτός τε ἐκό-
μισας ἐμέ τε ἠνάγκασας εἰπεῖν.

ΦΑΙ. Πῶς δή;

ΣΩΚ. Εὐήθη καὶ ὑπό τι ἀσεβῆ, οὗ τίς ἂν εἴη δει-
νότερος;

ΦΑΙ. Οὐδείς, εἴ γε σὺ ἀληθῆ λέγεις.

ΣΩΚ. Τί οὖν; τὸν Ἔρωτα οὐκ Ἀφροδίτης καὶ θεόν
τινα ἡγεῖ;

ΦΑΙ. Λέγεταί γε δή.

ΣΩΚ. Οὔ τι ὑπό γε Λυσίου, οὐδὲ ὑπὸ τοῦ σοῦ λόγου,
ὃς διὰ * τοῦ ἐμοῦ στόματος καταφαρμακευθέντος ὑπὸ σοῦ E
ἐλέχθη. εἰ δ' ἔστιν, ὥςπερ οὖν ἔστι, θεὸς ἤ τι θεῖον ὁ
Ἔρως, οὐδὲν ἂν κακὸν εἴη· τὼ δὲ λόγω τὼ νῦν δὴ περὶ αὐ-
τοῦ εἰπέτην ὡς τοιούτου ὄντος. ταύτῃ τε οὖν ἡμαρτανέτην
περὶ τὸν Ἔρωτα· ἔτι τε ἡ εὐήθεια αὐτοῖν πάνυ ἀστεία, τὸ

exſtiterunt, orationum neminem plures, quam te, ut exſiſterent, feciſſe, ſive ipſum dicentem ſive alios quacumque ratione cogentem; Simmiam Thebanum excipio, ceteros autem permulto ſuperas; et nunc iterum mihi videtur te auctore fieri, ut quae oratio dicatur.

Phae. Neutiquam bellum nuncias; ſed quomodo tandem et quam dicis orationem?

So. Quum vellem, o bone, fluvium transire, divinum illud et ſolitum ſignum mihi accidit [ſemper autem me prohibet, ſi quid facturus ſum], et vocem viſus ſum illinc audire, quae me non ſineret abire prius, quam me expiaviſſem, quippe qui peccaſſem in deos. iam vero vates ſum, non valde ille quidem peritus, ſed, quemadmodum litterarum mediocriter gnari, eatenus tantum, quoad mihi ipſi ſatis eſt. plane igitur cognoſco peccatum. Eſt nimirum, o amice, vaticinans quiddam etiam animus; ſcrupulus enim aliquis me iamdiu, quum orationem haberem, pupugit et neſcio quomodo veritus ſum ut Ibycus, ne in deos peccans honorem apud homines permutarem; nunc autem cognoſco peccatum.

Phae. Quodnam vero dicis?

So. Diram, Phaedre, diram orationem et ipſe attuliſti et me coëgiſti habere.

Phae. Qui tandem?

So. Fatuam et nonnihil impiam, qua quae dirior reperiatur?

Phae. Nulla vero, ſiquidem vera dicis.

So. Quid igitur? Amorem nonne Veneris filium et deum cenſes eſſe?

Phae. Dicitur id quidem.

So. Nequaquam autem a Lyſia nec a tua oratione, quae per os meum a te incantatum dicta eſt. ſi vero eſt, ſicut eſt, deus vel divinum quiddam Amor, nihil malum erit; orationes autem modo habitae ipſum dixerunt tale quid eſſe; in hoc igitur peccarunt in Amorem; praeterea fatuitas earum admodum lepida erat, quod

μηδὲν ὑγιὲς λέγοντε μηδὲ ἀληθὲς σεμνύνεσθαι, ὥς τι ὄντε,
εἰ ἄρα * ἀνθρωπίσκους τινὰς ἐξαπατήσαντε εὐδοκιμήσετον 243
ἐν αὐτοῖς. Ἐμοὶ μὲν οὖν, ὦ φίλε, καθήρασθαι ἀνάγκη.
ἔστι δὲ τοῖς ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος, ὃν Ὅμηρος μὲν οὐκ ᾔσθετο, Στησίχορος δέ· τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν, οὐκ ἠγνόησεν, ὥσπερ Ὅμηρος, ἀλλ', ἅτε μουσικὸς ὤν, ἔγνω τὴν αἰτίαν, καὶ ποιεῖ εὐθύς Οὐκ ἔστ' ἔτυμος ὁ λόγος οὗτος, οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλμοις, οὐδ'
ἵκεο * Πέργαμα Τροίας. ποιήσας δὴ πᾶσαν τὴν κα- B
λουμένην παλινῳδίαν, παραχρῆμα ἀνέβλεψεν. Ἐγὼ οὖν σοφώτερος ἐκείνων γενήσομαι κατ' αὐτό γε τοῦτο· πρὶν γάρ τι παθεῖν διὰ τὴν τοῦ Ἔρωτος κακηγορίαν, πειράσομαι αὐτῷ ἀποδοῦναι τὴν παλινῳδίαν γυμνῇ τῇ κεφαλῇ, καὶ οὐχ, ὥσπερ τότε, ὑπ' αἰσχύνης ἐγκεκαλυμμένος.

ΦΑΙ. Τουτωνί, ὦ Σώκρατες, οὐκ ἔστιν, ἅττ' ἂν μοι εἴποις *) ἥδιω.

ΣΩΚ. Καὶ γάρ, ὦ 'γαθὲ Φαῖδρε, ἐννοεῖς, ὡς ἀναι-
δῶς εἴρησθον * τὼ λόγω, οὗτός τε καὶ ὁ ἐκ τοῦ βιβλίου C
ῥηθείς· εἰ γὰρ ἀκούων τις τύχοι ἡμῶν γεννάδας καὶ πρᾶος τὸ ἦθος, ἑτέρου δὲ τοιούτου ἐρῶν ἢ καὶ πρότερόν ποτε ἐρασθείς, λεγόντων, ὡς διὰ σμικρὰ μεγάλας ἔχθρας οἱ ἐρασταὶ ἀναιροῦνται καὶ ἔχουσι πρὸς τὰ παιδικὰ φθονερῶς τε καὶ βλαβερῶς, πῶς οὐκ ἂν οἴει αὐτὸν ἡγεῖσθαι ἀκούειν ἐν ναύταις που τεθραμμένων καὶ οὐδένα ἐλεύθερον ἔρωτα
ἑωρακότων, πολλοῦ δ' ἂν δεῖν ἡμῖν ὁμολογεῖν, ἃ ψέ*γο- D
μεν τὸν Ἔρωτα;

ΦΑΙ. Ἴσως νὴ Δί', ὦ Σώκρατες.

ΣΩΚ. Τοῦτόν γε τοίνυν ἔγωγε αἰσχυνόμενος καὶ αὐτὸν τὸν Ἔρωτα δεδιὼς ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι· ξυμβουλεύω δὲ καὶ Λυσίᾳ ὅτι τάχιστα γράψαι, ὡς χρὴ ἐραστῇ μᾶλλον ἢ μὴ ἐρῶντι ἐκ τῶν ὁμοίων χαρίζεσθαι.

ΦΑΙ. Ἀλλ' εὖ ἴσθι ὅτι ἕξει τοῦθ' οὕτως· σοῦ γὰρ εἰπόντος τὸν τοῦ ἐραστοῦ ἔπαινον, πᾶσα ἀνάγκη, Λυ-

*) γρ. ἐμοὶ εἴπῃς.

videlicet nec ſani quid dicentes nec veri ſe tamen iactarunt, quaſi quid eſſent, ſi homunculos neſcio quos deciperent ab iisque aeſtimarentur. Iam ego, o amice, expiatione indigeo. eſt autem peccantibus in fabulis narrandis expiatio vetuſta, quam Homerus non cognovit, Steſichorus autem perſpectam habuit; oculis enim privatus propter maledicta in Helenam coniecta non ignoravit, ſicut Homerus, ſed, quippe muſicus, cognovit cauſam, et ſingit ſtatim: *Non eſt verus ſermo, nec conſcendiſti naves tranſtris inſtructas, nec veniſti Pergama Troiae;* factaque tota, quae dicitur, palinodia illico oculos recuperavit. Ego autem ſapientior utroque ero in hoc quidem uno: prius enim quam aliquid patiar propter maledicta in Amorem coniecta, conabor ipſi perſolvere palinodiam nudo capite, nec, ut tum, prae pudore operto.

Phae. His, Socrate, non ſunt quae mihi dicas gratiora.

So. Etenim, o bone Phaedre, intelligis, quam impudenter dictae ſint orationes et haec et illa e libro recitata; nam ſi quis forte nos audierit generoſus manſuetoque animo, eiusmodi quempiam amans vel ante aliquando amore amplexus, dicentes, ob res parvas magnas inimicitias amatores capere et amatis invidos eſſe atque pernicioſos, nonne eum cenſes exiſtimaturum, ſe homines audire inter nautas fere educatos nec ullum ingenuum amorem expertos, minimeque nobis conceſſurum eſſe haec, in quibus vituperamus Amorem?

Phae. Fortaſſe mehercule, Socrate.

So. Huius igitur quum me pudeat ipſumque Amorem verear, cupio dulci oratione quaſi ſalſam auditionem abluere; ſuadeo etiam Lyſiae, ut quam primum ſcribat, amatori potius quam amoris experti pariter gratificandum eſſe.

Phae. At probe ſcias hoc ita futurum eſſe; nam te orationem dicente in amatoris laudem, prorſus neceſſe

σίαν ὑπ' ἐμοῦ ἀναγκασθῆναι γράψαι αὖ περὶ * τοῦ αὐτοῦ E
λόγον.

ΣΩΚ. Τοῦτο μὲν πιστεύω, ἕωςπερ ἂν ᾖς ὃς εἶ.

ΦΑΙ. Λέγε τοίνυν θαῤῥῶν.

ΣΩΚ. Ποῦ δή μοι ὁ παῖς πρὸς ὃν ἔλεγον, ἵνα καὶ τοῦτο ἀκούσῃ καὶ μή, ἀνήκοος ὤν, φθάσῃ χαρισάμενος τῷ μὴ ἐρῶντι.

ΦΑΙ. Οὗτος παρά σοι μάλα πλησίον ἀεὶ πάρεστιν, ὅταν καὶ σὺ βούλῃ.

ΣΩΚ. Οὑτωσὶ τοίνυν, ὦ παῖ καλέ, ἐννόησον, ὡς ὁ
μὲν πρότερος ἦν * λόγος Φαίδρου τοῦ Πυθοκλέους, Μυῤῥι- 244
νουσίου ἀνδρός, ὃν δὲ μέλλω λέγειν, Στησιχόρου τοῦ Εὐφήμου, Ἱμεραίου. λεκτέος δὲ ὧδε ὅτι·

Οὐκ ἔστ' ἔτυμος ὁ λόγος, ὃς ἂν παρόντος ἐραστοῦ τῷ μὴ ἐρῶντι μᾶλλον φῇ δεῖν χαρίζεσθαι, διότι δὴ ὁ μὲν μαίνεται, ὁ δὲ σωφρονεῖ. εἰ μὲν γὰρ ἦν ἁπλοῦν τὸ μανίαν κακὸν εἶναι, καλῶς ἂν ἐλέγετο· νῦν δὲ τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ μανίας, θείᾳ μέντοι δόσει διδομένης. Ἥ τε γὰρ δὴ
ἐν Δελφοῖς προφῆτις * αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι μανεῖσαι μὲν B
πολλὰ δὴ καὶ καλὰ ἰδίᾳ τε καὶ δημοσίᾳ τὴν Ἑλλάδα εἰργάσαντο, σωφρονοῦσαι δὲ βραχέα ἢ οὐδέν. καὶ ἐὰν δὴ λέγωμεν Σιβύλλαν τε καὶ ἄλλους, ὅσοι μαντικῇ χρώμενοι ἐνθέῳ πολλὰ δὴ πολλοῖς προὔλεγον εἰς τὸ μέλλον ὀρθῶς *), μηκύνοιμεν ἂν δῆλα παντὶ λέγοντες. τόδε μὴν ἄξιον ἐπιμαρτύρασθαι, ὅτι καὶ τῶν παλαιῶν οἱ τὰ ὀνόματα τιθέμενοι οὐκ αἰσχρὸν ἡγοῦν-
το οὐδὲ ὄνειδος μανίαν· οὐ γὰρ ἂν * τῇ καλλίστῃ τέχνῃ, ᾗ C
τὸ μέλλον κρίνεται, αὐτὸ τοῦτο τοὔνομα ἐμπλέκοντες μανικὴν ἐκάλεσαν, ἀλλ' ὡς καλοῦ ὄντος, ὅταν θείᾳ μοίρᾳ γίγνηται, οὕτω νομίσαντες ἔθεντο. οἱ δὲ νῦν ἀπειροκάλως τὸ ταῦ ἐπεμβαλόντες μαντικὴν ἐκάλεσαν. ἐπεὶ καὶ τήν γε τῶν ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος διά τε ὀρνίθων ποιουμένην **) καὶ τῶν ἄλλων σημείων, ἅτ' ἐκ διανοίας πορίζομένων ἀν-

---

*) ἄλλ. προλέγοντες εἰς τὸ μέλλον ὤρθωσαν.

**) γρ. ποιουμένων.

est Lysiam a me cogi, ut ipse quoque scribat eadem de re orationem.

So. Hoc quidem credo, quamdiu is es qui es.

Phae. Dic igitur fidenter.

So. Ubi tandem mihi puer, ad quem orationem converteram, ut hoc quoque audiat, nec, his non auditis, festinantius gratificetur amoris experti?

Phae. Hic apud te admodum prope semper adest, quandocumque tu vis.

So. Ita igitur, o pulchre puer, existimes velim, priorem orationem fuisse Phaedri Pythoclis filii, Myrrhinusii viri, hanc vero quam dicturus sum Stesichori esse, Euphemi filii, Himeraei. dicenda est autem ita:

Non est verus sermo, qui, si amator adsit, amoris experti potius dicat gratificandum esse, propterea quod ille insaniat, hic autem mentis sit compos. nam si simpliciter insania esset mala, bene diceretur, nunc autem maxima nobis contingunt bona per insaniam, divino illam quidem munere tributam. Delphica videlicet vates et Dodonaeae sacerdotes insanientes quidem multa sane pulchra et privatim et publice Graeciae effecerunt, mentis vero compotes aut non multum aut nihil. atque si memoremus Sibyllam ceterosque, quicumque praesagitionem adhibentes divinam multa sane multis praedixerunt in posterum recte, longi erimus perspicua cuivis dicentes. hoc tamen dignum est quod proferatur testimonium, quod etiam e veteribus ii, qui nomina posuerunt, nec pro turpi nec probro habuerunt insaniam; neque enim pulcherrimae arti, qua futurum cernitur, hoc ipsum nomen implicassent insanitionem eam vocantes, immo vero pulchram existimantes, si divinitus accideret, hoc ipsi nomen imposuerunt, nostrae autem aetatis homines insipienter *in* et *n* mutantes praesagitionem eam appellaverunt. nam etiam mentis compotum investigationem futuri, quae per aves peragitur aliaque indicia, quia ratiocinatione comparatur humanae opi-

θρωπίνη οἰήσει νοῦ τε καὶ ἱστορίας *), οἰονοϊστικὴν ἐπωνόμασαν, ἣν * νῦν οἰωνιστικὴν τὸ ὦ σεμνύνοντες οἱ νέοι D
καλοῦσιν. ὅσῳ δὴ οὖν τελεώτερον καὶ ἐντιμότερον μαντικὴ οἰωνιστικῆς, τό τε ὄνομα τοῦ ὀνόματος ἔργον τε ἔργου, τόσῳ κάλλιον μαρτυροῦσιν οἱ παλαιοὶ μανίαν σωφροσύνης, τὴν ἐκ θεοῦ τῆς παρ' ἀνθρώπων γιγνομένης. ἀλλὰ μὴν νόσων γε καὶ πόνων τῶν μεγίστων, ἃ δὴ παλαιῶν ἐκ μηνιμάτων ποθέν, ἔν τισι τῶν γενῶν **) ἡ μανία ἐγγενομένη καὶ προφητεύσασα, οἷς ἔδει, ἀπαλλαγὴν εὕρετο, κα*ταφυ- E
γοῦσα πρὸς θεῶν εὐχάς τε καὶ λατρείας, ὅθεν δὴ καθαρμῶν τε καὶ τελετῶν τυχοῦσα ἐξάντη ἐποίησε τὸν αὐτὴν ἔχοντα πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον, λύσιν τῷ ὀρθῶς μανέντι τε καὶ κατασχομένῳ τῶν παρόντων κακῶν εὑρομένη. * Τρίτη δὲ ἀπὸ Μουσῶν κατοχή τε καὶ μανία, 245
λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυχήν, ἐγείρουσα καὶ ἐκβακχεύουσα κατά τε ᾠδὰς καὶ κατὰ τὴν ἄλλην ποίησιν, μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα τοὺς ἐπιγιγνομένους παιδεύει. ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς ***) θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη.

Τοσαῦτα μέν σοι καὶ ἔτι * πλείω ἔχω μανίας γιγνομέ- B
νης ἀπὸ θεῶν λέγειν καλὰ ἔργα. ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον· ἀλλὰ τόδε πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ὁ ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται. ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον, ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται· * ἡ δὲ δὴ ἀπόδειξις ἔσται δεινοῖς μὲν ἄπι- C
στος, σοφοῖς δὲ πιστή. δεῖ οὖν πρῶτον ψυχῆς φύσεως

*) γρ. νοήσει νοῦν τε καὶ ἱστορίαν.
**) ἴσ. μηνιμάτων του θεῶν γενομένων, ἔν τισι ἡ μανία κτλ.
***) ἴσ. ποιητικῆς.

nationi et ratio intelligentiam firmat augetque, augerationem nuncupaverunt, quam nunc augurationem, litteram u non sine affectatione quadam extollentes, recentiores vocitant. quanto igitur perfectior ac praestabilior praesagitio est auguratione, verbum verbo resque re, tanto pulchriorem testantur veteres insaniam esse sanitate mentis, divinitus exsistentem illam ab hominibus proficiscente. at vero morborum quidem laborumque maximorum, utpote veteres ob iras alicuius deorum immissorum, in quibusdam insania exsistens vaticinansque iis, quibus opus erat, liberationem invenit, confugiens ad deorum preces et servitia, unde expiationes ac lustrationes nacta salvum incolumemque praestitit eum, qui ipsam habebat, tum in praesens tum in posterum tempus, depulsionem recte insanienti menteque permoto instantium malorum inveniens. Tertia a Musis proficiscens mentis incitatio atque insania, corripiens tenerum et intactum animum, quem excitet et furore quodam inflammet ad carmina ceteraque poesis genera, innumera veterum opera exornando posteros erudit. quicumque vero sine insania ad poeticae fores venit persuasus, arte se satis bonum poetam esse evasurum, imperfectus ipse ac poesis ipsius, quippe sani, ab insanientium poesi obscuratur.

Tanta tibi et plura etiam habeo insaniae a diis proficiscentis dicere pulchra opera. quocirca hanc quidem ipsam ne reformidemus nec aliqua nos oratio perturbet terrendo nobis persuasura, prae commoto incitatoque sanum oportere amicum eligi, sed hoc si praeterea demonstravit, reportato victoriam, non ad utilitatem amorem amanti et amato a diis mitti. nobis autem demonstrandum est contrarium, ad felicitatem summam a diis huiusmodi insaniam dari; demonstratio vero erit argutis quidem haud probabilis, sapientibus tamen probabilis. oportet igitur primum animi naturam, tam divini

περὶ θείας τε καὶ ἀνθρωπίνης ἰδόντα πάθη τε καὶ ἔργα τἀληθὲς νοῆσαι. ἀρχὴ δὲ ἀποδείξεως ἥδε.

Πᾶσα ψυχὴ ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον, τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει καὶ ζωῆς. μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κινούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὅσα κινεῖται τοῦτο πηγὴ καὶ ἀρχὴ * κινήσεως. ἀρχὴ δὲ D ἀγένητον· ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γιγνόμενον γίγνεσθαι, αὐτὴν δὲ μηδ' ἐξ ἑνός· εἰ γὰρ ἔκ του ἀρχὴ γίγνοιτο, οὐκ ἂν ἐξ ἀρχῆς γίγνοιτο *). ἐπειδὴ δὲ ἀγένητόν ἐστι, καὶ ἀδιάφθορον αὐτὸ ἀνάγκη εἶναι· ἀρχῆς γὰρ δὴ ἀπολομένης, οὔτε αὐτή ποτε ἔκ του οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται, εἴπερ ἐξ ἀρχῆς δεῖ τὰ πάντα γίγνεσθαι. οὕτω δὴ κινήσεως μὲν ἀρχὴ τὸ αὐτὸ κινοῦν, τοῦτο δὲ οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν, ἢ πάντα τε οὐρανὸν πᾶ*σάν τε γένεσιν ξυμπεσοῦσαν στῆναι, καὶ E μήποτε αὖθις ἔχειν, ὅθεν κινηθέντα γενήσεται. ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτον αὐτόν τις λέγων οὐκ αἰσχυνεῖται· πᾶν γὰρ σῶμα, ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον, ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ αὑτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς. εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ αὑτὸ κινοῦν * ἢ 246 ψυχήν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη.

Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς ἱκανῶς, περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι, πάντῃ πάντως θείας εἶναι καὶ μακρᾶς διηγήσεως, ᾧ δὲ ἔοικεν, ἀνθρωπίνης τε καὶ ἐλάττονος. ταύτῃ οὖν λέγωμεν. Ἐοικέτω δὴ ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου. θεῶν μὲν οὖν ἵπποι τε καὶ ἡνίοχοι πάντες αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν, τὸ δὲ τῶν ἄλλων * μέμικται. καὶ πρῶ- B τον μὲν ἡμῶν ὁ ἄρχων ξυνωρίδος ἡνιοχεῖ, εἶτα τῶν ἵππων ὁ μὲν αὐτῷ καλός τε κἀγαθὸς καὶ ἐκ τοιούτων, ὁ

---

*) Ισ. οὐκ ἂν ἔτι ἀρχὴ εἴη.

quam humani, perſpectis iis, quae et patitur et agit, veram cognoſci. exordium vero demonſtrationis hoc eſt.

Omnis animus immortalis; nam quod ſemper movetur immortale eſt, quod autem aliud movet et ab alio movetur, finem habens motus finem habet etiam vivendi. ſolum igitur, quod ſe ipſum movet, quia ſe ipſum non deſerit, numquam deſinit moveri, quin etiam ceteris quae moventur hic fons, hoc principium eſt movendi. principii autem nulla eſt origo; e principio enim neceſſe eſt, quicquid gignitur, gigni, ipſum autem nulla ex re alia; nam ſi aliunde principium gigneretur, iam principium non eſſet. quandoquidem vero non eſt ortum, nec intereat neceſſe eſt; principio videlicet extincto, neque ipſum umquam aliunde neque aliud quid ex illo orietur, ſiquidem e principio oportet omnia oriri. itaque motus principium id eſt, quod ſe ipſum movet, hoc autem nec interire nec oriri poteſt; aliter neceſſe eſſet omne caelum omnemque generationem concidere atque conſiſtere, nec umquam rurſus habere, unde mota gignerentur. quum pateat igitur immortale id eſſe, quod ſe ipſum moveat, animi hanc ipſam eſſe naturam ac vim nemo dubitabit dicere; omne enim corpus, quod extrinſecus movetur, inanimum, quod autem intrinſecus per ſe ipſum, animatum eſt, quia natura ita comparatus eſt animus. ſi vero res ſic ſe habet, ut nihil aliud ſit id quod ſe ipſum moveat niſi animus, neceſſario efficitur, ut nec oriatur nec occidat animus.

Ac de ipſius quidem immortalitate ſatis, de ſpecie autem ita dicendum, qualis ſit, omnibus omnino modis divinae eſſe longaeque expoſitionis, cui vero ſimilis ſit, humanae ac brevioris. ita igitur dicamus. Similis eſto concretae vi pinnatarum bigarum et aurigae. iam deorum equi et aurigae omnes et ipſi boni ſunt et a bonis oriundi, ceterorum vero mixti. et primum quidem noſtri rector iumentum moderatur, deinde equorum unus ipſi pulcher, bonus et a talibus oriundus eſt, alter vero

δὲ ἐξ ἐναντίων τε καὶ ἐναντίος. χαλεπὴ δὴ καὶ δύςκολος
ἐξ ἀνάγκης ἡ περὶ ἡμᾶς ἡνιόχησις. Πῆ δὴ οὖν θνητόν
τε καὶ ἀθάνατον ζῶον ἐκλήθη, πειρατέον εἰπεῖν. ἡ ψυχὴ
πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, πάντα τε οὐρανὸν
περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις εἴδεσι γιγνομένη. τελέα μὲν
οὖν * οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ ἅπαντα C
τὸν κόσμον διοικεῖ, ἡ δὲ πτεροῤῥυήσασα φέρεται, ἕως ἂν
στερεοῦ τινὸς ἀντιλάβηται, οὗ κατοικισθεῖσα, σῶμα γήϊνον
λαβοῦσα, αὐτὸ αὐτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύνα-
μιν, ζῶον τὸ ξύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγέν, θνη-
τόν τ' ἔσχεν ἐπωνυμίαν· ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς λόγου
λελογισμένου, ἀλλὰ πλαττομένου, οὔτε ἰδόντες οὔτε ἱκανῶς
νοήσαντες θεόν, ἀθάνατόν τι ζῶον, * ἔχον μὲν ψυχήν, D
ἔχον δὲ σῶμα, τὸν ἀεὶ δὲ χρόνον ταῦτα ξυμπεφυκότα. ἀλ-
λὰ ταῦτα μὲν δή, ὅπη τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ
λεγέσθω· τὴν δ' αἰτίαν τῆς τῶν πτερῶν ἀποβολῆς, δι' ἣν
ψυχῆς ἀποῤῥεῖ, λάβωμεν· ἔστι δέ τις τοιάδε.

Πέφυκεν ἡ πτεροῦ δύναμις τὸ ἐμβριθὲς ἄγειν ἄνω
μετεωρίζουσα, ᾗ τὸ τῶν θεῶν γένος οἰκεῖ· κεκοινώνηκε δέ
πῃ μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου· τὸ δὲ θεῖον κα-
λόν, σοφόν, ἀγαθὸν καὶ * πᾶν ὅ τι τοιοῦτο· τούτοις δὴ E
τρέφεταί τε καὶ αὔξεται μάλιστα τὸ τῆς ψυχῆς πτέρωμα,
αἰσχρῷ δὲ καὶ κακῷ καὶ τοῖς ἐναντίοις φθίνει τε καὶ διόλ-
λυται.

Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς, πτηνὸν
ἅρμα ἐλαύνων, πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ
ἐπιμελούμενος· τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμό-
νων, κατὰ ἕνδεκα μέρη * κεκοσμημένη· μένει γὰρ Ἑστία ἐν 247
θεῶν οἴκῳ μόνη· τῶν δὲ ἄλλων ὅσοι ἐν τῷ τῶν δώδεκα ἀρι-
θμῷ τεταγμένοι θεοὶ ἄρχοντες, ἡγοῦνται κατὰ τάξιν ἣν ἕκασ-
τος ἐτάχθη. πολλαὶ μὲν οὖν καὶ μακαριαι θέαι τε καὶ διέξοδοι
ἐντὸς οὐρανοῦ, ἃς θεῶν γένος εὐδαιμόνων ἐπιστρέφεται,

a contrariis et contrarius. difficilis igitur et molesta necessario nostra est aurigatio. Quorsum vero spectet mortalis et immortalis animantis appellatio, conandum est explicare. animus omnis omne curat inanimatum omneque caelum circumit, alias in aliis formis exsistens. iam qui perfectus et pennatus est, sublime fertur et universum mundum administrat, qui vero pennas amisit, fertur, donec solidi aliquid prehendat, in quo si domicilium collocavit, corpore terreno assumpto, quod se ipsum videtur movere per illius vim, animans hoc totum appellatur, animus et corpus compacta, mortalisque accipit appellationem; immortale vero dicitur non ex ratione conclusa, sed conficta, quum neque viderimus neque satis cognoverimus deum, tamquam immortale quodpiam animans, habens animum habensque corpus, in sempiternum vero tempus haec concreta. attamen haec quidem, ut deo placet, ita se habeant et dicantur; causam vero pennarum amissionis, cur videlicet animo effluant, comprehendamus; est autem fere haec.

Pennae vis natura ita comparata est, ut grave ferat sursum in sublime attollens, ubi deorum genus habitat; particeps est enim fere maxime eorum, quae in corpore insunt, divini; divinum autem pulchrum, sapiens, bonum et quicquid est generis eiusdem; his igitur nutriuntur et crescunt maxime animi pennae, turpi autem, malo illorumque contrariis dilabuntur ac dispereunt.

Iam magnus dux in caelo Iuppiter, volucrem currum agens, primus incedit, ordinans omnia atque curans, hunc vero sequitur exercitus deorum et daemonum, in undecim partes dispositus; manet enim Vesta in deorum domo sola; reliqui vero, quotquot in duodecim illorum numero collocati sunt dii principes, ducunt eo quo quisque collocatus est ordine. multae autem et beatae sunt spectationes ac percursationes intra caelum, in quibus deorum genus sanctorum versatur, suum

πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ· ἕπεται δὲ ὁ ἀεὶ θέλων τε
καὶ δυνάμενος· φθόνος γὰρ ἔξω χοροῦ θείου ἵσταται. Ὅταν
δὲ δὴ πρὸς δαῖτά τε καὶ ἐπὶ θοίνην ἴωσιν, ἄκραν * ὑπὸ τὴν B
οὐράνιον ἁψῖδα *), πορεύονται πρὸς ἄναντες ἤδη· τὰ μὲν
θεῶν ὀχήματα ἰσοῤῥόπως εὐήνια ὄντα ῥᾳδίως πορεύεται, τὰ
δὲ ἄλλα μόγις· βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ
τὴν γῆν ῥέπων τε καὶ βαρύνων, ὅταν μὴ **) καλῶς ᾖ τε-
θραμμένος ὑπὸ τῶν ἡνιόχων. ἔνθα δὴ πόνος τε καὶ ἀγὼν
ἔσχατος ψυχῇ πρόκειται. αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι,
ἡνίκα ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω πορευθεῖσαι ἔστησαν ἐπὶ
τῷ * τοῦ οὐρανοῦ νώτῳ, στάσας δὲ αὐτὰς περιάγει ἡ περιφο- C
ρά, αἱ δὲ θεωροῦσι τὰ ἔξω τοῦ οὐρανοῦ.

Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇ-
δε ποιητής, οὔτε ποθ' ὑμνήσει κατ' ἀξίαν. ἔχει δὲ ὧδε· τολ-
μητέον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀλη-
θείας λέγοντα. Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ
ἀναφὴς οὐσία ὄντως οὖσα ψυχῆς κυβερνήτῃ μόνῳ θεατῇ νῷ
χρῆται, περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος τοῦτον ἔ*χει D
τὸν τόπον. ἅτ' οὖν θεοῦ διάνοια νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ
τρεφομένη, καὶ ἁπάσης ψυχῆς, ὅσῃ ἂν μέλλῃ τὸ προσῆκον δέ-
ξεσθαι, ἰδοῦσα διὰ χρόνου τὸ ὄν, ἀγαπᾷ τε καὶ θεωροῦσα τἀ-
ληθῆ τρέφεται καὶ εὐπαθεῖ, ἕως ἂν κύκλῳ ἡ περιφορὰ εἰς
ταὐτὸν περιενέγκῃ. ἐν δὲ τῇ περιόδῳ καθορᾷ μὲν αὐτὴν ***)
δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην,
οὐχ ᾗ γένεσις πρόσεστιν, οὐδ' ἥ ἐστί που ἑτέρα ἐν ἑτέρῳ οὖ-
σα, ὧν ἡμεῖς * νῦν ὄντων καλοῦμεν, ἀλλὰ τὴν ἐν τῷ, ὅ ἐστιν E
ὂν ὄντως, ἐπιστήμην οὖσαν· καὶ τἄλλα ὡσαύτως τὰ ὄντως
ὄντα θεασαμένη καὶ ἑστιαθεῖσα, δῦσα πάλιν εἰς τὸ εἴσω
τοῦ οὐρανοῦ, οἴκαδε ἦλθεν· ἐλθούσης δὲ αὐτῆς, ὁ ἡνίοχος
πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας παρέβαλεν ἀμβρο-
σίαν τε καὶ ἐπ' αὐτῇ νέκταρ ἐπότισε.

Καὶ οὗτος μὲν θεῶν βίος· αἱ δὲ ἄλλαι ψυχαί, * ἡ 248

---

*) γρ. ἐπὶ — ἁψῖδα.
**) γρ. ἢν μή.
***) ἴσ. αὖ τὴν ἢ αὖθις.

quisque peragens; ſequitur vero quicumque et vult et poteſt; invidia enim extra chorum divinum conſiſtit. Quando igitur ad epulas et convivium proficiſcuntur, ad ſupremum caeli fornicem verſus, ardua iam via aſcendunt; et deorum quidem currus, qui facile ita reguntur, ut aequalibus librentur ponderibus, nullo negotio feruntur, reliqui autem difficulter; deprimit enim equus pravitatis ſocius ad terram inclinans et degravans, ſi male educatus eſt ab aurigis. hic igitur labor et certamen extremum animo propoſita ſunt. immortales enim qui dicuntur, quum ad ſummum venerunt, foras profecti conſiſtunt in caeli dorſo, conſiſtentes vero ipſos circumfert circuitus; et hi quidem ſpectant quae extra caelum ſunt.

Supercaeleſtem autem locum neque quisquam celebravit, qui hic fuerunt, poetarum, neque umquam celebrabit pro dignitate. ita vero eſt: audendum enim verum dicere, praeſertim de veritate dicenti. Coloris videlicet, figurae et tactionis expers natura vere conſiſtens niſi ab animi gubernatrice, ratione, ſpectari nequit, prope quam verae ſcientiae genus ſuum habet locum. quum igitur dei mens ratione et ſcientia ſincera alatur omnisque animi, qui id quod convenit nacturus eſt, ſpectans longo intervallo id quod vere conſiſtit laetatur et intuens vera alitur iisque fruitur, donec circumcirca eam circuitus eodem reducat. in hac vero converſione conſpicit rurſus iuſtitiam, conſpicit temperantiam, conſpicit ſcientiam, non illam, cui generatio adiuncta, nec quae alia in aliis rebus eſt, quas nunc veras dicimus, ſed quae in hoc ineſt, quod vere eſt conſiſtens, ſcientia; et cetera itidem vere conſiſtentia poſtquam ſpectavit iisque paſta eſt, intrans rurſus interius caelum domum revertitur; et reverſa ipſa, auriga ad praeſepe equos ſiſtens proiicit ambroſiam et praeterea nectar dat potatum.

Et haec quidem deorum eſt vita; de ceteris vero

μὲν ἄριστα θεῷ ἑπομένη καὶ εἰκασμένη ὑπερῆρεν εἰς τὸν ἔξω τόπον τὴν τοῦ ἡνιόχου κεφαλήν, καὶ ξυμπεριηνέχθη τὴν περιφοράν, θορυβουμένη *) ὑπὸ τῶν ἵππων καὶ μόγις καθορῶσα τὰ ὄντα· ἡ δὲ τοτὲ μὲν ἦρε, τοτὲ δὲ καὶ ἔδυ, βιαζομένων δὲ τῶν ἵππων τὰ μὲν εἶδε, τὰ δ' οὔ. αἱ δὲ δὴ ἄλλαι γλιχόμεναι μὲν ἅπασαι τοῦ ἄνω ἕπονται, ἀδυνατοῦσαι δὲ ὑποβρύχιαι ξυμπεριφέρονται, πατοῦσαι ἀλλήλας καὶ ἐπιβάλλουσαι, * ἑτέρα πρὸ τῆς ἑτέρας πειρωμένη γενέ- B σθαι. θόρυβος οὖν καὶ ἅμιλλα καὶ ἱδρὼς ἔσχατος γίγνεται· οὗ δὴ κακίᾳ ἡνιόχων πολλαὶ μὲν χωλεύονται, πολλαὶ δὲ πολλὰ πτερὰ θραύονται, πᾶσαι δὲ πολὺν ἔχουσαι πόνον ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται, καὶ ἀπελθοῦσαι τροφῇ δοξαστῇ χρῶνται. Οὗ **) δὴ ἕνεχ' ἡ πολλὴ σπουδή, τὸ ἀληθείας ἰδεῖν πεδίον οὗ ἐστιν; Ἥ τε δὴ προσήκουσα ψυχῆς τῷ ἀρίστῳ νομὴ ἐκ τοῦ ἐκεῖ λειμῶνος τυγχάνει οὖσα, ἥ τε τοῦ * πτεροῦ φύσις, ᾧ ψυχὴ κουφίζεται, τούτῳ τρέ- C φεται· θεσμός τε Ἀδραστείας ὅδε· ἥτις ἂν ψυχή, θεῷ ξυνοπαδὸς γενομένη, κατίδῃ τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν ἀεὶ τοῦτο δύνηται ποιεῖν, ἀεὶ ἀβλαβῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι ξυντυχίᾳ χρησαμένη λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῇ, βαρυνθεῖσα δὲ πτερορρυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος, ταύτην μὴ * φυτεῦσαι εἰς μηδεμίαν D θήρειον φύσιν ἐν τῇ πρώτῃ γενέσει, ἀλλὰ τὴν μὲν πλεῖστα ἰδοῦσαν εἰς γονὴν ἀνδρὸς γενησομένου φιλοσόφου ἢ φιλοκάλου ἢ μουσικοῦ τινὸς καὶ ἐρωτικοῦ, τὴν δὲ δευτέραν εἰς βασιλέως ἐννόμου ἢ πολεμικοῦ καὶ ἀρχικοῦ, τρίτην εἰς πολιτικοῦ ἤ τινος οἰκονομικοῦ ἢ χρηματιστικοῦ, τετάρτην εἰς φιλοπόνου γυμναστικοῦ ἢ περὶ σώματος ἴασίν τινα ἐσομένου, πέμπτην μαντικὸν βίον ἤ τινα τελεστικὸν ἕξουσαν, ἕκτῃ * ποιητικὸς ἢ τῶν περὶ μίμησίν τις ἄλλος E

*) ἴσ. θορυβουμένη δέ.

**) ἴσ. Τοῦ.

animis, qui optime deum ſequutus atque imitatus eſt, extulit in exteriorem locum aurigae caput et una circumactus eſt circuitu, perturbatus tamen ab equis et vix conſpiciens vera; alii autem modo elati modo ſubmerſi fuerunt, et equis vim adhibentibus ea quae ſunt partim viderunt partim non. reliqui vehementer quidem omnes ſuperiora appetentes ſequuntur, aſſequi vero quia nequeunt, ſubmerſi una circumaguntur, calcantes inter ſe et urgentes, altero alterum conante praevertere. tumultus igitur et certatio et ſudor extremus exſiſtit; ubi vitio aurigarum multi depravantur, multisque multae pennae confringuntur, omnes vero, multum ſustinentes laboris, imperfecti ab eius, quod vere eſt, ſpectatione diſcedunt, et poſtquam diſceſſerunt, paſtu opinabili utuntur. Iam quorſum ſpectat magna illa contentio, veritatis campum, ubi ſit, ſpectandi? Conveniens ſcilicet optimae animi parti paſtus in illo eſt prato, et pennarum natura, quibus animus ſublime fertur, hoc alitur; lex praeterea Adraſteae haec eſt, ut, quicumque animus deum comitatus veri quid ſpectaverit, is usque ad alteram converſionem ſit incolumis, et ſi ſemper hoc poſſit efficere, ſemper ſit ſalvus; ſin autem non valens ſequi nihil ſpectaverit et calamitate aliqua ita afflictus, ut oblivionis impleatur atque pravitatis, deprimatur depreſſusque pennas amiſerit et in terram deciderit, tunc lex eſt, ut hic non in animantem aliquam naturam inſeratur in prima generatione, ſed, qui plurima ſpectaverit, in genituram viri, qui futurus ſit philoſophus vel pulchri amans vel muſicus fere et amatorius, qui ſecundus ſit, in regis genituram legitimi vel viri militaris et ad imperandum idonei, tertius in genituram viri vel ad civitatem adminiſtrandam vel ad rem familiarem tuendam apti quaeſtumve pecuniarium facturi, quartus in laborum amantis palaeſtritae vel corpus fere ſanaturi ſatum, quintus ut fatidicam vitam vel ad initia ſpectantem nanciſcatur; ſexto poetica vita vel alia quaepiam

ἁρμόσει, ἑβδόμῃ γεωργικὸς ἢ δημιουργικός, ὀγδόῃ σοφιστικὸς ἢ δημοκοπικός, ἐννάτῃ τυραννικός. ἐν δὲ τούτοις ἅπασιν ὃς μὲν ἂν δικαίως διαγάγῃ, ἀμείνονος μοίρας μεταλαμβάνει, ὃς δ' ἂν ἀδίκως, χείρονος.

Εἰς μὲν γὰρ τὸ αὐτό, ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη, οὐκ ἀφικνεῖται ἐτῶν μυρίων· οὐ γὰρ πτεροῦται πρὸ τοσούτου χρόνου, * πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως ἢ 249 παιδεραστήσαντος μετὰ φιλοσοφίας· αὗται δὲ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τριςχιλιοστῷ ἔτει ἀπέρχονται. αἱ δὲ ἄλλαι, ὅταν τὸν πρῶτον βίον τελευτήσωσι, κρίσεως ἔτυχον· κριθεῖσαι δὲ αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἐκτίνουσιν, αἱ δ' εἰς τοῦ οὐρανοῦ τινὰ τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ * ἐν B ἀνθρώπου εἴδει ἐβίωσαν βίου. τῷ δὲ χιλιοστῷ ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσίν τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται, ὃν ἂν ἐθέλῃ ἑκάστη· ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται καὶ ἐκ θηρίου, ὅς ποτε ἄνθρωπος ἦν, πάλιν εἰς ἄνθρωπον. οὐ γὰρ ἥ γε μήποτε ἰδοῦσα τὴν ἀλήθειαν εἰς τόδε ἥξει τὸ σχῆμα· δεῖ γὰρ ἄνθρωπον ξυνιέναι κατ' εἶδος λεγόμενον, ἐκ πολλῶν ἰὸν αἰσθήσεων εἰς ἓν λογισμῷ ξυναιρου*μένων *). τοῦτο δέ ἐστιν C ἀνάμνησις ἐκείνων, ἅ ποτ' εἶδεν ἡμῶν ἡ ψυχὴ ξυμπορευθεῖσα θεῷ καὶ ὑπεριδοῦσα, ἃ νῦν εἶναί φαμεν, καὶ ἀνακύψασα εἰς τὸ ὄντως ὄν. διὸ δὴ δικαίως μόνη πτεροῦται ἡ τοῦ φιλοσόφου διάνοια· πρὸς γὰρ ἐκείνοις ἀεί ἐστι μνήμῃ κατὰ δύναμιν, πρὸς οἷςπερ ὁ θεὸς ὢν θεῖός ἐστι. τοῖς δὲ δὴ τοιούτοις ἀνὴρ ὑπομνήμασιν ὀρθῶς χρώμενος, τελέους ἀεὶ τελετὰς τελούμενος, τέλεος ὄντως μόνος γίγνεται· ἐξιστάμενος δὲ * τῶν ἀνθρωπίνων σπουδα- D σμάτων καὶ πρὸς τῷ θείῳ γιγνόμενος, νουθετεῖται μὲν

---

*) γρ. ξυναιρούμενον.

in imitatione occupata congruet, feptimo agriculturae dedita vel operaria, octavo fophiftica vel auram popularem captans, nono tyrannica. in his vere omnibus qui iufte vixit, meliorem fortem nancifcitur, qui iniufte, deteriorem.

Etenim in eundem, unde animus quivis proficifcitur, locum non revertitur intra decem millia annorum; non enim pennis inftruitur ante hoc temporis fpatium, excepto eius animo, qui philofophatus eft fincere vel amatum dilexit cum philofophia; hi in tertio circuitu mille annorum, fi elegerunt ter deinceps hanc vitam, pennis inftructi ter millefimo anno discedunt. ceteri vero, poftquam primam vitam finierunt, in iudicium vocantur, iudicatique alii in loca fuppliciis deftinata fub terram migrantes poenam folvunt, alii in caeleftem aliquem locum a iudicio elati vivunt digne eique convenienter, quam in hominis forma degerunt, vitae. millefimo autem anno utrique pervenientes ad fortitionem atque electionem fecundae vitae eligunt, quam quisque cupit. tunc etiam in beftiae vitam humanus animus pervenit et e beftia, qui aliquando homo fuerat, rurfus in hominem migrat. neque enim, qui numquam fpectavit veritatem, in hanc veniet formam; oportet enim hominem comprehendere ea, quae comprehendit, fecundum generalem quae dicitur fpeciem, ex multis illam proficifcentem perceptionibus in unum ratione collectis; et haec eft recordatio illorum, quae aliquando fpectavit animus nofter una proficifcens cum deo, defpiciens quae nunc dicimus effe, fufpiciens vero id quod vere eft. quocirca iure fola pennis inftruitur philofophi mens; in illis enim femper, quam maxime fieri poteft, defixus eft memoriâ, in quibus deus infixus divinus eft. talibus vero recordationibus fi vir recte utitur, perfectis femper luftrationibus luftratus, vere perfectus folus exfiftit; discedens vero ab humanis ftudiis et in divino defixus increpatur a multitudine, quod mente fit per-

ὑπὸ τῶν πολλῶν ὡς παρακινῶν, ἐνθουσιάζων δὲ λέληθε τοὺς πολλούς.

Ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μανίας, ἵν' *), ὅταν τὸ τῇδέ τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος, ἀναπτερῶταί τε καὶ ἀναπτερούμενος προθυμῆται ἀναπτέσθαι, ἀδυνατῶν δὲ ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω δὲ ἀμελῶν, αἰτίαν ἔχει ὡς μανικῶς δια*κείμενος, ὡς ἄρα αὕτη πασῶν τῶν ἐνθουσιά- E
σεων ἀρίστη τε καὶ ἐξ ἀρίστων τῷ τε ἔχοντι καὶ τῷ κοινωνοῦντι αὐτῆς γίγνεται, καὶ ὅτι ταύτης μετέχων τῆς μανίας ὁ ἐρῶν τῶν καλῶν ἐραστὴς καλεῖται. καθάπερ γὰρ εἴρηται, πᾶσα μὲν ἀνθρώπου ψυχὴ φύσει τεθέαται τὰ ὄντα, ἢ οὐκ ἂν ἦλθεν εἰς τόδε τὸ ζῶον, * ἀναμιμνήσκεσθαι 250
δ' ἐκ τῶνδε ἐκεῖνα οὐ ῥάδιον ἁπάσῃ, οὔτε ὅσαι βραχέως εἶδον τότε τἀκεῖ, οὔθ' αἳ δεῦρο πεσοῦσαι ἐδυστύχησαν, ὥςτε ὑπό τινων ὁμιλιῶν ἐπὶ τὸ ἄδικον τραπόμεναι λήθην, ὧν τότε εἶδον ἱερῶν, ἔχειν. ὀλίγαι δὴ λείπονται, αἷς τὸ τῆς μνήμης ἱκανῶς πάρεστιν. αὗται δέ, ὁπόταν τι τῶν ἐκεῖ ὁμοίωμα ἴδωσιν, ἐκπλήττονται καὶ οὐκέθ' αὑτῶν γίγνονται, ὃ δ' ἔστι τὸ πάθος, ἀγνοοῦσι διὰ τὸ μὴ ἱκανῶς διαισθάνεσθαι. * δικαιοσύνης μὲν οὖν καὶ σωφροσύνης καὶ ὅσα B
ἄλλα τίμια ψυχαῖς, οὐκ ἔνεστι φέγγος οὐδὲν ἐν τοῖς τῇδε ὁμοιώμασιν, ἀλλὰ δι' ἀμυδρῶν ὀργάνων μόγις αὐτῶν καὶ ὀλίγοι ἐπὶ τὰς εἰκόνας ἰόντες θεῶνται τὸ τοῦ εἰκασθέντος γένος. κάλλος δὲ τότε ἦν ἰδεῖν λαμπρόν, ὅτε σὺν εὐδαίμονι χορῷ μακαρίαν ὄψιν τε καὶ θέαν ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου θεῶν, εἶδόν τε καὶ ἐτελοῦντο τελετῶν ἣν θέμις λέγειν μακαριω*τάτην, ἣν C
ὠργιάζομεν ὁλόκληροι μὲν αὐτοὶ ὄντες καὶ ἀπαθεῖς κακῶν, ὅσα ἡμᾶς ἐν ὑστέρῳ χρόνῳ ὑπέμενεν, ὁλόκληρα δὲ καὶ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ εὐδαίμονα φάσματα μυούμενοί

---

*) ἴσ. ᾖ.

motus, divino autem afflatu eum concitatum esse, fugit multitudinem.

Huc igitur spectat omnis haec oratio de quarta insania, ob quam, si quis, pulchritudine hic exstante conspecta, verae illius recordans pennis rursus instruitur hisque instructus evolare gestit, at quum id non possit, avis in modum sursum spectans, inferiora autem negligens, ut probrum ipsi obiicitur, quod insaniat — huc igitur spectat, ut probet, hunc esse omnium divinorum afflatuum optimum optimaeque originis et huic, qui eo teneatur, et ei, qui in illius partem veniat, et qui huius particeps insaniae amet pulchros, amatorem appellari. quemadmodum enim dictum est, quivis hominis animus per se spectavit quae vere sunt; aliter non venisset in hoc animans; recordari vero ex citerioribus illorum non quivis facile potest, neque illi, qui ad breve tempus tum spectarunt quae ibi sunt, neque hi, qui huc decidentes tam adversa usi fortuna sunt, ut a consuetudinibus quibusdam ad iniustum deducti in rerum, quas tum spectaverant, sacrarum oblivionem venirent. pauci ergo relinquuntur, qui memoriae satis habeant. hi vero, quando illorum simulacrum aliquod conspiciunt, percutiuntur nec amplius apud se sunt, quid autem hoc sit quod ipsis accidat, nesciunt, quoniam non satis perspiciunt. de iustitia quidem et temperantia et quaecumque alia cara sunt animis, nullus inest splendor in simulacris earum hic exstantibus, sed obscuris instrumentis vix et pauci, ad imagines accedentes, spectant eius quod imitatione expressum est genus. pulchritudo autem tum erat visu splendida, quum in beato choro felice visione atque spectatione, nos quidem Iovem comitantes, alii vero alios deos, frueremur ac consecraremur consecrationum quam fas est dici beatissima, cui operabamur integri ipsi et expertes omnium malorum, quae postero nos tempore manserunt, integris et simplicibus et constantibus et beatis visis initiati eaque

τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ, καθαροὶ ὄντες
καὶ ἀσήμαντοι τούτου, ὃ νῦν σῶμα περιφέροντες ὀνομάζο-
μεν, ὀστρέου τρόπον δεδεσμευμένοι.

Ταῦτα μὲν οὖν μνήμῃ κεχαρίσθω, δι' ἣν πόθῳ τῶν
τότε νῦν μακρότερα εἴρηται. περὶ δὲ κάλλους, ὥςπερ εἴ-
*πομεν, μετ' ἐκείνων τε ἔλαμπεν ἰὸν *), δεῦρό τε ἐλθόντες D
κατειλήφαμεν αὐτὸ διὰ τῆς ἐναργεστάτης αἰσθήσεως τῶν
ἡμετέρων στίλβον ἐναργέστατα. ὄψις γὰρ ἡμῖν ὀξυτάτη
τῶν διὰ τοῦ σώματος ἔρχεται αἰσθήσεων, ᾗ φρόνησις οὐχ
ὁρᾶται· δεινοὺς γὰρ ἂν παρεῖχεν ἔρωτας, εἴ τι τοιοῦτον
ἑαυτῆς ἐναργὲς εἴδωλον παρείχετο εἰς ὄψιν ἰόν, καὶ τἆλλα
ὅσα ἐραστά. νῦν δὲ κάλλος μόνον ταύτην ἔσχε μοῖραν **),
ὥςτ' ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον. Ὁ μὲν * οὖν E
μὴ νεοτελὴς ἢ διεφθαρμένος οὐκ ὀξέως ἐνθένδε ἐκεῖσε φέ-
ρεται πρὸς αὐτὸ τὸ κάλλος, θεώμενος αὐτοῦ τὴν τῇδε
ἐπωνυμίαν· ὥςτε οὐ σέβεται προςορῶν, ἀλλ' ἡδονῇ παρα-
δοὺς τετράποδος νόμῳ βαίνειν ἐπιχειρεῖ καὶ παιδοσπορεῖν,
καὶ ὕβρει προςομιλῶν * οὐ δέδοικεν οὐδ' αἰσχύνεται παρὰ 251
φύσιν ἡδονὴν διώκων. ὁ δὲ ἀρτιτελής, ὁ τῶν τότε πολυ-
θεάμων, ὅταν θεοειδὲς πρόςωπον ἴδῃ κάλλος εὖ μεμιμη-
μένον, ἤ τινα σώματος ἰδέαν, πρῶτον μὲν ἔφριξε, καί τι
τῶν τότε ὑπῆλθεν αὐτὸν δειμάτων, εἶτα προςορῶν ὡς θεὸν
σέβεται, καὶ εἰ μὴ δεδίει ***) τὴν τῆς σφόδρα μανίας δό-
ξαν, θύοι ἂν ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς. ἰδόντα
δὲ αὐτόν, οἷον ἐκ τῆς φρίκης, μεταβολή τε καὶ ἱδρὼς καὶ
*θερμότης ἀήθης λαμβάνει. δεξάμενος γὰρ τοῦ κάλλους B
τὴν ἀποῤῥοὴν διὰ τῶν ὀμμάτων, ἐθερμάνθη [ᾗ ἡ τοῦ
πτεροῦ φύσις ἄρδεται], θερμανθέντος δὲ ἐτάκη τὰ περὶ
τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρότητος ξυμμεμυκότα εἶργε
μὴ βλαστάνειν· ἐπιῤῥυείσης δὲ τῆς τροφῆς ᾤδησέ τε καὶ
ὥρμησε φύεσθαι ἀπὸ τῆς ῥίζης ὁ τοῦ πτεροῦ καυλὸς ὑπὸ
πᾶν τὸ τῆς ψυχῆς εἶδος· πᾶσα γὰρ ἦν τὸ πάλαι πτε-

---

*) ἴσ. ἰοῦσι.

**) ἴσ. τὴν μοῖραν.

***) ἴσ. δεδίοι.

ſpectantes in luce pura, puri ipſi nec ſignati hoc, quod nunc circumferentes corpus vocamus, oſtreae in modum alligati.

Atque haec quidem in recordationis gratiam dicta ſunto, ob quam deſiderio flagrantes illorum, quae tum ſpectavimus, nunc longiores fuimus. de pulchritudine vero, quemadmodum diximus, nobis et cum illis proficiſcentibus ſplendebat, et quum huc veniſſemus, percepimus ipſam clariſſimo ſenſuum noſtrorum fulgentem clariſſime. viſus enim nobis acerrimus contigit corporis ſenſuum, quo ſapientia non cernitur; admirabiles enim excitaret amores, ſi tam claram ſui imaginem exhiberet in conſpectum cadens, et quae reliqua ſunt amabilia; nunc pulchritudo ſola hanc nacta ſortem eſt, ut dilucidiſſima ſit atque amabiliſſima. Iam qui non recens initiatus vel corruptus eſt, is non acriter hinc illuc fertur ad ipſam pulchritudinem, ſpectans id quod ab ipſa nominatur; quocirca non veneratur adſpiciens, ſed voluptati ſe dedens quadrupedis ritu inſcendere conatur corpusque cum eo miſcere, et laſcivia adſuetus nec metu nec pudore prohibetur, quominus praeter naturam voluptatem ſectetur. recens vero initiatus, qui plura tum ſpectavit, ſi dei ſimilem vultum conſpicit pulchritudinem bene imitantem vel corporis aliquam ſpeciem, primum horrore perfunditur et priſtinorum aliquo afficitur timorum, deinde adſpiciens ut deum veneratur et, niſi timeret nimiae inſaniae famam, ſacrificarêt, tamquam ſtatuae ſacrae vel deo, amato; poſtquam vero ipſum adſpexit, ſicut ex horrore, converſio et ſudor et aeſtus inſolitus eum corripit. recipiens enim pulchritudinis effluvium per oculos incaleſcit [quo pennarum natura irrigatur], ipſo autem incaleſcente liqueſcunt circa pennarum germinationem ea, quae dudum propter duritiem clauſa prohibebant, ne illae pullularent; affluente vero alimento intumeſcit et nititur provenire e radice pennarum caulis intra univerſam animi ſpeciem; uni-

ρωτή. ζεῖ οὖν ἐν τούτῳ ὅλη καὶ ἀνακηκίει καί, * ὅπερ τὸ C
τῶν ὀδοντοφυούντων πάθος περὶ τοὺς ὀδόντας γίγνεται,
ὅταν ἄρτι φύωσι, κνῆσίς τε καὶ ἀγανάκτησις περὶ τὰ οὖλα,
ταὐτὸν δὴ πέπονθεν ἡ τοῦ πτεροφυεῖν ἀρχομένου ψυχή,
ζεῖ τε καὶ ἀγανακτεῖ καὶ γαργαλίζεται φύουσα τὰ πτερά.
ὅταν μὲν οὖν, βλέπουσα πρὸς τὸ τοῦ παιδὸς κάλλος, ἐκεῖ-
θεν *) δεχομένη τὸν ἵμερον ἄρδηταί τε καὶ θερμαίνηται,
λωφᾷ τε τῆς ὀδύ*νης καὶ γέγηθεν, ὅταν δὲ χωρὶς γένηται D
καὶ αὐχμήσῃ τὰ τῶν διεξόδων στόματα, ᾗ τὸ πτερὸν ὁρμᾷ,
ξυναυαινόμενα μύσαντα ἀποκλείει τὴν βλάστην τοῦ πτε-
ροῦ. ἡ δ' ἐντὸς μετὰ τοῦ ἱμέρου ἀποκεκλεισμένη, πηδῶσα
οἷον τὰ σφύζοντα, τῇ διεξόδῳ ἐγχρίει ἑκάστῃ τῇ καθ' αὑ-
τήν, ὥςτε πᾶσα κεντουμένη κύκλῳ ἡ ψυχὴ οἰστρᾷ καὶ
ὀδυνᾶται, μνήμην δ' αὖ ἔχουσα τοῦ καλοῦ γέγηθεν. ἐκ δ'
ἀμφοτέρων μεμιγμένων ἀδημονεῖ τε τῇ ἀτοπίᾳ τοῦ πα-
*θους καὶ ἀποροῦσα λυττᾷ καὶ ἐμμανὴς οὖσα οὔτε νυκτὸς E
δύναται καθεύδειν οὔτε μεθ' ἡμέραν, οὗ ἂν ᾖ, μένειν, θεῖ
δὲ ποθοῦσα, ὅπου ἂν οἴηται ὄψεσθαι τὸν ἔχοντα τὸ κάλ-
λος· ἰδοῦσα δὲ καὶ ἐποχετευσαμένη ἵμερον ἔλυσε μὲν τὰ
τότε ξυμπεφραγμένα, ἀναπνοὴν δὲ λαβοῦσα κέντρων τε
καὶ ὠδίνων ἔληξεν, ἡδονὴν δ' αὖ ταύτην γλυκυτάτην ἐν
τῷ παρόντι καρ*ποῦται. ὅθεν δὴ ἑκοῦσα εἶναι οὐκ ἀπολεί- 252
πεται, οὐδέ τινα τοῦ καλοῦ περὶ πλείονος ποιεῖται, ἀλλὰ
μητέρων τε καὶ ἀδελφῶν καὶ ἑταίρων πάντων λέλησται, καὶ
οὐσίας δι' ἀμέλειαν ἀπολλυμένης παρ' οὐδὲν τίθεται, νομί-
μων δὲ καὶ εὐσχημόνων, οἷς πρὸ τοῦ ἐκαλλωπίζετο, πάν-
των καταφρονήσασα δουλεύειν ἑτοίμη καὶ κοιμᾶσθαι, ὅπου
ἂν ἐᾷ τις ἐγγυτάτω τοῦ πόθου· πρὸς γὰρ τῷ σέβεσθαι
τὸν τὸ κάλλος ἔχοντα ἰατρὸν εὕρηκε μόνον τῶν μεγίστων
πόνων. Τοῦτο * δὲ τὸ πάθος, ὦ παῖ καλέ, πρὸς ὃν δή μοι B
ὁ λόγος, ἄνθρωποι μὲν Ἔρωτα ὀνομάζουσι, θεοὶ δὲ ὃ κα-
λοῦσιν ἀκούσας εἰκότως διὰ νεότητα γελάσει. λέγουσι δέ,

---

*) γρ. ἐκεῖθεν μέρη ἐπιόντα δήπου καὶ ῥέοντα, ἃ δὴ διὰ ταῦτα ἵμερος καλεῖται.

verſa enim erat olim pinnata. aeſtuat igitur in hoc ſtatu totus et ſalit et, quod dentientes patiuntur dentibus, quum modo eos gignunt, pruritum et dolorem intolerabilem in gingiva, idem patitur eius qui pennas gignere incipit animus: aeſtuat, dolore intolerabili et titillatione afficitur gignens pennas. quum igitur intuens in pueri pulchritudinem indeque recipiens amoris illecebram irrigatur et incaleſcit, reſpirat a dolore et gaudio completur; quum vero ſolus eſt et areſcunt exitus ora, ubi pennae erumpunt, exareſcendo ſeſe comprimentia occludunt germen pennarum; hoc vero intra cum amoris illecebra occluſum, ſaliens ſicut arteriae micantes, exitum pungit quemque ei adverſum; quo ſit, ut totus ſtimulatus circumcirca animus ſurat et dolore angatur, ſimul vero pulchrum memoria tenens gaudio compleatur. utrisque vero ita mixtis affligitur admirabili quadam affectione et conſilii inops in rabiem agitur et furore percitus neque noctu poteſt dormire, neque interdiu ubicumque eſt manere, ſed currit deſiderio flagrans, ubicumque ſe opinatur conſpecturum eſſe pulchritudine praeditum. atque eum adſpiciens amorisque illecebram in ſe irrigans ſolvit quae ante conſepta erant, reſpiransque ſtimulis ac doloribus liberatur atque voluptatem rurſus ſuaviſſimam illam in praesentia carpit. quamobrem ultro eum non deſerit, nec ullum pulchro pluris aeſtimat, ſed matrum et fratrum et amicorum omnium obliviſcitur et, ſi res familiaris incuriâ ſuâ perit, nihili id facit; uſu etiam recepta et decora, in quibus antea ſeſe iactaverat, omnia contemnens ſervire paratus eſt atque cubare, ubicumque ipſi permittitur proxime deſiderium ſuum; neque enim veneratur tantum amore praeditum, verum etiam medicum invenit ipſum unum graviſſimorum laborum. Hanc vero affectionem, o puer pulchre, ad quem ſcilicet oratio mea ſpectat, homines quidem Amorem appellant, ſed dii quomodo nuncupent ſi audieris, merito ac iure propter protervitatem

οἶμαι, τινὲς Ὁμηρίδαι ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτερον πάνυ ὑβριστικὸν καὶ οὐ σφόδρα τι ἔμμετρον· ὑμνοῦσι δὲ ὧδε,

Τὸν δ' ἤτοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν,
Ἀθάνατοι δὲ Πτέρωτα, διὰ πτερόφοι*τον ἀνάγκην. C

τούτοις δὴ ἔξεστι μὲν πείθεσθαι, ἔξεστι δὲ μή· ὅμως δὲ ἥ γε αἰτία καὶ τὸ πάθος τῶν ἐρώντων τοῦτο ἐκεῖνο τυγχάνει ὄν.

Τῶν μὲν οὖν Διὸς ὀπαδῶν ὁ ληφθεὶς ἐμβριθέστερον δύναται φέρειν τὸ τοῦ πτερωνύμου ἄχθος, ὅσοι δὲ Ἄρεώς τε θεραπευταὶ καὶ μετ' ἐκείνου περιεπόλουν, ὅταν ὑπ' Ἔρωτος ἁλῶσι καί τι οἰηθῶσιν ἀδικεῖσθαι ὑπὸ τοῦ ἐρωμένου, φονικοὶ καὶ ἕτοιμοι καθιερεύειν αὑτούς τε καὶ τὰ παι*δικά. D
καὶ οὕτω καθ' ἕκαστον θεόν, οὗ ἕκαστος ἦν χορευτής, ἐκεῖνον τιμῶν τε καὶ μιμούμενος εἰς τὸ δυνατὸν ζῇ, ἕως ἂν ᾖ ἀδιάφθορος καὶ τὴν τῇδε πρώτην γένεσιν βιοτεύῃ· καὶ τούτῳ τῷ τρόπῳ πρός τε τοὺς ἐρωμένους καὶ πρὸς τοὺς ἄλλους ὁμιλεῖ τε καὶ προσφέρεται. τόν τε οὖν ἔρωτα τῶν καλῶν πρὸς τρόπου ἐκλέγεται ἕκαστος, καὶ ὡς θεὸν αὐτὸν ἐκεινον ὄντα ἑαυτῷ, οἷον ἄγαλμα τεκταίνεταί τε καὶ κατακοσμεῖ, ὡς τιμήσων τε καὶ ὀργιάσων. Οἱ * μὲν δὴ Διὸς Δῖιόν τινα E
ζητοῦσι *) τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἐρώμενον. σκοποῦσιν οὖν, εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν, καὶ ὅταν αὐτὸν εὑρόντες ἐρασθῶσι, πᾶν ποιοῦσιν ὅπως τοιοῦτος ἔσται. ἐὰν οὖν μὴ πρότερον ἐμβεβῶσι τῷ ἐπιτηδεύματι, τότε ἐπιχειρήσαντες μανθάνουσί τε, ὅθεν ἄν τι δύνωνται, καὶ αὐτοὶ μετέρχονται· ἰχνεύοντες δὲ παρ' ἑαυτῶν ἀνευρίσκειν τὴν τοῦ σφετέρου θεοῦ φύσιν, εὐ*ποροῦσι διὰ τὸ ξυντόνως 253
ἠναγκάσθαι πρὸς τὸν θεὸν βλέπειν, καὶ ἐφαπτόμενοι αὐτοῦ τῇ μνήμῃ, ἐνθουσιῶντες, ἐξ ἐκείνου λαμβάνουσι τὰ ἔθη καὶ τὰ ἐπιτηδεύματα, καθ' ὅσον δυνατὸν θεοῦ ἀνθρώπῳ μετασχεῖν· καὶ τούτων δὴ τὸν ἐρώμενον αἰτιώμενοι ἔτι τε μᾶλλον ἀγαπῶσι, κἂν ἐκ Διὸς ἀρύτωσιν, ὥςπερ αἱ Βάκχαι, ἐπὶ τὴν τοῦ ἐρωμένου ψυχὴν ἐπαντλοῦντες ποιοῦ-

---

*) ἴσ. ζητοῦσιν εἶναι.

ridebis. proferunt enim, opinor, Homeridae quidam ex arcanis carminibus duo verſus in Amorem, quorum alter prorſus laſcivus nec ſatis modeſtus eſt. canunt vero ita:

Hunc dicunt volucrem mortales nomine Amorem,
At di propter avis, quam fert, pruriginem Avorem.

his igitur licet vel fidem tribuere vel nullam habere; cauſa certe et affectio amantium haec ſane eſt.

Iam e Iovis comitibus qui corripitur conſtantius poteſt ferre dei ab avibus nominati moleſtiam: quicumque vero Martis miniſtri ſunt et cum ipſo circumiverunt, quando ab Amore capiuntur et iniuriam aliquam ſe accipere opinantur ab amato, ſanguinolenti atque parati ſunt ſe ipſos et amatum mactare. et ita ſecundum deum, cuius quisque chorum ſequutus eſt, ipſum colens et imitans, quantum poteſt, vivit, quamdiu incorruptus eſt et in prima hic generatione verſatur; atque hac ratione tum amatis tum ceteris utitur eosque tractat. amorem igitur ſuum pro ſuo quisque ingenio e pulchris eligit, eumque, quaſi ipſe ille deus ipſi ſit, velut imaginem divinam et fabricatur et exornat, quo veneretur ipſum ſacrisque proſequatur honoribus. Iam vero Iovis comites, ut Iovialem quendam reperiant, qui ab ipſis ametur, operam dant. conſiderant igitur, num philoſophus et naturâ principalis ſit, et quum ipſum repertum amare inceperunt, omni ſtudio id agunt ut talis exſiſtat. et ſi nondum ante ſusceperant hoc ſtudium, tunc id aggredientes et diſcunt, undecumque poſſunt, et ipſi quaerunt; dum vero inveſtigant et per ſe ipſi reperire dei ſui naturam nituntur, hoc ipſis ſuccedit, propterea quod acriter coguntur in deum intueri, et dum aſſequuntur ipſum memoriâ, afflatu concitati divino ab eo accipiunt mores ac ſtudia, quantum dei homo particeps fieri poteſt, eiusque rei cauſam amato attribuentes etiam magis eum complectuntur, et ſi ex Jove hauriunt, ſicut Bacchae, in amati animum id infundentes efficiunt,

σιν, ὡς δυνατόν, ὁμοιότατον τῷ σφετέρῳ θεῷ. ὅσοι δ' αὖ μεθ' * Ἥρας εἵποντο, βασιλικὸν ζητοῦσι, καὶ εὑρόντες περὶ B
τοῦτον πάντα δρῶσι τὰ αὐτά. οἱ δὲ Ἀπόλλωνός τε καὶ ἑκάστου τῶν θεῶν οὕτω κατὰ τὸν θεὸν ἰόντες ζητοῦσι τὸν σφέτερον παῖδα πεφυκέναι, καὶ ὅταν κτήσωνται, μιμούμενοι αὐτοί τε καὶ τὰ παιδικὰ πείθοντες καὶ ῥυθμίζοντες εἰς τὸ ἐκείνου ἐπιτήδευμα καὶ ἰδέαν ἄγουσιν, ὅση ἑκάστῳ δύναμις, οὐ φθόνῳ οὐδ' ἀνελευθέρῳ δυσμενείᾳ χρώμενοι πρὸς τὰ παιδικά, ἀλλ' εἰς ὁμοιότητα αὐτοῖς καὶ τῷ * θεῷ, ὃν C
ἂν τιμῶσι, πᾶσαν πάντως ὅτι μάλιστα πειρώμενοι ἄγειν, οὕτω ποιοῦσι. Προθυμία μὲν οὖν τῶν ὡς ἀληθῶς ἐρώντων καὶ τελετή, ἐάν γε διαπράξωνται ὃ προθυμοῦνται, ἣν λέγω, οὕτω καλή τε καὶ εὐδαιμονικὴ ὑπὸ τοῦ δι' ἔρωτα μανέντος φίλου τῷ φιληθέντι γίγνεται, ἐὰν αἱρεθῇ· ἁλίσκεται δὲ δὴ ὁ αἱρεθεὶς τοιῷδε τρόπῳ.

Καθάπερ ἐν ἀρχῇ τοῦδε τοῦ μύθου τριχῇ διείλομεν ψυχὴν ἑκάστην, ἱππομόρφω μὲν δύο τινὲ εἴδη, * ἡνιοχικὸν D
δὲ εἶδος τρίτον, καὶ νῦν ἔτι ἡμῖν ταῦτα μενέτω. τῶν δὲ δὴ ἵππων ὁ μέν, φαμέν, ἀγαθός, ὁ δ' οὔ· ἀρετὴ δὲ τίς τοῦ ἀγαθοῦ ἢ κακοῦ κακία, οὐ διείπομεν, νῦν δὲ λεκτέον. ὁ μὲν τοίνυν αὐτοῖν ἐν τῇ καλλίονι στάσει ὢν τό τε εἶδος ὀρθὸς καὶ διηρθρωμένος, ὑψαύχην, ἐπίγρυπος, λευκὸς ἰδεῖν, μελανόμματος, τιμῆς ἐραστὴς μετὰ σωφροσύνης τε καὶ αἰδοῦς, καὶ ἀληθινῆς δόξης ἑταῖρος, ἄπληκτος κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχεῖται, ὁ δ' αὖ * σκολιός, πολύς *), E
εἰκῇ ξυμπεφορημένος, κρατεραύχην, βραχυτράχηλος, σιμοπρόσωπος, μελάγχρως, γλαυκόμματος **), ὕφαιμος, ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος, περὶ ὦτα λάσιος, κωφός, μάστιγι μετὰ κέντρων μόγις ὑπείκων. Ὅταν δ' οὖν ὁ ἡνίοχος, ἰδὼν τὸ ἐρωτικὸν ὄμμα πᾶσαν αἰσθήσει διαθερμήνας τὴν ψυχήν, γαργαλισμοῦ τε καὶ πόθου κέντρων ὑποπλησθῇ, * ὁ μὲν εὐπειθὴς τῷ ἡνιόχῳ τῶν ἵππων, ἀεί 254

---

*) ἴσ. πολὺς καὶ εἰκῇ ξυμπεφορημένος.
**) ἴσ. γλαυκόμματος καὶ ὕφαιμος.

ut quam potest simillimus ille dei quem colunt exsistat. quotquot vero Iunonem sequuti sunt, ii regium quaerunt, et quum eum repererunt, ipsi omnia faciunt similiter. Apollinis autem et ceterorum deorum comites, quem quisque sequutus est, eum spectantes operam dant, ut puerum ita comparatum inveniant, et quum nacti sunt talem, imitantes ipsi et amato persuadentes eiusque animum temperantes ad dei illius studium ac speciem ducunt, quam maxime quisque potest, non invidiam nec illiberalem malivolentiam exercentes in delicias suas, sed ut ad similitudinem cum se ipsis et cum deo, quem colunt, perfectam eum perducant, quanto maximo possunt conatu laborant. Tali igitur, quale dico, studio vere amantes tenentur, et consecratio, quando quod cupiunt assequuntur, tam pulchra et beata per eum, qui amore concitatus diligit, dilecto obtingit, si electus est; capitur vero electus hoc modo.

Quemadmodum in exordio huius narrationis trifariam divisimus animum, in duas quasdam equi formam habentes species, et in tertiam aurigantem, ita nunc quoque nobis maneto. equorum alterum dicimus bonum esse, alterum malum; virtus autem quae sit boni et mali quae pravitas, non explanavimus, nunc vero dicendum. alter igitur eorum, qui in pulchriori est statu, forma erecta et articulatim composita, cervice elata, naso adunco, colore albo, oculis nigris, honoris cultor aeque ac temperantiae et pudoris verique iudicii amicus, nullis egens stimulis hortatione tantum et voce regitur; alter vero est incurvus, condensus, temere congestus, cervice durata, collo brevi, naso simo, colore nigro, oculis caesiis sanguineque suffusis, lasciviae et insolentiae amicus, circa aures hirsutus, surdus, flagello ac stimulis vix cedens. Quando igitur auriga, amatum conspiciens vultum, cuius species totum incendit ipsius animum, titillatione stimulisque desiderii impletur, equus ille aurigae facile obediens, ut semper

τε καὶ τότε αἰδοῖ βιαζόμενος ἑαυτὸν κατέχει μὴ ἐπιπηδᾶν τῷ ἐρωμένῳ, ὁ δὲ οὔτε κέντρων ἡνιοχικῶν οὔτε μάστιγος ἔτι ἐντρέπεται, σκιρτῶν δὲ βίᾳ φέρεται καὶ πάντα πράγματα παρέχων τῷ σύζυγί τε καὶ ἡνιόχῳ ἀναγκάζει ἰέναι τε πρὸς τὰ παιδικὰ καὶ μνεῖαν ποιεῖσθαι τῆς τῶν ἀφροδισίων χάριτος. τὼ δὲ κατ' ἀρχὰς μὲν ἀντιτείνετον ἀγανακτοῦντε, ὡς δεινὰ καὶ παράνομα ἀναγ*καζομένω, τελευτῶντε δέ, B
ὅταν μηδὲν ᾖ πέρας κακοῦ, πορεύεσθον ἀγομένω, εἴξαντε καὶ ὁμολογήσαντε ποιήσειν τὸ κελευόμενον· καὶ πρὸς αὐτῷ τ' ἐγένοντο καὶ εἶδον τὴν ὄψιν τὴν τῶν παιδικῶν ἀστράπτουσαν, ἰδόντος δὲ τοῦ ἡνιόχου ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη, καὶ πάλιν εἶδεν αὐτὴν μετὰ σωφροσύνης ἐν ἁγνῷ βάθρῳ βεβῶσαν· ἰδοῦσα δὲ ἔδεισέ τε καὶ σεφθεῖσα ἀνέπεσεν ὑπτία, καὶ ἅμα ἠναγκάσθη εἰς τοὐπίσω ἀνελ*κύσαι τὰς ἡνίας οὕτω σφόδρα, ὥςτε ἐπὶ C
τὰ ἰσχία ἄμφω καθίσαι τὼ ἵππω, τὸν μὲν ἑκόντα διὰ τὸ μὴ ἀντιτείνειν, τὸν δὲ ὑβριστὴν μάλα ἄκοντα. ἀπελθόντε δὲ ἀπωτέρω, ὁ μὲν ὑπ' αἰσχύνης τε καὶ θάμβους ἱδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυχήν, ὁ δέ, λήξας τῆς ὀδύνης ἣν ὑπὸ τοῦ χαλινοῦ τε ἔσχε καὶ τοῦ πτώματος, μόγις ἐξαναπνεύσας ἐλοιδόρησεν ὀργῇ πολλὰ κακίζων τόν τε ἡνίοχον καὶ τὸν ὁμόζυγα, ὡς δειλίᾳ τε καὶ ἀνανδρίᾳ λιπόντε * τὴν τάξιν καὶ ὁμολογίαν· καὶ πάλιν οὐκ ἐθέ- D
λοντας προσιέναι ἀναγκάζων μόγις ξυνεχώρησε, δεομένων ἐσαῦθις ὑπερβαλέσθαι. ἐλθόντος δὲ τοῦ ξυντεθέντος χρόνου, [οὗ] ἀμνημονεῖν προςποιουμένω ἀναμιμνήσκων, βιαζόμενος, χρεμετίζων, ἕλκων ἠνάγκασεν αὖ προσελθεῖν τοῖς παιδικοῖς ἐπὶ τοὺς αὐτοὺς λόγους, καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἐγκύψας καὶ ἐκτείνας τὴν κέρκον, ἐνδακὼν τὸν χαλινόν, μετ' ἀναιδείας ἕλκει. ὁ δ' ἡνίοχος ἔτι μᾶλλον * ταὐτὸν πάθος παθών, ὥςπερ ἀπὸ ὕσπληγγος ἀνα- E
πεσών, ἔτι μᾶλλον τοῦ ὑβριστοῦ ἵππου ἐκ τῶν ὀδόντων βίᾳ ὀπίσω σπάσας τὸν χαλινόν, τήν τε κακήγορον γλῶτταν καὶ τὰς γνάθους καθῄμαξε, καὶ τὰ σκέλη τε καὶ τὰ ἰσχία πρὸς τὴν γῆν ἐρείσας ὀδύναις ἔδωκεν· ὅταν δὲ ταὐτὸν πολλάκις πάσχων ὁ πονηρὸς τῆς ὕβρεως λήξῃ,

alias, ſic tunc a pudore coactus ſibi temperat, quominus inſiliat in amatum, ille contra neque ſtimulos aurigae neque flagellum amplius curat, ſed exſultans violenter fertur, et nihil non negotii faceſſens iugi ſocio et aurigae cogit eos accedere ad amatum eumque admonere, ut amoris officia praeſtet. illi initio quidem reluctantur indignantes, quod ad dira et iniuſta cogantur, tandem vero, ſi nullus eſt finis malorum, proficiſcuntur ab eo ducti, cedentes ac promittentes ſe facturos eſſe quod ille iuſſerit. iam apud ipſum ſunt, iam conſpiciunt vultum amati ſplendentem, et ſpectantis aurigae memoria ad pulchritudinis naturam attollitur, rurſusque videt ipſam cum temperantia in caſto fundamento conſtitutam; videns autem horret et venerabundus procumbit reſupinus, ſimulque coactus eſt retro trahere habenas tam vehementer, ut in coxis utrumque faciat equum conſidere, alterum ſponte, quia non reluctatur, laſcivum vero admodum invitum. longius autem ſi recumbunt, ille quidem prae pudore ac ſtupore totum irrigat animum ſudore, hic vero liberatus dolore, quem a freno acceperat atque caſu, vix reſpirans increpat, iracundia inflammatus, multa convicia faciens aurigae et iugi ſocio, quod ignavia et mollitia deſeruerint ordinem ac promiſſionem, iterumque eos invitos ad amatum accedere cogens vix concedit iis petentibus, ut aliud in tempus differatur. tempus vero conſtitutum quum advenit, illos oblivionem ſimulantes admonens, vim adhibens, hinniens, trahens cogit rurſus accedere ad puerum eorundem ſermonum cauſa, et quando appropinquant, ſe inclinans caudamque extendens, dum frenum mordet, impudenter eos trahit. auriga tunc, etiam magis ita ut ante affectus, tamquam a carceribus recidens, etiam vehementius laſcivi equi e dentibus per vim retrahens frenum maledicam linguam et maxillas cruentat, et crura coxaſque terrae illidens doloribus eum cruciat; quum idem ſaepius paſſus pravus laſciviam de-

ταπεινωθεὶς ἕπεται ἤδη τῇ τοῦ ἡνιόχου προνοίᾳ, καὶ ὅταν ἴδῃ τὸν καλόν, φόβῳ διόλλυται· ὥςτε ξυμβαίνει τότ᾽ ἤδη τὴν τοῦ ἐραστοῦ ψυχὴν τοῖς παιδικοῖς αἰδουμένην τε καὶ δεδοικυῖαν ἕπεσθαι.

*Ἄτε οὖν πᾶσαν θεραπείαν ὡς ἰσόθεος θεραπευό- 255
μενος οὐχ ὑπὸ σχηματιζομένου τοῦ ἐρῶντος, ἀλλὰ ἀλη-
θῶς τοῦτο πεπονθότος, καὶ αὐτὸς ὢν φύσει φίλος, εἰς
ταὐτὸν ἄγει τὴν φιλίαν τῷ θεραπεύοντι· ἐὰν ἄρα καὶ ἐν
τῷ πρόσθεν ὑπὸ ξυμφοιτητῶν ἤ τινων ἄλλων διαβεβλη-
μένος ᾖ λεγόντων ὡς αἰσχρὸν ἐρῶντι πλησιάζειν, καὶ διὰ
τοῦτο ἀπωθῇ τὸν ἐρῶντα, προϊόντος δὲ ἤδη τοῦ χρόνου
ἥ τε ἡλικία καὶ τὸ χρεὼν ἤγαγεν εἰς τὸ προςέσθαι αὐ-
*τὸν εἰς ὁμιλίαν· οὐ γὰρ δή ποτε εἵμαρται κακὸν κακῷ B
φίλον οὐδ᾽ ἀγαθὸν μὴ φίλον ἀγαθῷ εἶναι. προςεμένου δὲ
καὶ λόγον τε καὶ ὁμιλίαν δεξαμένου, ἐγγύθεν ἡ εὔνοια γι-
γνομένη τοῦ ἐρῶντος ἐκπλήττει τὸν ἐρώμενον διαισθανό-
μενον, ὅτι οὐδ᾽ οἱ ξύμπαντες ἄλλοι φίλοι τε καὶ οἰκεῖοι
μοῖραν φιλίας οὐδεμίαν παρέχονται πρὸς τὸν ἔνθεον φί-
λον. ὅταν δὲ χρονίζῃ τοῦτο δρῶν καὶ πλησιάζῃ μετὰ τοῦ
ἅπτεσθαι ἔν τε γυμνασίοις καὶ ἐν ταῖς ἄλ*λαις ὁμιλίαις, C
τότ᾽ ἤδη ἡ τοῦ ῥεύματος ἐκείνου πηγή, ὃν ἵμερον Ζεὺς
Γανυμήδους ἐρῶν ὠνόμασε, πολλὴ φερομένη πρὸς τὸν
ἐραστήν, ἡ μὲν εἰς αὐτὸν ἔδυ, ἡ δ᾽ ἀπομεστουμένου ἔξω
ἀποῤῥεῖ, καὶ οἷον πνεῦμα ἤ τις ἠχὼ ἀπὸ λείων τε καὶ
στερεῶν ἁλλομένη πάλιν ὅθεν ὡρμήθη φέρεται, οὕτω τὸ
τοῦ κάλλους ῥεῦμα, πάλιν εἰς τὸν καλὸν διὰ τῶν ὀμμάτων
ἰόν, ᾗ πέφυκεν ἐπὶ τὴν ψυχὴν ἰέναι, ἀφικόμενον καὶ ἀνα-
πτερῶσαν τὰς διόδους τῶν πτερῶν * ἄρδει τε καὶ ὥρμη- D
σε πτεροφυεῖν τε καὶ τὴν τοῦ ἐρωμένου αὖ ψυχὴν ἔρω-
τος ἐνέπλησεν. ἐρᾷ μὲν οὖν, ὅτου δέ, ἀπορεῖ, καὶ οὔθ᾽
ὅ τι πέπονθεν οἶδεν οὐδ᾽ ἔχει φράσαι, ἀλλ᾽, οἷον ἀπ᾽
ἄλλου ὀφθαλμίας ἀπολελαυκώς, πρόφασιν εἰπεῖν οὐκ ἔχει,
ὥςπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέλη-
θε· καὶ ὅταν μὲν ἐκεῖνος παρῇ, λήγει κατὰ ταὐτὰ ἐκεί-
νῳ τῆς ὀδύνης, ὅταν δὲ ἀπῇ, κατὰ ταὐτὰ αὖ ποθεῖ καὶ

posuit, submissus iam sequitur aurigae prudentiam, et quum videt pulchrum, metu perit. ita fit, ut tum denique amatoris animus amatum verecundus ac timidus sequatur.

Quum igitur omni cultu ut dei similis colatur ab amatore amorem non simulante, sed vere ita affecto, ipseque natura sit ad amicitiam propensus, copulat suum favorem cum eius qui ipsum colit amore, atque etiamsi antea a condiscipulis vel aliis quibusdam deceptus fuerit dicentibus turpe esse amanti appropinquare, iccircoque repulerit amantem, interposito tamen aliquo temporis spatio et pubertas et necessitas eo perducunt ut admittat ipsum ad consuetudinem; neque enim hoc fatum est, ut malus malo amicus sit, nec ut bonus non sit amicus bono. iam quum eum admisit et sermonem consuetudinemque accepit, benivolentia obviam veniens amatoris percutit amati animum perspicientis, reliquos et amicos et familiares ad unum omnes nihil amicitiae praestare ad amicum mente permotum. quodsi perseverat id facere et appropinquat, simulque ipsum attrectat in gymnasiis reliquisque congressionibus, tum denique fluminis illius fons, quem amoris illecebram Iuppiter Ganymedem amans appellavit, largiter se fundens in amatorem, partim in ipsum influit, partim ex ipso iam repleto foras manat, et sicut ventus vel sonus a levibus ac solidis rebus resiliens rursum unde profectus est fertur, ita pulchritudinis flumen rursum in pulchrum, per oculos fluendo, qua in animum solet intrare, revertens eumque excitans transitus pennarum irrigat, ad pennas gignendas impellit et amati quoque animum amore inplet. amat igitur, nescit vero quem, quidque ipsi acciderit, nec intelligit nec potest dicere, sed, tamquam ab alio oculorum morbo accepto, causam dicere non potest, quia non sentit, ut in speculo, in amante se ipsum cernere; et quum ille adest, aeque ac hic liberatur dolore, quum vero abest, pariter et desiderat et de-

ποθεῖται, εἴδωλον ἔρωτος ἀντ' ἔρωτος * ἔχων· καλεῖ δὲ αὐ- E
τὸν καὶ οἴεται οὐκ ἔρωτα, ἀλλὰ φιλίαν εἶναι· ἐπιθυμεῖ δὲ
ἐκείνῳ παραπλησίως μέν, ἀσθενεστέρως δέ, ὁρᾶν, ἅπτε-
σθαι, φιλεῖν, ξυγκατακεῖσθαι, καὶ δή, οἷον εἰκός, ποιεῖ
τὸ μετὰ τοῦτο ταχὺ ταῦτα. ἐν οὖν τῇ ξυγκοιμήσει τοῦ μὲν
ἐραστοῦ ὁ ἀκόλαστος ἵππος ἔχει ὅ τι λέγῃ πρὸς τὸν ἡνίο-
χον, καὶ ἀξιοῖ ἀντὶ πολλῶν πόνων σμικρὰ ἀπολαῦσαι, * ὁ 25
δὲ τῶν παιδικῶν ἔχει μὲν οὐδὲν εἰπεῖν, σπαργῶν δὲ καὶ
ἀπορῶν περιβάλλει τὸν ἐραστὴν καὶ φιλεῖ, ὡς σφόδρα εὔ-
νουν ἀσπαζόμενος, ὅταν τε ξυγκατακέωνται, οἷός ἐστι μὴ
ἂν ἀπαρνηθῆναι τὸ αὑτοῦ μέρος χαρίσασθαι τῷ ἐρῶντι,
εἰ δεηθείη τυχεῖν, ὁ δὲ ὁμόζυξ αὖ μετὰ τοῦ ἡνιόχου πρὸς
ταῦτα μετ' αἰδοῦς καὶ λόγου ἀντιτείνει.

Ἐὰν μὲν δὴ οὖν εἰς τεταγμένην τε δίαιταν καὶ φι-
λοσοφίαν νικήσῃ τὰ βελτίω τῆς διανοίας ἀγαγόντα, μακά-
ριον μὲν καὶ * ὁμονοητικὸν τὸν ἐνθάδε βίον διάγουσιν, B
ἐγκρατεῖς αὑτῶν καὶ κόσμιοι ὄντες, δουλωσάμενοι μέν, ᾧ
κακία ψυχῆς ἐνεγένετο, ἐλευθερώσαντες δέ, ᾧ ἀρετή· τε-
λευτήσαντες δὲ δή, ὑπόπτεροι καὶ ἐλαφροὶ γεγονότες, τῶν
τριῶν παλαισμάτων τῶν ὡς ἀληθῶς Ὀλυμπιακῶν ἓν νε-
νικήκασιν, οὗ μεῖζον ἀγαθὸν οὔτε σωφροσύνη ἀνθρωπίνη
οὔτε θεία μανία δυνατὴ πορίσαι ἀνθρώπῳ. ἐὰν δὲ διαί-
τῃ φορτικωτέρᾳ τε καὶ ἀφιλοσόφῳ, φιλοτί*μῳ δὲ χρή- C
σωνται, τάχ' ἄν που ἐν μέθαις ἤ τινι ἄλλῃ ἀμελείᾳ τὼ
ἀκολάστω αὐτοῖν ὑποζυγίω λαβόντε τὰς ψυχὰς ἀφρού-
ρους, ξυναγαγόντε εἰς ταὐτόν, τὴν ὑπὸ τῶν πολλῶν μα-
καριστὴν αἵρεσιν εἱλέσθην τε καὶ διεπράξαντο, καὶ δια-
πραξαμένω τὸ λοιπὸν ἤδη χρῶνται μὲν αὐτῇ, σπανίᾳ
δέ, ἅτε οὐ πάσῃ δεδογμένα τῇ διανοίᾳ πράττοντες. φί-
λω μὲν οὖν καὶ τούτω, ἧττον δὲ ἐκείνων, ἀλλήλοιν διά
τε τοῦ ἔρωτος καὶ ἔξω γενομένω διά*γουσι, πίστεις τὰς D
μεγίστας ἡγουμένω ἀλλήλοιν δεδωκέναι τε καὶ δεδέχθαι,
ἃς οὐ θεμιτὸν εἶναι λύσαντας εἰς ἔχθραν ποτὲ ἐλθεῖν.
ἐν δὲ τῇ τελευτῇ ἄπτεροι μέν, ὡρμηκότες δὲ πτεροῦσθαι
ἐκβαίνουσι τοῦ σώματος, ὥστε οὐ σμικρὸν ἆθλον τῆς ἐρω-

ſideratur, amoris ſimulacrum pro amore tenens; appellat vero et habet id non amorem, ſed amicitiam, concupiſcit autem ſimiliter atque ille, temperantius tamen, videre, attrectare, oſculari, concumbere, iam iamque dubium non eſt quin poſthac protinus hoc faciat. in concubando igitur amatoris equus effrenatus habet quod dicat aurigae, et poſtulat pro multis laboribus exiguum voluptatis fructum, pueri vero equus nihil habet dicere, ſed amore tumens et conſilii inops amplexatur amatorem et oſculatur, ut benivolentiſſimum diligens, et quum concumbunt, recuſare non poteſt quin, quantum in ipſo ſit, gratificetur amanti, ſi quid aſſequi cupiverit, iugi vero ſocius et auriga his cum pudore ac ratione refragantur.

Iam vero ſi meliores animi partes, ad moderatum vitae inſtitutum et philoſophiam ducentes, ſuperarunt, beatam et concordem hic vitam degunt, ſibi ipſi temperantes et modeſtiam nacti, quum ſubiecerint eam animi partem in qua pravitas inerat, liberaverint contra, in qua virtus, poſt mortem vero pinnati et leves facti de tribus illis certaminibus vere Olympicis unum vincunt, quo maius bonum neque temperantia humana neque divina inſania poteſt ſuppeditare homini. ſin autem vitae genere rudiore et a philoſophia alieno, honoris tamen cupido utuntur, facile fieri poteſt ut in ebrietate vel alia quapiam incuria effrenati eorum equi, animos, quos deprehenderint ſine cuſtodia, in unum conducentes, illud quod volgus beatum praedicat eligant et exſequantur, idque exſequuti in poſterum quoque exerceant, raro tamen, quia non univerſa id mente conſentiente faciunt. amici igitur hi quoque, minus tamen quam illi, inter ſe vivent, tum amore vigente tum extra amorem, maximam ſibi fidem exiſtimantes et dediſſe et accepiſſe, qua nefas ſit violata inimicitiam aliquando ſuſcipi. in fine autem implumes quidem, nitentes tamen pennis indui excedunt e corpore: ut haud exiguum

τικῆς μανίας φέρονται· εἰς γὰρ σκότον καὶ τὴν ὑπὸ γῆς πορείαν οὐ νόμος ἐστὶν ἔτι ἐλθεῖν τοῖς κατηργμένοις ἤδη τῆς ἐπουρανίου πορείας, ἀλλὰ φανὸν βίον διάγοντας εὐδαιμονεῖν μετ' ἀλλήλων πο*ρευομένους, καὶ ὁμοπτέρους ἔρω- E
τος χάριν, ὅταν γένωνται, γενέσθαι.

Ταῦτα τοσαῦτα, ὦ παῖ, καὶ οὕτω θεῖά σοι δωρήσεται ἡ παρ' ἐκάστου φιλία· ἡ δὲ ἀπὸ τοῦ μὴ ἐρῶντος οἰκειότης, σωφροσύνῃ θνητῇ κεκραμένη, θνητά τε καὶ φειδωλὰ οἰκονομοῦσα, ἀνελευθερίαν, ὑπὸ πλήθους ἐπαινουμένην ὡς ἀρετήν, τῇ φίλῃ ψυχῇ ἐντεκοῦσα, ἐννέα χιλιάδας ἐτῶν * πε- 257
ρὶ γῆν καλινδουμένην αὐτὴν καὶ ὑπὸ γῆς ἄνουν παρέξει.

Αὕτη σοι, ὦ φίλε Ἔρως, εἰς ἡμετέραν δύναμιν ὅτι καλλίστη καὶ ἀρίστη δέδοταί τε καὶ ἐκτέτισται παλινῳδία, τά τε ἄλλα καὶ τοῖς ὀνόμασιν ἠναγκασμένη ποιητικοῖς τισὶ διὰ Φαῖδρον εἰρῆσθαι. ἀλλὰ τῶν προτέρων τε ξυγγνώμην καὶ τῶνδε χάριν ἔχων, εὐμενὴς καὶ ἵλεως τήν μοι ἐρωτικὴν τέχνην ἣν δέδωκας μήτε ἀφέλῃ μήτε πηρώσῃς δι' ὀργήν, δίδου τ' ἔτι μᾶλλον ἢ νῦν τοῖς καλοῖς τίμιον * εἶναι. B
ἐν τῷ πρόσθεν δ' εἴ τι λόγῳ σοι ἀπηνὲς εἴπομεν Φαῖδρός τε καὶ ἐγώ, Λυσίαν τὸν τοῦ λόγου πατέρα αἰτιώμενος παῦε τῶν τοιούτων λόγων, ἐπὶ φιλοσοφίαν δέ, ὥσπερ ὁ ἀδελφὸς αὐτοῦ Πολέμαρχος τέτραπται, τρέψον, ἵνα καὶ ὁ ἐραστὴς ὅδε αὐτοῦ μηκέτι ἐπαμφοτερίζῃ, καθάπερ νῦν, ἀλλ' ἁπλῶς πρὸς ἔρωτα μετὰ φιλοσόφων λόγων τὸν βίον ποιῆται.

ΦΑΙ. Ξυνεύχομαί σοι, ὦ Σώκρατες, εἴπερ ἄμεινον ταῦθ' ἡμῖν εἶναι, ταῦτα γίγνεσθαι. * τὸν λόγον δέ σου C
πάλαι θαυμάσας ἔχω, ὅσῳ καλλίω τοῦ προτέρου ἀπειργάσω· ὥστε ὀκνῶ, μή μοι ὁ Λυσίας ταπεινὸς φανῇ, ἐὰν ἄρα καὶ ἐθελήσῃ πρὸς αὐτὸν ἄλλον ἀντιπαρατεῖναι. καὶ γάρ τις αὐτῷ, ὦ θαυμάσιε, ἔναγχος τῶν πολιτικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε, καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον.

amatoriae infaniae praemium confequantur; neque enim lex eft, ut tenebrae et migratio fub terra iis obtingant, qui iam inceperint caeleftem migrationem, fed ut fplendidam vitam degentes beati fint una proficifcentes, et amoris gratia, ut exfiftant, fimul exfiftant, pinnati.

Haec tanta, o puer, tamque divina tibi donabit amatoris amicitia; familiaritas contra eius, qui non amat, temperantiâ mortali diluta, mortalia et parca dispenfans, illiberalitatemque quam volgus laudat ut virtutem, amico animo ingenerans, ut novem ille millia annorum circum terram volutetur et fub terra dementia captus, efficiet.

Haec tibi, o dilecte Amor, pro viribus noftris pulcherrima et optima dicata et exftructa eft palinodia, quam quum aliis tum vocibus quibusdam poeticis propter Phaedrum neceffe erat exornari. at tu, priorum veniam dans et pro his gratiam habens, propitius ac clemens amatoriam mihi artem quam tribuifti neque detrahas neque mutiles per iram, immo tribue mihi hoc, ut etiam magis, quam nunc, apud pulchros honoratus fim. in priore autem oratione fi quid tibi infefti diximus Phaedrus et ego, Lyfiam orationis patrem incufans abduc ab huiusmodi orationibus et ad philofophiam, ad quam Polemarchus ipfius frater fe convertit, converte, ne hicce ipfius amator amplius fluctuet, ut nunc, fed fimpliciter ad amorem cum philofophis orationibus coniunctum vitam fuam componat.

Phae. Tecum precor, Socrate, ut, fi melius nobis erit, haec contingant. orationem vero tuam iam dudum admiror, quam multo pulchriorem priore finxeris: ut verear, ne mihi Lyfias vilis vifurus fit, etiamfi inftituerit tecum certaturus aliam ipfi opponere. etenim nuper ipfi, o admirabilis, aliquis de viris civilibus hoc ipfum reprehendens exprobravit et per totam eum reprehenfionem appellavit orationum fcriptorem.

τάχα οὖν ἂν ὑπὸ φιλοτιμίας ἐπίσχοι ἡμῖν ἂν τοῦ γρά-
φειν.

ΣΩΚ. Γελοῖόν γ', ὦ νεανία, τὸ δόγμα λέγεις, καὶ
τοῦ ἑταίρου συχνὸν δια*μαρτάνεις, εἰ αὐτὸν οὕτω τινὰ D
ἡγεῖ ψοφοδεᾶ. ἴσως δὲ καὶ τὸν λοιδορούμενον αὐτῷ οἴει
νομίζοντα λέγειν ἃ ἔλεγεν.

ΦΑΙ. Ἐφαίνετο γάρ, ὦ Σώκρατες· καὶ ξύνοισθά που
καὶ αὐτός, ὅτι οἱ μέγιστον δυνάμενοί τε καὶ σεμνότατοι
ἐν ταῖς πόλεσιν αἰσχύνονται λόγους τε γράφειν καὶ κατα-
λείπειν ξυγγράμματα ἑαυτῶν, δόξαν φοβούμενοι τοῦ ἔπειτα
χρόνου, μὴ σοφισταὶ καλῶνται.

ΣΩΚ. Γλυκὺς ἀγκών, ὦ Φαῖδρε, λέληθέ σε, ὅτι ἀπὸ
τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ τὸν Νεῖλον * ἐκλήθη, καὶ E
πρὸς τῷ ἀγκῶνι λανθάνει σε *) ὅτι οἱ μέγιστον φρονοῦν-
τες τῶν πολιτικῶν μάλιστα ἐρῶσι λογογραφίας τε καὶ κα-
ταλείψεως ξυγγραμμάτων· οἵ γε καὶ ἐπειδάν τινα γράφωσι
λόγον, οὕτως ἀγαπῶσι τοὺς ἐπαινέτας, ὥςτε προςπαραγρά-
φουσι πρώτους, οἳ ἂν ἑκασταχοῦ ἐπαινῶσιν αὐτούς.

ΦΑΙ. Πῶς τοῦτο λέγεις; οὐ γὰρ μανθάνω.

ΣΩΚ. Οὐ μανθάνεις ὅτι * ἐν ἀρχῇ ἀνδρὸς πολιτι- 258
κοῦ ξυγγράμματος πρῶτος ὁ ἐπαινέτης γέγραπται;

ΦΑΙ. Πῶς;

ΣΩΚ. Ἔδοξέ πού φησιν αὐτὸ τὸ ξύγγραμμα τῇ
βουλῇ ἢ τῷ δήμῳ ἢ ἀμφοτέροις, καί ὃς εἶπεν,
τὸν ἑαυτὸν δὴ λέγων μάλα σεμνῶς καὶ ἐγκωμιάζων ὁ ξυγ-
γραφεύς· ἔπειτα λέγει δὴ μετὰ τοῦτο ἐπιδεικνύμενος τοῖς
ἐπαινέταις τὴν ἑαυτοῦ σοφίαν, ἐνίοτε πάνυ μακρὸν ποιη-
σάμενος ξύγγραμμα· ἢ σοι ἄλλο τι φαίνεται τὸ τοιοῦτον ἢ
λόγος ξυγγεγραμμέ*νος; B

ΦΑΙ. Οὐκ ἔμοιγε.

ΣΩΚ. Οὐκοῦν, ἐὰν μὲν οὗτος ἐμμένῃ, γεγηθὼς
ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητής, ἐὰν δὲ ἐξαλειφθῇ
καὶ ἄμοιρος γένηται λογογραφίας τε καὶ τοῦ ἄξιος εἶναι
ξυγγράφειν, πενθεῖ αὐτός τε καὶ οἱ ἑταῖροι;

---

*) ἴσ. Γλυκὺς ἀγκών, ὦ Φαῖδρε! ἢ λανθάνει σε ὅτι
οἱ μ. φρ.

videndum eſt igitur, ne ambitione commotus ſe nobis cohibeat a ſcribendo.

So. Ridiculum eſt, o iuvenis, quod opinaris, et de amico tuo vehementer erras, ſi ipſum cenſes rumores tantopere expaveſcere; fortaſſe etiam exiſtimas eum, qui ipſum reprehenderit, ita ſentientem dixiſſe quae dixerit.

Phae. Viſus eſt ſane quidem, Socrate; et tu ipſe ſine dubio ſcis, viros plurimum valentes et graviſſimos in civitatibus pudere orationes ſcribere et relinquere ſcriptiones, famam timentes poſteritatis, ne ſophiſtae nominentur.

So. Suave brachium, Phaedre, te latet a magno illo Nili brachio nominatum eſſe, et praeter brachium te praeterit *), e viris civilibus qui plurimum ſe iactent maxime amare orationes ſcribere et relinquere ſcriptiones, quippe qui etiam ſi quid ſcribant, tantopere amplectantur aſſenſores, ut adſcribant ſemper primos, qui ipſis aſſentiantur.

Phae. Quomodo iſtud dicis? non enim intelligo.

So. Non intelligis in exordio ſcriptionis a viro civili compoſitae primum eſſe aſſenſorem adſcriptum?

Phae. Quomodo?

So. *Viſum eſt*, dicit videlicet ipſa ſcriptio, *ſenatui* vel *populo* vel *utrique*, et *hic rogavit*, ſe ipſum ſcilicet dicente admodum graviter et celebrante ſcriptore; deinde dicit id quod rogavit, oſtendens aſſenſoribus ſuam ipſe ſapientiam, nonnumquam admodum longam faciens ſcriptionem; an aliud quid tibi hoc videtur quam oratio ſcripta?

Phae. Mihi vero non videtur.

So. Nonne, ſi haec probatur, gaudio completus diſcedit e theatro poeta, ſin autem exſtinguitur ipſeque et ſcriptione privatur et dignitate ſcriptoris, luget tum ipſe tum amici ipſius?

---

*) forſ. *Suave brachium, o Phaedre! an te praeterit* ſq.

ΦΑΙ. Καὶ μάλα.

ΣΩΚ. Δῆλόν γε ὅτι οὐχ ὡς ὑπερφρονοῦντες τοῦ ἐπιτηδεύματος, ἀλλ' ὡς τεθαυμακότες.

ΦΑΙ. Πάνυ μὲν οὖν.

ΣΩΚ. Τί δέ; ὅταν ἱκανὸς γένηται ῥήτωρ ἢ βασιλεύς, ὥστε λαβὼν τὴν Λυκούργου ἢ Σόλωνος ἢ Δα*ρείου δύναμιν ἀθάνατος γενέσθαι λογογράφος ἐν πόλει, ἆρ' οὐκ ἰσόθεον ἡγεῖται αὐτός τε αὑτὸν ἔτι ζῶν, καὶ οἱ ἔπειτα γιγνόμενοι ταὐτὰ ταῦτα περὶ αὐτοῦ νομίζουσι, θεώμενοι αὐτοῦ τὰ ξυγγράμματα; C

ΦΑΙ. Καὶ μάλα.

ΣΩΚ. Οἴει οὖν τινὰ τῶν τοιούτων, ὅστις καὶ ὁπωστιοῦν δύσνους Λυσίᾳ, ὀνειδίζειν αὐτὸ τοῦτο ὅτι ξυγγράφει;

ΦΑΙ. Οὔκουν εἰκός γε, ἐξ ὧν σὺ λέγεις· καὶ γὰρ ἂν τῇ αὑτοῦ ἐπιθυμίᾳ, ὡς ἔοικεν, ὀνειδίζοι.

ΣΩΚ. Τοῦτο μὲν ἄρα παντὶ δῆλον, * ὅτι οὐκ αἰσχρὸν αὐτό γε τὸ γράφειν λόγους. D

ΦΑΙ. Τί γάρ;

ΣΩΚ. Ἀλλ' ἐκεῖνο οἶμαί γε αἰσχρὸν ἤδη, τὸ μὴ καλῶς λέγειν τε καὶ γράφειν, ἀλλ' αἰσχρῶς τε καὶ κακῶς.

ΦΑΙ. Δῆλον δή.

ΣΩΚ. Τίς οὖν ὁ τρόπος τοῦ καλῶς τε καὶ μὴ γράφειν; δεόμεθά τι, ὦ Φαῖδρε, Λυσίαν περὶ τούτων ἐξετάσαι καὶ ἄλλον ὅστις πώποτέ τι γέγραφεν ἢ γράψει, εἴτε πολιτικὸν ξύγγραμμα εἴτε ἰδιωτικόν, ἐν μέτρῳ ὡς ποιητής, ἢ ἄνευ μέτρου ὡς ἰδιώτης;

ΦΑΙ. Ἐρωτᾷς εἰ δεόμεθα; * τίνος μὲν οὖν ἕνεκ' ἄν E
τις, ὡς εἰπεῖν, ζῴη, ἀλλ' ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα; οὐ γάρ που ἐκείνων γε, ὧν προλυπηθῆναι δεῖ, ἢ μηδὲ ἡσθῆναι· ὃ δὴ ὀλίγου πᾶσαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι, διὸ καὶ δικαίως ἀνδραποδώδεις κέκληνται.

ΣΩΚ. Σχολὴ μὲν δή, ὡς ἔοικε, καὶ ἅμα μοι δοκοῦσιν ὡς ἐν τῷ πνίγει ὑπὲρ κεφαλῆς ἡμῖν οἱ τέττιγες ᾄδοντες * καὶ ἀλλήλοις διαλεγόμενοι καθορᾶν καὶ ἡμᾶς. εἰ 259

Phae. Sane quidem.

So. Idque nimirum non despicientes hoc studium, sed admirantes.

Phae. Ita.

So. Quid vero? si tantum valet rhetor vel rex, ut nactus Lycurgi vel Solonis vel Darii potestatem immortalis exsistat orationum scriptor in civitate, nonne dei similem se ipse existimat esse adhuc vivus et posteri pariter de ipso iudicant, spectantes ipsius scriptiones?

Phae. Sane quidem.

So. Num igitur aliquem censes de his ita sentientibus, quicumque et quomodocumque Lysiae infensus sit, hoc ipsum ei exprobrare quod scribat?

Phae. Non est veri simile ex his quae tu dicis; nam suam ipsum appetitionem patet exprobraturum esse.

So. Hoc igitur omnibus perspicuum est, non turpem esse ipsam orationum scriptionem.

Phae. Qui tandem?

So. Illud vero arbitror turpe iam esse non bene dicere et scribere, sed turpiter et male.

Phae. Manifestum est.

So. Quae igitur ratio est pulchre secusve scribendi? numquid opus erit, Phaedre, a Lysia hoc sciscitari vel alio quopiam, qui umquam quid scripsit vel scribet, sive civilem scriptionem sive privatam, versibus ut poeta, vel sine versibus ut prosae orationis auctor?

Phae. Quaeris an opus sit? cuiusnam rei causa omnino aliquis vivat, nisi harum voluptatum gratia? neutiquam sane illarum causa, quibus, nisi ante dolueris, numquam delecteris; quod quidem in omnes paene corporis voluptates cadit, quocirca etiam iure serviles nominantur.

So. Otium sane est, ut apparet, simulque mihi videntur cicadae, ut solent in calore, super capite nobis canentes et inter se colloquentes despicere etiam ad nos.

οὖν ἴδοιεν καὶ νῷ, καθάπερ τοὺς πολλούς, ἐν μεσημβρίᾳ
μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας καὶ κηλουμένους ὑφ'
αὑτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγελῷεν
ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλθόντα εἰς τὸ κατα-
γώγιον, ὥσπερ προβάτια, μεσημβριάζοντα περὶ τὴν κρήνην
εὕδειν. ἐὰν δὲ ὁρῶσι διαλεγομένους καὶ παραπλέοντάς σφας,
ὥσπερ Σειρῆνας, ἀ*κηλήτους, ὃ γέρας ἔχουσι παρὰ θεῶν B
ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες.

ΦΑΙ. Ἔχουσι δὲ δὴ τί τοῦτο; ἀνήκοος γάρ, ὡς ἔοι-
κε, τυγχάνω ὤν.

ΣΩΚ. Οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν
τοιούτων ἀνήκοον εἶναι. λέγεται δ', ὥς ποτ' ἦσαν οὗτοι
ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι· γενομένων δὲ
Μουσῶν καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε
ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες ἠμέλη*σαν σίτων C
τε καὶ ποτῶν καὶ ἔλαθον τελευτήσαντες αὑτούς. ἐξ ὧν τὸ
τεττίγων γένος μετ' ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μου-
σῶν λαβόν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν
τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ, καὶ μετὰ
ταῦτα ἐλθὸν παρὰ Μούσας ἀπαγγέλλειν, τίς τίνα αὐτῶν
τιμᾷ τῶν ἐνθάδε. Τερψιχόρᾳ μὲν οὖν τοὺς ἐν τοῖς χοροῖς
τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες ποιοῦσι προσφιλεστέρους,
τῇ δὲ * Ἐρατοῖ τοὺς ἐν τοῖς ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις D
οὕτω κατὰ τὸ εἶδος τιμῆς ἑκάστης· τῇ δὲ πρεσβυτάτῃ Καλ-
λιόπῃ καὶ τῇ μετὰ ταύτην Οὐρανίᾳ τοὺς ἐν φιλοσοφίᾳ
διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλου-
σιν, αἳ δὴ μάλιστα τῶν Μουσῶν περί τε οὐρανὸν καὶ λό-
γους οὖσαι θείους τε καὶ ἀνθρωπίνους ἱᾶσι καλλίστην φω-
νήν. πολλῶν οὖν δὴ ἕνεκεν λεκτέον τι καὶ οὐ καθευδητέον
ἐν τῇ μεσημβρίᾳ.

ΦΑΙ. Λεκτέον γὰρ οὖν.

ΣΩΚ. Οὐκοῦν, ὅπερ νῦν προὐθέμεθα σκέψασθαι,
τὸν λόγον ὅπῃ καλῶς ἔχει λέγειν τε καὶ γράφειν καὶ ὅπῃ
μή, σκεπτέον.

quodſi nos quoque videant, ſicut plurimos, meridie non colloquentes, ſed dormitantes ac delinitos a ſe ex mentis ſegnitia, iure nos derideant exiſtimantes mancipia quaedam ſibi veniſſe in hoc deverſorium, ut, ſicut pecudes, meridiantia circum fontem dormirent; ſin nos conſpiciant colloquentes et praetervehentes ſe, tamquam Sirenes, non delinitos, quod muneris habent a diis hominibus ut tribuant, id fortaſſe tribuant oblectatae.

Phae. Quodnam vero eſt illud quod habent? nihil enim, ut patet, de hoc audivi.

So. Haud ſane decet Muſarum amatorem de huiusmodi rebus nihil audiviſſe. dicunt vero, has olim homines fuiſſe et ante, quam Muſae exortae eſſent, vixiſſe; Muſis autem exortis et in lucem edito cantu, tantopere nonnulli illius temporis homines percuſſi ſunt voluptate, ut canentes obliviſcerentur cibi potusque et inſcientes morerentur. ex quibus cicadarum genus poſtea provenit, hoc muneris a Muſis nactum, ut nullo egeret nutrimento, ſimul atque natum eſſet, ſed ſine cibo ac potu ſtatim caneret, donec moreretur, et deinde ad Muſas profectum referret, quis quamque ipſarum coleret hominum hic viventium. Terpſichorae igitur eos, qui choris ipſam colunt, indicant gratioresque reddunt, Erato hos, qui rebus amatoriis eam coluerunt, et ſic ceteris pro ſua cuique dignitate; maximae vero natu Calliopae hancque ſequenti Uraniae eos, qui in philoſophia aetatem degunt ipſarumque artem colunt, indicant, quae quidem maxime ex omnibus Muſis in caelo contemplando orationibusque tam divinis quam humanis verſantes pulcherrimam fundunt vocem. multas igitur ob cauſas dicendum aliquid nec dormiendum meridie.

Phae. Dicendum ſane.

So. Itaque, quod modo propoſuimus de quo quaereremus, quae recta ſit ratio et dicendi et ſcribendi, quae non, quaeri oportet,

ΦΑΙ. Δῆλον.

ΣΩΚ. Ἆρ' οὖν οὐχ ὑπάρχειν δεῖ τοῖς εὖ τε καὶ καλῶς ῥηθησομένοις τὴν τοῦ λέγοντος διάνοιαν εἰδυῖαν τἀληθές, ὧν ἂν ἐρεῖν πέρι μέλλῃ;

ΦΑΙ. Οὑτωσὶ περὶ τούτων ἀκήκοα, ὦ φίλε Σώκρα-
τες, οὐκ εἶναι ἀνάγκην * τῷ μέλλοντι ῥήτορι ἔσεσθαι τὰ 260
τῷ ὄντι δίκαια μανθάνειν, ἀλλὰ τὰ δόξαντα ἂν πλήθει, οἵπερ δικάσουσιν, οὐδὲ τὰ ὄντως ἀγαθὰ ἢ καλά, ἀλλ' ὅσα δόξει· ἐκ γὰρ τούτων εἶναι τὸ πείθειν, ἀλλ' οὐκ ἐκ τῆς ἀληθείας.

ΣΩΚ. Οὔ τοι ἀπόβλητον ἔπος εἶναι δεῖ, ὦ Φαῖδρε, ὃ ἂν εἴπωσι σοφοί, ἀλλὰ σκοπεῖν, μή τι λέγωσι· καὶ δὴ καὶ τὸ νῦν λεχθὲν οὐκ ἀφετέον.

ΦΑΙ. Ὀρθῶς λέγεις.

ΣΩΚ. Ὧδε δὴ σκοπῶμεν αὐτό.

ΦΑΙ. Πῶς;

ΣΩΚ. Εἴ σε πείθοιμι ἐγὼ τοὺς πο*λεμίους ἀμύνειν B
κτησάμενον ἵππον, ἄμφω δὲ ἵππον ἀγνοοῖμεν, τοσόνδε μέντοι τυγχάνοιμι εἰδὼς περὶ σοῦ, ὅτι Φαῖδρος ἵππον ἡγεῖται τὸ τῶν ἡμέρων ζώων μέγιστα ἔχον ὦτα.

ΦΑΙ. Γελοῖόν γ' ἄν, ὦ Σώκρατες, εἴη.

ΣΩΚ. Οὔπω γε· ἀλλ' ὅτε δὴ σπουδῇ σε πείθοιμι, ξυντιθεὶς λόγον ἔπαινον κατὰ τοῦ ὄνου, ἵππον ἐπονομάζων, καὶ λέγων ὡς παντὸς ἄξιον τὸ θρέμμα οἴκοι τε κεκτῆσθαι καὶ ἐπὶ στρατείας, ἀποπολεμεῖν τε χρήσιμον καὶ προσενεγ-
κεῖν δυνα*τὸν σκεύη καὶ ἄλλα πολλὰ ὠφέλιμον. C

ΦΑΙ. Παγγέλοιόν γ' ἂν ἤδη εἴη.

ΣΩΚ. Ἆρ' οὖν οὐ κρεῖττον, γελοῖον ἢ δεινόν τε καὶ ἐχθρὸν εἶναι φίλον *);

ΦΑΙ. Φαίνεται.

ΣΩΚ. Ὅταν οὖν ὁ ῥητορικὸς ἀγνοῶν ἀγαθὸν καὶ κακόν, λαβὼν πόλιν ὡσαύτως ἔχουσαν πείθῃ, μὴ περὶ ὄνου σκιᾶς, ὡς ἵππου, τὸν ἔπαινον ποιούμενος, ἀλλὰ περὶ κακοῦ, ὡς ἀγαθοῦ, δόξας δὲ πλήθους μεμελετηκὼς πείσῃ

*) ἴσ. φίλῳ.

Phae. Patet.

So. Nonne ſubeſſe debet iis, quae bene et pulchre dicta habituri ſimus, hoc, ut dicentis mens veram eius naturam perſpectam habeat, de quo verba ſit facturus?

Phae. Ita de his audivi, o dilecte Socrate, nihil opus eſſe eum, qui rhetor evaſurus eſſet, vere iuſta cognoſcere, ſed ea tantum, quae viderentur multitudini quae iudicatura eſſet, nec vere bona vel pulchra, ſed quae viderentur; ex his enim effloreſcere perſuaſionem, non e vero.

So. *Nec ſane abiectum* eſſe debet, Phaedre, quicquid proferunt ſapientes, ſed quaerendum eſt num quid dicant; quocirca etiam hoc, quod nunc dictum eſt, non dimittendum.

Phae. Recte dicis.

So. Ita vero exploremus illud.

Phae. Quomodo?

So. Si tibi perſuaderem, ut hoſtes arceres comparans equum, ambo autem equum ignoraremus, ego tamen tantum ſcirem, Phaedrum credere equum eſſe ex animalibus cicuribus id quod maximas haberet aures.

Phae. Ridiculum id quidem foret, Socrate.

So. Nondum hoc, ſed ſi ſerio tibi perſuaderem componens orationem in aſini laudem, quem equum nominarem, et dicerem, prorſus operae pretium eſſe hoc animal et domi habere et militiae, quippe quod ad pugnandum utile, apportare utenſilia validum et ad alia multa habile eſſet.

Phae. Prorſus hoc iam foret ridiculum.

So. Nonne vero melius, ridiculum, quam pernicioſum et inimicum eſſe amico?

Phae. Apparet.

So. Iam ſi rhetor, ignorans bonum et malum, urbi, quam ſimiliter affectam nactus eſt, perſuadet, non aſini umbrae, tamquam equi, laudes celebrans, ſed mali tamquam boni, multitudinis vero opiniones meditatus

κακὰ πράττειν ἀντ' ἀγαθῶν, ποῖόν τινα οἴει μετὰ ταῦτα τὴν ῥη*τορικὴν καρπὸν ὧν ἔσπειρε θερίζειν; D

ΦΑΙ. Οὐ πάνυ γε ἐπιεικῆ.

ΣΩΚ. Ἆρ' οὖν, ὦ 'γαθέ, ἀγροικότερον τοῦ δέοντος λελοιδορήκαμεν τὴν τῶν λόγων τέχνην; ἡ δ' ἴσως ἂν εἴποι Τί ποτ', ὦ θαυμάσιοι, ληρεῖτε; ἐγὼ γὰρ οὐδένα ἀγνοοῦντα τἀληθὲς ἀναγκάζω μανθάνειν λέγειν, ἀλλ' εἴ τις ἐμῇ ξυμβουλῇ *), κτησάμενον ἐκεῖνο, οὕτως ἐμὲ λαμβάνειν. τὸ δ' οὖν μέγα λέγω, ὡς ἄνευ ἐμοῦ τῷ τὰ ὄντα εἰδότι οὐδέν τι μᾶλλον ἔσται πείθειν τέχνῃ.

ΦΑΙ. Οὐκ*οῦν δίκαια ἐρεῖ, λέγουσα ταῦτα; E

ΣΩΚ. Φημί, ἐὰν οἵ γε ἐπιόντες αὐτῇ λόγοι μαρτυρῶσιν εἶναι τέχνη· ὥςπερ γὰρ ἀκούειν δοκῶ τινῶν προςιόντων καὶ διαμαρτυρομένων λόγων, ὅτι ψεύδεται καὶ οὐκ ἔστι τέχνη, ἀλλ' ἄτεχνος τριβή. [τοῦ δὲ λέγειν, φησὶν ὁ Λάκων, ἔτυμος τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτ' ἔστιν οὔτε μήποτε ὑστέρως γένηται.]

ΦΑΙ. *Τούτων δὴ τῶν λόγων, ὦ Σώκρατες, ἀλλὰ 261 δεῦρο αὐτοὺς παράγων ἐξέταζε, τί καὶ πῶς λέγουσιν.

ΣΩΚ. Πάριτε δή, ὦ θρέμματα γενναῖα, καλλίπαιδά τε Φαῖδρον πείθετε, ὡς, ἐὰν μὴ ἱκανῶς φιλοσοφήσῃ, οὐδὲ ἱκανός ποτε λέγειν ἔσται περὶ οὐδενός. ἀποκρινέσθω δὴ ὁ Φαῖδρος, ἐρωτᾶτε **)· ἆρ' οὐ τὸ μὲν ὅλον ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία τις διὰ λόγων, οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλλοι δημόσιοι ξύλλογοι, ἀλλὰ καὶ ἐν ἰδίοις ἡ αὐτή, σμικρῶν τε * καὶ μεγάλων πέρι, καὶ οὐδὲν ἐντιμότερον τό γε ὀρθὸν περὶ σπουδαῖα ἢ περὶ φαῦλα γιγνόμενον; ἢ πῶς σὺ ταῦτ' ἀκήκοας; B

ΦΑΙ. Οὐ μὰ τὸν Δία οὐ παντάπασιν οὕτως, ἀλλὰ μάλιστα μέν πως περὶ τὰς δίκας λέγεταί τε καὶ γράφεται τέχνῃ, λέγεται δὲ καὶ περὶ δημηγορίας· ἐπὶ πλέον δὲ οὐκ ἀκήκοα.

ΣΩΚ. Ἀλλ' ἢ τὰς Νέστορός τε καὶ Ὀδυσσέως τέχνας

---

*) ἴσ. ἐμὴ ξυμβουλή, ἢ ἔστιν ἐμὴ ξυμβουλή.

**) ἴσ. ὃ ἐρωτᾶτε.

perſuadet, ut mala faciat pro bonis, quem cenſes poſtea rhetoricam eorum quae ſeverit fructum eſſe percepturam?

Phae. Non ſatis illum quidem probum.

So. Numquid, o bone, rudius, quam par erat, increpavimus orationum artem? haec enim forſitan dixerit: Quid tandem, o admirabiles, delirate? ego enim neminem veri inſcium cogo ut diſcat dicere, ſed meum eſt conſilium, quum ſibi quisquam illud comparaverit, tum me percipere. hoc vero grave dico, fieri non poſſe ut quispiam ſine me, etiamſi vera cognoverit, ex arte perſuadeat.

Phae. Nonne iuſta dicet haec reponens?

So. Aio, ſi orationes ipſi obviam progredientes teſtificantur eam eſſe artem. etenim velut audire videor quasdam accedentes ac conteſtantes orationes, mentiri illam nec artem eſſe, ſed artis expertem exercitationem. [dicendi vero, inquit Laco, genuina ars, niſi quis veritati ſtuduerit, neque eſt neque ulla umquam erit.]

Phae. Iam de his orationibus, Socrate: agedum huc adduc et examina, quid et quomodo dicant.

So. Accedite dum, ingenuae alumnae et liberorum pulchrorum patri Phaedro perſuadete, ipſum, niſi ſatis philoſophatus fuerit, numquam fore idoneum ad dicendum de quapiam re. Phaedrus igitur reſpondeto ad id quod interrogatis: nonne in univerſum ars rhetorica animi quidam ductus eſt per orationes, non ſolum in iudiciis et quotcumque alii ſunt publici coetus, verum etiam in privatis rebus eadem, ſive in parvis ſive in magnis verſatur, et nonne, ſi recte exercetur, nihilo praeſtabilior eſt res graves tractans quam viles? an quomodo tu haec audiviſti?

Phae. Per Iovem non plane ita, ſed maxime fere in cauſis orandis dicitur et ſcribitur arte, dicitur etiam in concionibus; amplius nil audivi.

So. Num vero de Neſtoris et Ulixis tantum artibus

μόνον περὶ λόγων ἀκήκοας, ἃς ἐν Ἰλίῳ σχολάζοντε ξυνεγραψάτην, τῶν δὲ Παλαμήδους ἀνήκοος * γέγονας; C

ΦΑΙ. Καὶ ναὶ μὰ Δία ἔγωγε τῶν Νέστορος, εἰ μὴ Γοργίαν Νέστορά τινα κατασκευάζεις, ἤ τινα Θρασύμαχόν τε καὶ Θεύδωρον Ὀδυσσέα.

ΣΩΚ. Ἴσως· ἀλλὰ γὰρ τούτους ἐῶμεν· σὺ δ' εἰπέ, ἐν δικαστηρίοις οἱ ἀντίδικοι τί δρῶσιν; οὐκ ἀντιλέγουσι μέντοι; ἢ τί φήσομεν;

ΦΑΙ. Τοῦτ' αὐτό.

ΣΩΚ. Περὶ τοῦ δικαίου τε καὶ ἀδίκου;

ΦΑΙ. Ναί.

ΣΩΚ. Οὐκοῦν ὁ τέχνῃ τοῦτο δρῶν ποιήσει φανῆναι τὸ αὐτὸ τοῖς αὐτοῖς τοτὲ μὲν δίκαιον, ὅταν δὲ * βούληται, ἄδικον; D

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Καὶ ἐν δημηγορίᾳ δὴ τῇ πόλει δοκεῖν τὰ αὐτὰ τοτὲ μὲν ἀγαθά, τοτὲ δ' αὖ τἀναντία;

ΦΑΙ. Οὕτως.

ΣΩΚ. Τὸν οὖν Ἐλεατικὸν Παλαμήδην λέγοντα οὐκ ἴσμεν τέχνῃ, ὥςτε δοκεῖν φαίνεσθαι τοῖς ἀκούουσι τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλά, μένοντά τε αὖ καὶ φερόμενα;

ΦΑΙ. Μάλα γε.

ΣΩΚ. Οὐκ ἄρα μόνον περὶ δικαστήριά τέ ἐστιν ἡ ἀντιλογικὴ καὶ περὶ δημηγορίαν, ἀλλ', ὡς * ἔοικε, περὶ πάντα τὰ E λεγόμενα μία τις τέχνη, εἴπερ ἔστιν, αὕτη ἂν εἴη, ἥτις οἷα *) τ' ἔσται πᾶν παντὶ ὁμοιοῦν τῶν δυνατῶν καὶ οἷς δυνατόν, καὶ ἄλλου ὁμοιοῦντος καὶ ἀποκρυπτομένου εἰς φῶς ἄγειν.

ΦΑΙ. Πῶς δὴ τὸ τοιοῦτον λέγεις;

ΣΩΚ. Τῇδε δοκῶ ζητοῦσι φανεῖσθαι. Ἀπάτη πότερον ἐν πολὺ διαφέρουσι γίγνεται μᾶλλον, ἢ ὀλίγον;

* ΦΑΙ. Ἐν τοῖς ὀλίγον. 262

ΣΩΚ. Ἀλλά γε δὴ κατὰ σμικρὸν μεταβαίνων μᾶλλον λήσεις ἐλθὼν ἐπὶ τὸ ἐναντίον, ἢ κατὰ μέγα.

ΦΑΙ. Πῶς δ' οὔ;

ΣΩΚ. Δεῖ ἄρα τὸν μέλλοντα ἀπατήσειν μὲν ἄλλον,

*) ἄλλ. ἤ τις οἷος.

rhetoricis audivisti, quas Ilii otio fruentes conscripserunt, de Palamedis autem arte nihil comperisti?

Phae. Equidem mehercule ne de Nestoris quidem artibus quicquam comperi, nisi Gorgiam facis Nestora vel Thrasymachum et Theodorum Ulixem.

So. Fortasse; sed hoc omittamus; tu vero dic: in iudiciis adversarii quid faciunt? nonne contra dicunt? an quid dicemus?

Phae. Hoc vero ipsum.

So. Et quidem de iusto et iniusto?

Phae. Ita.

So. Nonne qui arte hoc agit, efficiet, ut videatur idem iisdem modo iustum modo, si voluerit, iniustum?

Phae. Quidni?

So. Et ut in concione civitati videantur eadem modo bona modo contraria?

Phae. Ita.

So. Eleaticum vero Palamedem nonne scimus ita ex arte dicere, ut videantur audientibus eadem similia et dissimilia, unum et multa, manentia et agitata?

Phae. Sane quidem.

So. Itaque non ad iudicia tantum spectat contra dicendi ars et ad concionem, sed, ut patet, in omnibus quae dicuntur una quaedam ars, si modo est ulla, haec erit, quae poterit assimilare, quicquid cuique potest assimilari, et id, quod alius assimilat ac celat, in lucem proferre.

Phae. Quomodo hoc dicis?

So. *Sic quaerentem agnoscere opinor.* Deceptio utrum in rebus multum differentibus exoritur magis, an in parum differentibus?

Phae. In parum differentibus.

So. Iam vero paullatim transeundo magis efficis, ut altero inscio venias ad contrarium, quam continuo.

Phae. Qui aliter.

So. Oportet igitur eum, qui alium quidem volt

αὐτὸν δὲ μὴ ἀπατήσεσθαι τὴν ὁμοιότητα τῶν ὄντων καὶ ἀνομοιότητα ἀκριβῶς διειδέναι.

ΦΑΙ. Ἀνάγκη μὲν οὖν.

ΣΩΚ. Ἦ οὖν οἷός τε ἔσται, ἀλήθειαν ἀγνοῶν ἑκάστου, τὴν τοῦ ἀγνοουμένου ὁμοιότητα σμικράν τε καὶ μεγάλην ἐν τοῖς ἄλλοις διαγιγνώ*σκειν; B

ΦΑΙ. Ἀδύνατον.

ΣΩΚ. Οὐκοῦν τοῖς παρὰ τὰ ὄντα δοξάζουσι καὶ ἀπατωμένοις δῆλον ὡς τὸ πάθος τοῦτο δι' ὁμοιοτήτων τινῶν εἰςεῤῥύη.

ΦΑΙ. Γίγνεται οὖν οὕτως.

ΣΩΚ. Ἔστιν οὖν ὅπως τεχνικὸς ἔσται, μεταβιβάζων *) κατὰ σμικρὸν δι' ὁμοιοτήτων ἀπὸ τοῦ ὄντος ἑκάστοτε ἐπὶ τοὐναντίον ἀπάγειν **), ἢ αὐτὸς τοῦτο διαφεύγειν, ὁ μὴ ἐγνωκὼς ὃ ἔστιν ἕκαστον τῶν ὄντων;

ΦΑΙ. Οὐ μή ποτε.

ΣΩΚ. Λόγων ἄρα τέχνην, ὦ ἑ*ταῖρε, ὁ τὴν ἀλήθειαν C μὴ εἰδώς, δόξας δὲ τεθηρευκώς, γελοίαν τινά, ὡς ἔοικε, καὶ ἄτεχνον παρέξεται.

ΦΑΙ. Κινδυνεύει.

ΣΩΚ. Βούλει οὖν ἐν τῷ Λυσίου λόγῳ ὃν φέρεις καὶ ἐν οἷς ἡμεῖς εἴπομεν ἰδεῖν τι ὧν φαμὲν ἀτέχνων τε καὶ ἐντέχνων εἶναι;

ΦΑΙ. Πάντων γέ που μάλιστα· ὡς νῦν γε ψιλῶς πως λέγομεν, οὐκ ἔχοντες ἱκανὰ παραδείγματα.

ΣΩΚ. Καὶ μὴν κατὰ τύχην γέ τινα, ὡς ἔοικεν, ἐῤῥηθήτην τὼ λόγω ἔχοντέ τι παράδειγμα, ὡς * ἂν ὁ εἰδὼς τὸ D ἀληθὲς προςπαίζων ἐν λόγοις παράγοι τοὺς ἀκούοντας. καὶ ἔγωγε, ὦ Φαῖδρε, αἰτιῶμαι τοὺς ἐντοπίους θεούς· ἴσως δὲ καὶ οἱ τῶν Μουσῶν προφῆται οἱ ὑπὲρ κεφαλῆς ᾠδοὶ ἐπιπεπνευκότες ἂν ἡμῖν εἶεν τοῦτο τὸ γέρας· οὐ γάρ που ἔγωγε τέχνης τινὸς τοῦ λέγειν μέτοχος.

ΦΑΙ. Ἔστω ὡς λέγεις, μόνον δήλωσον ὃ φῄς.

ΣΩΚ. Ἴθι δή μοι ἀνάγνωθι τὴν τοῦ Λυσίου λόγου ἀρχήν.

---

*) γρ. μεταβιβάζειν.

**) γρ. ἀπάγων.

decipere, ipſe vero non volt decipi, ſimilitudinem rerum ac disſimilitudinem accurate distinguere.

Phae. Neceſſe eſt id quidem.

So. Num igitur fieri poterit ut, qui veritatem cuiusque rei ignoraverit, huius ignoratae ſimilitudinem et exiguam et magnam in ceteris rebus discernat?

Phae. Non poterit fieri.

So. Itaque iis, qui praeter verum iudicant et decipiuntur, patet hanc affectionem per ſimilitudines quasdam ſe inſinuare.

Phae. Ita ſane accidit.

So. Num ergo quispiam arte tantum valebit, ut traducendo paullatim per ſimilitudines a vero quoque ad contrarium deflectat alterum aut ipſe hoc effugiat, niſi cognoverit qualis quaeque ſit rerum?

Phae. Numquam id valebit.

So. Orationum igitur artem, o amice, qui verum non perſpexit, ſed opiniones captavit, ridiculam quandam, ut liquet, et arte carentem efficiet.

Phae. Sane eſt periculum.

So. Visne igitur in Lyſiae quam attuliſti oratione et iis, quas nos diximus, aliquid eorum videre, quae dicimus arte carentia et artificioſa eſſe?

Phae. Omnium maxime; nam nunc quidem nude quodammodo dicimus, non habentes idonea exempla.

So. Et ſane forte quadam fortuna, ut videtur, dictae ſunt orationes duae ſuppeditantes aliquod exemplum, quomodo, qui veri gnarus ſit, ludendo orationibus decipere poſſit audientes. equidem, Phaedre, id acceptum refero huius loci diis; forſitan etiam Muſarum vates, ſuper capite noſtro cantrices, inſpiraverint nobis id muneris; nam equidem nullius dicendi artis particeps ſum.

Phae. Esto ut ais, declara modo id quod dicis.

So. Agedum mihi recita Lyſianae orationis exordium.

ΦΑΙ. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστα*σαι, καὶ E
ὡς νομίζω ξυμφέρειν ἡμῖν τούτων γενομένων, ἀκήκοας· ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς ὤν σου τυγχάνω· ὡς ἐκείνοις μὲν τότε μεταμέλει, ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται —

ΣΩΚ. Παῦσαι. τί δὴ οὖν οὗτος ἁμαρτάνει καὶ ἄτεχνον ποιεῖ, λεκτέον· * ἢ γάρ; 263

ΦΑΙ. Ναί.

ΣΩΚ. Ἆρ᾽ οὖν οὐ παντὶ δῆλον τό γε τοιόνδε, ὡς περὶ μὲν ἔνια τῶν τοιούτων ὁμονοητικῶς ἔχομεν, περὶ δ᾽ ἔνια στασιαστικῶς;

ΦΑΙ. Δοκῶ μὲν ὃ λέγεις μανθάνειν, ἔτι δ᾽ εἰπὲ σαφέστερον.

ΣΩΚ. Ὅταν τις ὄνομα εἴπῃ σιδήρου ἢ ἀργύρου, ἆρ᾽ οὐ τὸ αὐτὸ πάντες διενοήθημεν;

ΦΑΙ. Καὶ μάλα.

ΣΩΚ. Τί δ᾽, ὅταν δικαίου ἢ ἀγαθοῦ, οὐκ ἄλλος ἄλλῃ φέρεται καὶ ἀμφισβητοῦμεν ἀλλήλοις τε καὶ ἡμῖν αὐτοῖς;

ΦΑΙ. Πάνυ μὲν οὖν.

*ΣΩΚ. Ἐν μὲν ἄρα τοῖς ξυμφωνοῦμεν, ἐν δὲ τοῖς οὔ. B

ΦΑΙ. Οὕτως.

ΣΩΚ. Ποτέρωθι οὖν εὐαπατητότεροί ἐσμεν, καὶ ἡ ῥητορικὴ ἐν ποτέροις μεῖζον δύναται;

ΦΑΙ. Δῆλον ὅτι ἐν οἷς πλανώμεθα.

ΣΩΚ. Οὐκοῦν τὸν μέλλοντα τέχνην ῥητορικὴν μετιέναι πρῶτον μὲν δεῖ ταῦτα ὁδῷ διῃρῆσθαι, καὶ εἰληφέναι τινὰ χαρακτῆρα ἑκατέρου τοῦ εἴδους, ἐν ᾧ τε ἀνάγκη τὸ πλῆθος πλανᾶσθαι καὶ ἐν ᾧ μή.

ΦΑΙ. Καλὸν γοῦν ἄν, ὦ Σώκρατες, * εἶδος εἴη κα- C
τανενοηκὼς ὁ τοῦτο λαβών.

ΣΩΚ. Ἔπειτά γε οἶμαι πρὸς ἑκάστῳ γιγνόμενον μὴ

Phae. Quomodo res meae ſe habeant ſcis, et me arbitrari nobis prodeſſe hoc ſi fieret, audiviſti; aequum vero iudico nullam me iccirco repulſam eorum accipere quae peto, quod non ſum amator tuus; nam illos tum poenitet eorum, quae bene ſecerunt, quum cupiditatem depoſuerunt —

So. Deſine. iam quidnam hic peccet et contra artem faciat, dicendum; nonne?

Phae. Etiam.

So. Iam vero nonne cuilibet perſpicuum eſt hoc, nos in nonnullis harum rerum concordes eſſe, in nonnullis vero discordes?

Phae. Videor quidem quod dicis intelligere, expone vero etiam clarius.

So. Si quis vocem pronunciat ferrum vel argentum, nonne idem omnes intelligimus?

Phae. Sane quidem.

So. Quid vero, ſi iuſtum et bonum, nonne alius alio fertur et disſentimus tam inter nos quam a nobismet ipſis?

Phae. Vero.

So. In his igitur conſentimus, in illis vero disſentimus.

Phae. Ita.

So. Iam in utro faciliores ſumus deceptu et rhetorica in utro plus poteſt?

Phae. Patet in eo, in quo fallimur.

So. Itaque eum, qui artem rhetoricam tractaturus eſt, primum oportet haec via quadam perſcrutari ac percipere formam quandam utriusque ſpeciei, et eius, in qua neceſſe eſt multitudo fallatur, et eius, in qua id non accidit.

Phae. Pulchra certe erit, Socrate, haec utriusque ſpeciei cognitio, ſi quis eam percipiat.

So. Deinde, opinor, ſi res ſingulas tractat, ipſum

λανθάνειν, ἀλλ' ὀξέως αἰσθάνεσθαι, περὶ οὗ ἂν μέλλῃ ἐρεῖν, ποτέρου ὂν τυγχάνει τοῦ γένους.

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Τί οὖν τὸν Ἔρωτα, πότερον φῶμεν εἶναι τῶν ἀμφισβητησίμων ἢ τῶν μή;

ΦΑΙ. Τῶν ἀμφισβητησίμων δήπου· ἢ οἴει ἄν σοι ξυγχωρῆσαι εἰπεῖν, ἃ νῦν δὴ εἶπες περὶ αὐτοῦ, ὡς βλάβη τέ ἐστι τῷ ἐρωμένῳ καὶ ἐρῶντι, καὶ αὖθις ὡς μέγιστον
τῶν ἀγαθῶν * τυγχάνει; D

ΣΩΚ. Ἄριστα λέγεις· ἀλλ' εἰπὲ καὶ τόδε (ἐγὼ γάρ τοι διὰ τὸ ἐνθουσιαστικὸν οὐ πάνυ μέμνημαι), εἰ ὡρισάμην ἔρωτα ἀρχόμενος τοῦ λόγου.

ΦΑΙ. Νὴ Δία, ἀμηχάνως γε ὡς σφόδρα.

ΣΩΚ. Φεῦ, ὅσῳ λέγεις τεχνικωτέρας Νύμφας τὰς Ἀχελώου καὶ Πᾶνα τὸν Ἑρμοῦ Λυσίου τοῦ Κεφάλου πρὸς λόγους εἶναι! ἢ οὐδὲν λέγω, ἀλλὰ καὶ ὁ Λυσίας ἀρχόμενος τοῦ ἐρωτικοῦ ἠνάγκασεν ἡμᾶς ὑπολαβεῖν τὸν Ἔρωτα ἕν τι
τῶν ὄντων, ὃ αὐ*τὸς ἠβουλήθη, καὶ πρὸς τοῦτο ἤδη ξυν- E
ταξάμενος πάντα τὸν ὕστερον λόγον διεπεράνατο; βούλει πάλιν ἀναγνῶμεν αὐτοῦ τὴν ἀρχήν;

ΦΑΙ. Εἰ σοί γε δοκεῖ, ὃ μέντοι ζητεῖς οὐκ ἔστ' αὐτόθι.

ΣΩΚ. Λέγε, ἵν' ἀκούσω αὐτοῦ ἐκείνου.

ΦΑΙ. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστασαι, καὶ ὡς νομίζω ξυμφέρειν ἡμῖν τούτων γενομένων, ἀκήκοας·
ἀξιῶ δὲ μὴ διὰ * τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐρα- 263
στὴς ὢν σου τυγχάνω, ὡς ἐκείνοις μὲν τότε μεταμέλει, ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται.

ΣΩΚ. Ἦ πολλοῦ δεῖν ἔοικε ποιεῖν ὅδε γε, ὃ ζητοῦμεν, ὃς οὐδὲ ἀπ' ἀρχῆς, ἀλλ' ἀπὸ τελευτῆς ἐξ ὑπτίας ἀνάπαλιν διανεῖν ἐπιχειρεῖ τὸν λόγον, καὶ ἄρχεται, ἀφ' ὧν πεπαυμένος ἂν ἤδη ὁ ἐραστὴς λέγοι πρὸς τὰ παιδικά. ἢ οὐδὲν εἶπον, Φαῖδρε, φίλη κεφαλή;

ΦΑΙ. Ἔστι γέ τοι δή, Σώκρα*τες, τελευτή, περὶ οὗ B
τὸν λόγον ποιεῖται.

hoc non debet fugere, ſed acute animadvertat neceſſe eſt, id de quo dicturus eſt utrius ſit generis.

Phae. Quidni?

So. Quid igitur Amorem, utrum dicamus in rebus ambiguis eſſe, an in certis?

Phae. In ambiguis certe; alioquin ipſum cenſes tibi conceſſurum eſſe, ut diceres ea quae modo de ipſo dixiſti, perniciem ipſum eſſe amato et amanti, rurſusque, maximum ipſum bonum eſſe?

So. Optime vero dicis; ſed hoc etiam dic (ego enim propter divinum quo mens mea concitata fuit afflatum non ſatis memini), num definierim amorem ordiens orationem.

Phae. Dici mehercule non poteſt quam accurate.

So. Hem, quanto dicis artificioſiores eſſe Nymphas Acheloi et Pana Mercurii filium Lyſia Cephali filio in orationibus componendis! an nihil dico, ſed Lyſias quoque ordiens orationem amatoriam coëgit nos intelligere Amorem unum aliquod, quod ipſe voluit, et ad hoc iam componens omnem reliquam orationem perſequutus eſt? visne iterum legamus ipſius exordium?

Phae. Si tibi videtur, quod tamen quaeris, non eſt ibi.

So. Dic, ut ipſum illum audiam.

Phae. Quomodo res meae ſe habeant ſcis et me arbitrari nobis prodeſſe hoc ſi fieret, audiviſti; aequum vero iudico nullam me iccirco repulſam eorum accipere quae peto, quod non ſum amator tuus; nam illos tum poenitet eorum, quae bene fecerunt, quum cupiditatem depoſuerunt.

So. Multum profecto videtur abeſſe ut faciat iſte quod quaerimus, qui ne ab exordio quidem, ſed a fine ſupinatus retro tranare inſtituat orationem, et ab iis ordiatur, quae in fine demum orationis amator diceret amato. an nihil dixi, Phaedre, carum caput?

Phae. Eſt ſane, Socrate, finis, de quo verba facit.

ΣΩΚ. Τί δέ; τἆλλα οὐ χύδην δοκεῖ βεβλῆσθαι τὰ τοῦ λόγου; ἢ φαίνεται τὸ δεύτερον εἰρημένον ἔκ τινος ἀνάγκης δεύτερον δεῖν τεθῆναι, ἤ τι ἄλλο τῶν ῥηθέντων; ἐμοὶ μὲν γὰρ ἔδοξεν, ὡς μηδὲν εἰδότι, οὐκ ἀγεννῶς τὸ ἐπιὸν εἰρῆσθαι τῷ γράφοντι· σὺ δ' ἔχεις τινὰ ἀνάγκην λογογραφικήν, ᾗ ταῦτα ἐκεῖνος οὕτως ἐφεξῆς παρ' ἄλληλα ἔθηκεν;

ΦΑΙ. Χρηστὸς εἶ, ὅτι με ἡγεῖ ἱκανὸν εἶναι τὰ ἐκεί-
νου * οὕτως ἀκριβῶς διϊδεῖν. C

ΣΩΚ. Ἀλλὰ τόδε γε οἶμαί σε φάναι ἄν, δεῖν πάντα λόγον ὥσπερ ζῶον ξυνεστάναι σῶμά τι ἔχοντα αὐτὸν αὑτοῦ, ὥστε μήτε ἀκέφαλον εἶναι μήτε ἄπουν, ἀλλὰ μέσα τε ἔχειν καὶ ἄκρα, πρέποντα ἀλλήλοις καὶ τῷ ὅλῳ γεγραμμένα.

ΦΑΙ. Πῶς γὰρ οὔ;

ΣΩΚ. Σκέψαι τοίνυν τὸν τοῦ ἑταίρου σου λόγον, εἴτε οὕτως εἴτε ἄλλως ἔχει, καὶ εὑρήσεις τοῦ ἐπιγράμματος
οὐδὲν διαφέροντα, ὃ Μίδᾳ τῷ Φρυγί φασί τινες ἐπι*γε- D
γράφθαι.

ΦΑΙ. Ποῖον τοῦτο καὶ τί πεπονθός;

ΣΩΚ. Ἔστι μὲν τοῦτο τόδε·

Χαλκῆ παρθένος εἰμί, Μίδα δ' ἐπὶ σήματι κεῖμαι,
Ὄφρ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
Αὐτοῦ τῇδε μένουσα, πολυκλαύτου ἐπὶ τύμβου,
Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

*ὅτι δὲ οὐδὲν διαφέρει αὐτοῦ πρῶτον ἢ ὕστατόν τι λέγε- E
σθαι, ἐννοεῖς που, ὡς ἐγᾦμαι.

ΦΑΙ. Σκώπτεις τὸν λόγον ἡμῶν, ὦ Σώκρατες.

ΣΩΚ. Τοῦτον μὲν τοίνυν, ἵνα μὴ σὺ ἄχθῃ, ἐάσωμεν (καίτοι συχνά γε ἔχειν μοι δοκεῖ παραδείγματα, πρὸς ἅ τις βλέπων ὀνίναιτ' ἄν) [μιμεῖσθαι αὐτὰ ἐπιχειρῶν μὴ πάνυ τι]· εἰς δὲ τοὺς ἑτέρους λόγους ἴωμεν· ἦν γάρ τι ἐν
αὐτοῖς, ὡς δοκῶ, προσῆκον ἰδεῖν τοῖς βουλο*μένοις περὶ 265
λόγων σκοπεῖν.

So. Quid? reliquae orationis partes nonne temere videntur proiectae esse? an ratio apparet, cur, quod secundo loco dictum est, hoc secundo oportuerit dici vel aliud quippiam eorum quae dicta sunt? mihi quidem, quippe qui nihil sciam, visus est haud timide quicquid in mentem venerit dicere scriptor; tune vero tenes rationem aliquam oratoriam, quae scriptorem, ut haec illo ordine iuxta poneret, impulerit?

Phae. Comis es, quod me censes idoneum esse ad ea, quae ille scripsit, accurate diiudicanda.

So. At hoc certe arbitror te concessurum esse, oportere quamque orationem ut animantem compositam esse, suum ipsam caput habentem, ita ut neque capite careat neque pedibus, sed et medias et extremas partes habeat, inter se et cum toto convenienter illas quidem descriptas.

Phae. Quidni?

So. Iam perpende amici tui orationem, num ita an aliter se habeat, et invenies ab epigrammate illo nihil eam differre, quod Midae Phrygio dicunt nonnulli inscriptum esse.

Phae. Quale illud est et quomodo se habet?

So. Est vero hoc:

Aenea sum virgo atque Midae incumbo monumento,
Dum manatque latex arborque umbrosa virescit,
Aeternum hic adstans lacrymosi in mole sepulcri,
Nuncio praetereunti hic esse Midam tumulatum.

nihil enim in hoc differre, utrum primo an ultimo loco aliquid ponatur, intelligis, ut opinor.

Phae. Cavillaris orationem nostram, Socrate.

So. Hanc igitur, ne tu graveris, dimittamus (quamquam permulta mihi videtur exempla suppeditare, quae quis intuens iuvari possit), et ad alteras orationes transeamus; inerat enim aliquid in iis, ut opinor, quod convenit considerare iis qui in orationes volunt inquirere.

ΦΑΙ. Τὸ ποῖον δὴ λέγεις;

ΣΩΚ. Ἐναντίω που ἤστην· ὁ μὲν γάρ, ὡς τῷ ἐρῶντι, ὁ δ', ὡς τῷ μὴ δεῖ χαρίζεσθαι, ἐλεγέτην.

ΦΑΙ. Καὶ μάλ' ἀνδρικῶς.

ΣΩΚ. Ὤιμην σε τἀληθὲς ἐρεῖν ὅτι μανικῶς· ὃ μέντοι ἐζήτουν ἔστιν αὐτὸ τοῦτο. μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν Ἔρωτα· ἦ γάρ;

ΦΑΙ. Ναί.

ΣΩΚ. Μανίας δέ γε εἴδη δύο, τὴν μὲν ὑπὸ νοσημάτων ἀνθρωπίνων, τὴν δὲ ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων γιγνομένην.

* ΦΑΙ. Πάνυ γε. B

ΣΩΚ. Τῆς δὲ θείας τεττάρων θεῶν τέτταρα μέρη διελόμενοι, μαντικὴν μὲν ἐπίπνοιαν Ἀπόλλωνος θέντες, Διονύσου δὲ τελεστικήν, Μουσῶν δ' αὖ ποιητικήν, τετάρτην δὲ Ἀφροδίτης καὶ Ἔρωτος, ἐρωτικὴν μανίαν ἐφήσαμεν ἀρίστην εἶναι, καὶ οὐκ οἶδ' ὅπῃ τὸ ἐρωτικὸν πάθος ἀπεικάζοντες, ἴσως μὲν ἀληθοῦς τινὸς ἐφαπτόμενοι, τάχα δ' ἂν καὶ ἄλλοσε παραφερόμενοι, κεράσαντες οὐ παντάπασιν ἀπίθανον λό*γον, μυθικόν τινα ὕμνον, προσεπαίσαμεν C
μετρίως τε καὶ εὐφήμως τὸν ἐμόν τε καὶ σὸν δεσπότην Ἔρωτα, ὦ Φαῖδρε, καλῶν παίδων ἔφορον.

ΦΑΙ. Καὶ μάλα ἔμοιγε οὐκ ἀηδῶς ἀκοῦσαι.

ΣΩΚ. Τόδε τοίνυν αὐτόθεν λάβωμεν, ὡς ἀπὸ τοῦ ψέγειν πρὸς τὸ ἐπαινεῖν ἔσχεν ὁ λόγος μεταβῆναι.

ΦΑΙ. Πῶς δὴ οὖν αὐτὸ λέγεις;

ΣΩΚ. Ἐμοὶ μὲν φαίνεται τὰ μὲν ἄλλα τῷ ὄντι παιδιᾷ πεπαῖσθαι, τούτων δέ τινων ἐκ τύχης ῥηθέντων δυεῖν εἰδοῖν εἰ * αὐτὴν τὴν δύναμιν τέχνῃ λαβεῖν δύναιτό τις, D
οὐκ ἄχαρι.

ΦΑΙ. Τίνων δή;

ΣΩΚ. Εἰς μίαν τε ἰδέαν ξυνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα, ἵνα ἕκαστον ὁριζόμενος δῆλον ποιῇ, περὶ οὗ ἂν

Phae. Quid tandem dicis?

So. Contrariae videlicet erant; altera enim amanti dixit gratificandum esse, altera ab amore vacuo.

Phae. Et id quidem admodum viriliter.

So. Putaveram te verum esse dicturum, insane; attamen quod quaerebam, hoc ipsum est; insaniam enim quandam diximus Amorem esse; nonne?

Phae. Vero.

So. Insaniae autem duo esse genera, a morbis humanis unam, alteram a divina commutatione eorum, quae consuetudine sancita essent, proficiscentem.

Phae. Sane quidem.

So. Divinae vero quattuor partes ad quattuor deos pertinentes ita distinguentes, ut praesagientem afflatum Apollini tribueremus, Dionyso ad initia spectantem, Musis porro poeticam, et quartam Veneri Amorique, amatoriam insaniam diximus optimam esse, et nescio quomodo amatoriam affectionem oratione exprimentes — fortasse veri quid assequuti, fortasse alio abrepti — orationem haud plane incredibilem, mythicum quendam hymnum, offerentes celebravimus modeste et pie meum et tuum dominum Amorem, Phaedre, pulchrorum puerorum praesidem.

Phae. Et profecto mihi haud iniucunda illa erat ad audiendum.

So. Hoc igitur inde percipiamus, quomodo a vituperando ad laudandum potuerit oratio transire.

Phae. Quomodo autem hoc dicis?

So. Cetera quidem videmur revera per iocum lusisse, horum autem fortuito memoratorum generum si quis ipsam vim arte percipere possit, haud ingratum fore iudico.

Phae. Quorumnam?

So. Si ad unam formam, quam perspectam habeat, reducat multifariam dispersa, ut unumquodque definiens declaret, de quocumque docere velit; quem-

ἀεὶ διδάσκειν ἐθέλῃ· ὥσπερ τὰ νῦν δὴ περὶ Ἔρωτος, ὃ ἔστιν, ὁρισθέν, εἴτ' εὖ εἴτε κακῶς ἐλέχθη· τὸ γοῦν σαφὲς καὶ τὸ αὐτὸ αὐτῷ ὁμολογούμενον διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λόγος.

ΦΑΙ. Τὸ δ' ἕτερον δὴ εἶδος τί λέγεις, ὦ Σώκρατες;

ΣΩΚ. Τὸ πάλιν * κατ' εἴδη δύνασθαι διατέμνειν E κατ' ἄρθρα, ᾗ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδέν, κακοῦ μαγείρου τρόπῳ χρώμενον· ἀλλὰ ὥσπερ ἄρτι τὼ λόγω τὸ μὲν ἄφρον τῆς διανοίας ἕν τι κοινῇ εἶδος ἐλαβέτην, * ὥσπερ δὲ σώματος ἐξ ἑνὸς διπλᾶ καὶ ὁμώνυμα 266 πέφυκε, σκαιά, τὰ δὲ δεξιὰ κληθέντα, οὕτω καὶ τὸ τῆς παρανοίας ὡς ἓν ἐν ἡμῖν πεφυκὸς εἶδος ἡγησαμένω τὼ λόγω, ὁ μέν, τὸ ἐπ' ἀριστερὰ τεμνόμενος μέρος, πάλιν τοῦτο τέμνων οὐκ ἐπανῆκε, πρὶν ἐν αὐτοῖς ἐφευρὼν ὀνομαζόμενον σκαιόν τινα ἔρωτα ἐλοιδόρησε μάλ' ἐν δίκῃ, ὁ δ' εἰς τὰ δεξιὰ τῆς μανίας ἀγαγὼν ἡμᾶς, ὁμώνυμον μὲν ἐκείνῳ, θεῖον δ' αὖ τινὰ ἔρωτα ἐφευρὼν καὶ προ*τεινάμενος ἐπῄνεσεν ὡς μεγίστων ἡμῖν αἴτιον ἀγαθῶν. B

ΦΑΙ. Ἀληθέστατα λέγεις.

ΣΩΚ. Τούτων δὴ ἔγωγε αὐτός τε ἐραστής, ὦ Φαῖδρε, τῶν διαιρέσεων καὶ ξυναγωγῶν, ἵν' οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν, ἐάν τέ τιν' ἄλλον ἡγήσωμαι δυνατὸν εἰς ἓν καὶ ἐπὶ πολλὰ πεφυκότα ὁρᾶν, τοῦτον διώκω κατόπισθε μετ' ἴχνιον ὥστε θεοῖο· καὶ μέντοι καὶ τοὺς δυναμένους αὐτὸ δρᾶν, εἰ μὲν ὀρθῶς ἢ μὴ προσαγορεύω, θεὸς οἶδε, καλῶ δὲ οὖν μέχρι τοῦδε δια*λεκτικούς. τὰ δὲ C νῦν παρὰ σοῦ τε καὶ Λυσίου μαθόντας εἰπὲ τί χρὴ καλεῖν· ἢ τοῦτ' ἐκεῖνό ἐστιν ἡ λόγων τέχνη, ᾗ Θρασύμαχός τε καὶ οἱ ἄλλοι χρώμενοι σοφοὶ μὲν αὐτοὶ λέγειν γεγόνασιν, ἄλλους τε ποιοῦσιν, οἳ ἂν δωροφορεῖν αὐτοῖς ὡς βασιλεῦσιν ἐθέλωσιν;

ΦΑΙ. Βασιλικοὶ μὲν ἄνδρες, οὐ μὲν δὴ ἐπιστήμονές γε ὧν ἐρωτᾷς. ἀλλὰ τοῦτο μὲν τὸ εἶδος ὀρθῶς ἔμοιγε

admodum haec de Amore ratio, quia eius naturam definiverat, ſeu bene ſeu male dicta eſt, perſpicuum illud certe et ſibi ipſi conveniens iccirco potuit aſſequi.

Phae. Alterum vero genus quodnam dicis, Socrate?

So. Hoc, ſi quis rurſus ſecundum ſpecies poſſit illud diſcindere articulatim dividens, quantum natura fert, nec inſtituat confringere aliquam partem, mali coqui more, ſed ſicut modo orationes dementiam unam aliquam communem ſpeciem comprehenderunt, quemadmodum vero uno ex corpore duplicia et cognominia naſcuntur; ſiniſtra altera, altera dextra nominata, ſic etiam amentiam pro una nobis innata ſpecie habuerunt orationes, quarum una ſiniſtram dividens partem iterum hanc dividere non prius deſivit, quam in his invenit amorem quendam ſiniſtrum dictum, quem quidem merito ac iure vituperavit, altera vero ad dextras inſaniae partes nos ducens cognominem quidem illius, ſed divinum quendam amorem reperit et in medium protulit, quem ut maximorum nobis bonorum laudavit auctorem.

Phae. Veriſſime dicis.

So. Harum equidem, Phaedre, diviſionum et comprehenſionum et ipſe amator ſum, quo poſſim dicere et cogitare, et ſi quem alium exiſtimo unum et multa, ut natura ſunt, poſſe comprehendere, hunc ſector ut *pone ſequens veſtigia divi*, atque etiam eos, qui poſſunt hoc facere — num recte necne eos nuncupem, deus ſcit — certe adhuc appello dialecticos; nunc vero qui a te et Lyſia didicerunt, dic, quomodo hos oporteat appellari; an illud ipſum eſt ars oratoria, qua Thraſymachus ceterique utentes et ipſi periti exſtiterunt dicendi et alios efficiunt, quicumque munera ipſis offerre tamquam regibus geſtiunt?

Phae. Regii quidem ſunt viri, nec tamen ſcientes eorum quae quaeris. ac hanc quidem ſpeciem recte

δοκεῖς καλεῖν διαλεκτικὸν καλῶν, τὸ δὲ ῥητορικὸν δοκεῖ μοι δια*φεύγειν ἔθ' ἡμᾶς. D

ΣΩΚ. Πῶς φῄς; καλόν πού τι ἂν εἴη, ὃ τούτων ἀπολειφθὲν ὅμως τέχνῃ λαμβάνεται. πάντως δ' οὐκ ἀτιμαστέον αὐτὸ σοί τε καὶ ἐμοί, λεκτέον δέ, τί μέντοι καὶ ἔστι τὸ λειπόμενον τῆς ῥητορικῆς.

ΦΑΙ. Καὶ μάλα που συχνά, ὦ Σώκρατες, τά γ' ἐν τοῖς βιβλίοις τοῖς περὶ λόγων τέχνης γεγραμμένοις.

ΣΩΚ. Καὶ καλῶς γε ὑπέμνησας. προοίμιον μέν, οἶμαι, πρῶτον ὡς δεῖ τοῦ λόγου λέγεσθαι ἐν ἀρχῇ, ταῦτα λέγεις — ἦ γάρ; — τὰ κομψὰ * τῆς τέχνης; E

ΦΑΙ. Ναί.

ΣΩΚ. Δεύτερον δὲ δὴ διήγησίν τινα μαρτυρίας τε ἐπ' αὐτῇ, τρίτον τεκμήρια, τέταρτον εἰκότα· καὶ πίστωσιν οἶμαι καὶ ἐπιπίστωσιν λέγειν τόν γε βέλτιστον λογοδαίδαλον Βυζάντιον ἄνδρα.

ΦΑΙ. Τὸν χρηστὸν λέγεις Θεόδωρον;

ΣΩΚ. Τί μήν; καὶ ἔλεγχόν γε καὶ * ἐπεξέλεγχον ὡς 267 ποιητέον ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ. τὸν δὲ κάλλιστον Πάριον Εὐηνὸν εἰς μέσον οὐκ ἄγομεν, ὃς ὑποδήλωσίν τε πρῶτος εὗρε καὶ παρεπαίνους; οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρῳ λέγειν, μνήμης χάριν· σοφὸς γὰρ ἀνήρ. Τισίαν δὲ Γοργίαν τε ἐάσομεν εὕδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι διὰ ῥώμην λόγου, καινά τ' ἀρχαίως τά τ' ἐναντία καινῶς, B ξυντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνεῦρον; Ταῦτα δὲ ἀκούων ποτέ μου Πρόδικος ἐγέλασε καὶ μόνος αὐτὸς εὑρηκέναι ἔφη, ὧν δεῖ λόγων τέχνη· δεῖν δὲ οὔτε μακρῶν οὔτε βραχέων, ἀλλὰ μετρίων.

ΦΑΙ. Σοφώτατά γε, ὦ Πρόδικε.

mihi videris appellare dialecticam, rhetorica autem videtur mihi adhuc nos fugere.

So. Quomodo dicis? pulchrum fcilicet aliquid erit, quod ab illo derelictum arte tamen percipietur. prorfus autem non eft negligendum illud tibi et mihi, fed dicendum, quid tandem iftud fit quod relinquatur in rhetorica.

Phae. Permulta fane, Socrate, quae quidem in libris de arte oratoria fcriptis reperias.

So. Et praeclare quidem admones; exordium, opinor, primum effe dicendum in orationis initio, has dicis — nonne ita eft? — artis delicias?

Phae. Vero.

So. Deinde narrationem aliquam et praeterea teftimonia fubiicienda effe, tertio argumenta, quarto veri fimilia; etiam probationem opinor et approbationem memorare optimum illum artificem oratorium Byzantium virum.

Phae. Probumne dicis Theodorum?

So. Quidni? quin etiam refutationem et fuperrefutationem effe adhibendam tam in accufatione quam in defenfione. pulcherrimum vero Parium Evenum in medium non proferimus, qui fubdeclarationem primus invenit et laudationes fubficivas? funt qui ipfum dicant etiam reprehenfiones fubficivas verfibus tradere memoriae caufa; fapiens enim vir eft. Tifiam vero et Gorgiam dormire finemus, qui veris veri fimilia cognoverunt effe anteponenda, qui, ut pufilla magna et magna pufilla videantur, efficiunt vi orationis, itemque nova prifca et contraria nova, qui brevitatem orationum infinitasque longitudines cunctis de rebus invenerunt? Haec quondam ex me audiens Prodicus rifit et fe unum inveniffe dixit, quibus opus effet orationibus ex arte; opus videlicet effe neque longis neque brevibus, fed modicis.

Phae. Sapientiffime id quidem, Prodice.

ΣΩΚ. Ἱππίαν δὲ οὐ λέγομεν; οἶμαι γὰρ ἂν ξύμψηφον αὐτῷ καὶ τὸν Ἠλεῖον ξένον γενέσθαι.

ΦΑΙ. Τί δ' οὔ;

* ΣΩΚ. Τὰ δὲ Πώλου πῶς φράσομεν αὖ μουσεῖα λό- C
γων, ὃς διπλασιολογίαν καὶ γνωμολογίαν καὶ εἰκονολογίαν ὀνομάτων τε Λικυμνίων ἃ ἐκείνῳ ἐδωρήσατο, προςεποίησεν εὐεπείας *);

ΦΑΙ. Πρωταγόρεια δέ, ὦ Σώκρατες, οὐκ ἦν μέντοι τοιαῦτ' ἄττα;

ΣΩΚ. Ὀρθοέπειά γέ τις, ὦ παῖ, καὶ ἄλλα πολλὰ καὶ καλά. τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνῃ μοι φαίνεται τὸ τοῦ Χαλκηδονίου σθένος· ὀργίσαι τε αὖ πολλοὺς ἅμα δεινὸς ἀνὴρ γέγονε, καὶ πά*λιν ὠργισμένοις ἐπᾴδων κηλεῖν, ὡς D
ἔφη, διαβάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς ὁθενδὴ κράτιστος. Τὸ δὲ δὴ τέλος τῶν λόγων κοινῇ πᾶσιν ἔοικε ξυνδεδογμένον εἶναι, ᾧ τινὲς μὲν ἐπάνοδον, ἄλλοι δὲ ἄλλο τίθενται ὄνομα.

ΦΑΙ. Τὸ ἐν κεφαλαίῳ ἕκαστα λέγεις ὑπομνῆσαι ἐπὶ τελευτῆς τοὺς ἀκούοντας περὶ τῶν εἰρημένων;

ΣΩΚ. Ταῦτα λέγω καὶ εἴ τι σὺ ἄλλο ἔχεις εἰπεῖν λόγων τέχνης πέρι.

ΦΑΙ. Σμικρά γε καὶ οὐκ ἄξια λέγειν.

ΣΩΚ. Ἐῶμεν δὴ τά γε σμικρά, ταῦτα δὲ * ὑπ' αὐ- 268
γὰς μᾶλλον ἴδωμεν, τίνα καὶ πότ' ἔχει τὴν τῆς τέχνης δύναμιν.

ΦΑΙ. Καὶ μάλα ἐῤῥωμένην, ὦ Σώκρατες, ἔν γε δὴ πλήθους ξυνόδοις.

ΣΩΚ. Ἔχει γάρ· ἀλλ', ὦ δαιμόνιε, ἴδε καὶ σύ, εἰ ἄρα καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῶν τὸ ἤτριον, ὥσπερ ἐμοί.

ΦΑΙ. Δείκνυε μόνον.

ΣΩΚ. Εἰπὲ δή μοι· εἴ τις προςελθὼν τῷ ἑταίρῳ

---

*) Ἴσ. ὀνομάτων τε Λικυμνιείων προςεποιήσατο εὐεπείας;

So. Hippiam vero non memoramus? arbitror enim in eadem, atque illum, ſententia Eleum quoque hoſpitem fuiſſe.

Phae. Sane quidem.

So. Poli autem quomodo dicemus muſea loquendi, qui dupliciloquentiam et ſententiloquentiam et ſimililoquentiam nominumque Licymnieorum ad ſe vindicavit venuſtates?

Phae. Protagorea vero, Socrate, nonne huiusmodi fere erant?

So. Recta quaedam eloquutio, o fili, aliaque multa plura. orationum vero miſerabiliter ingemiſcentium, ad ſenectutem et paupertatem tractarum, arte ſuperaſſe mihi videtur Chalcedonii robur; ira porro accendere multos ſimul valuit vir iratosque incantando rurſus placare, ut dicebat, ad invidiam conflandam conflatamque exſtinguendam quovis modo potentiſſimus. De orationum autem fine communis omnium videtur ſententia eſſe, cui nonnulli repetitionem, alii aliud ponunt nomen.

Phae. Dicisne, ſummatim ad ſingulorum quae dicta ſint memoriam auditorum animos in fine eſſe revocandos?

So. Hoc dico et ſi quid aliud habes memorare de arte oratoria.

Phae. Minuta nec digna quae memorentur.

So. Mittamus igitur minuta illa, haec vero ad ſolem magis ſpectemus, quem et quando habeant artis effectum.

Phae. Validiſſimum ſane, Socrate, in multitudinis quidem coetibus.

So. Habent vero, ſed, o bone, conſidera etiam tu ipſe, numquid tibi quoque videatur hiare ipſorum tela, ſicut mihi.

Phae. Oſtende modo.

So. Dic igitur mihi: ſi quis accedens ad amicum

σοῦ Ἐρυξιμάχῳ ἢ τῷ πατρὶ αὐτοῦ Ἀκουμενῷ εἴποι ὅτι Ἐγὼ ἐπίσταμαι τοιαῦτ' ἄττα σώμασι προςφέρειν, ὥςτε θερ*μαίνειν τε ἐὰν βούλωμαι καὶ ψύχειν, καὶ ἐὰν μὲν δόξῃ B μοι, ἐμεῖν ποιεῖν, ἐὰν δ' αὖ, κάτω διαχωρεῖν, καὶ ἄλλα πάμπολλα τοιαῦτα, καὶ ἐπιστάμενος αὐτὰ ἀξιῶ ἰατρὸς εἶναι καὶ ἄλλον ποιεῖν, ᾧ ἂν τὴν τούτων ἐπιστήμην παραδῶ· τί ἂν οἴει ἀκούσαντας εἰπεῖν;

ΦΑΙ. Τί δ' ἄλλο γε ἢ ἔρεσθαι, εἰ προςεπίσταται καὶ οὕςτινας δεῖ καὶ ὁπότε ἕκαστα τούτων ποιεῖν καὶ μέχρι ὁπόσου;

ΣΩΚ. Εἰ οὖν εἴποι ὅτι Οὐδαμῶς, ἀλλ' ἀξιῶ τὸν ταῦτα παρ' ἐμοῦ μαθόν*τα αὐτὸν οἷόν τ' εἶναι ποιεῖν ἃ C ἐρωτᾷς;

ΦΑΙ. Εἴποι ἄν, οἶμαι, ὅτι Μαίνεται ἄνθρωπος, καὶ ἐκ βιβλίου ποθὲν ἀκούσας ἢ περιτυχὼν φαρμακείοις ἰατρὸς οἴεται γεγονέναι, οὐδὲν ἐπαΐων τῆς τέχνης.

ΣΩΚ. Τί δ', εἰ Σοφοκλεῖ αὖ προςελθὼν καὶ Εὐριπίδῃ τις λέγοι, ὡς ἐπίσταται περὶ σμικροῦ πράγματος ῥήσεις παμμήκεις εἰπεῖν καὶ περὶ μεγάλου πάνυ σμικράς, ὅταν τε βούληται, οἰκτρὰς καὶ τοὐναντίον αὖ φοβερὰς καὶ ἀπειλητικάς, ὅσα τ' * ἄλλα τοιαῦτα, καὶ διδάσκων αὐτὰ D τραγῳδίας ποίησιν οἴεται παραδιδόναι;

ΦΑΙ. Καὶ οὗτοι ἄν, ὦ Σώκρατες, οἶμαι, καταγελῷεν, εἴ τις οἴεται τραγῳδίαν ἄλλο τι εἶναι ἢ τὴν τούτων ξύστασιν, πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ ξυνισταμένην.

ΣΩΚ. Ἀλλ' οὐκ ἂν ἀγροίκως γε, οἶμαι, λοιδορήσειαν, ἀλλ' ὥςπερ ἂν μουσικὸς ἐντυχὼν ἀνδρὶ οἰομένῳ ἁρμονικῷ εἶναι, ὅτι δὴ τυγχάνει ἐπιστάμενος ὡς οἷόν τε ὀξυτάτην καὶ βαρυτάτην χορδὴν ποιεῖν, οὐκ ἀγρί*ως εἴποι ἄν E Ὦ μοχθηρέ, μελαγχολᾷς, ἀλλ' ἅτε μουσικὸς ὢν πρᾳότερον ὅτι Ὦ ἄριστε, ἀνάγκη μὲν καὶ ταῦτ' ἐπίστασθαι τὸν μέλλοντα ἁρμονικὸν ἔσεσθαι, οὐδὲν μὴν κωλύει μηδὲ

tuum Eryximachum eiusve patrem Acumenum dicat: Ego ſcio huiusmodi quaedam corpori adhibere, ut et calefaciam, ſi voluerim, et refrigerem, et ſi viſum mihi ſit, vomere rurſusque per inferiores partes excerni faciam, et alia eiusmodi permulta, horumque ſciens me cenſeo medicum eſſe aliumque quemvis facere, cui illorum ſcientiam impertiam: quid ipſos exiſtimas his auditis repoſituros eſſe?

Phae. Quid aliud niſi interrogaturos eſſe, num etiam ſciat, in quibus, quando quidque et quoad facere oporteat?

So. Quodſi dicat: Minime vero, ſed exiſtimo eum, qui illa a me didicerit, per ſe poſſe id praeſtare quod interrogas?

Phae. Dicent, opinor: Inſanit homo et quod e libro quopiam perceperit vel caſu invenerit remedia quaedam, medicum ſe putat factum eſſe, nequaquam intelligens quum ſit artis.

So. Quid vero, ſi ad Sophoclem aliquis accedens vel ad Euripidem dicat, ſe ſcire de re levi orationes admodum longas habere et de magna valde breves, porro, ſi voluerit, lamentabiles itemque contra terribiles ac minaces et quae alia ſunt generis eiusdem, et haec docentem ſe exiſtimare tragoediae poeſin tradere?

Phae. Hi quoque, Socrate, ut opinor, ridebunt, ſi quis cenſeat tragoediam aliud quid eſſe quam illorum compoſitionem ita factam, ut ſingula inter ſe et toti conveniant.

So. At vero non agreſti, opinor, more increpabunt, ſed, ſicut muſicus in hominem incidens putantem harmoniae ſe eſſe ſcientem, quia ſciat videlicet quam acutiſſimam et graviſſimam chordam efficere, non acerbe dicet: Atra bili, improbe, percitus es, ſed ut muſicus lenius: Neceſſe quidem eſt, mi optime, etiam haec ſcire eum, qui harmoniae intelligens eſſe velit, nihil ta-

σμικρὸν ἁρμονίας ἐπαΐειν τὸν τὴν σὴν ἕξιν ἔχοντα· τὰ γὰρ πρὸ ἁρμονίας ἀναγκαῖα μαθήματα ἐπίστασαι, ἀλλ' οὐ τὰ ἁρμονικά.

ΦΑΙ. Ὀρθότατά γε.

* ΣΩΚ. Οὐκοῦν καὶ ὁ Σοφοκλῆς τόν σφισιν ἐπιδει- 269
κνύμενον τὰ πρὸ τραγῳδίας ἂν φαίη, ἀλλ' οὐ τὰ τραγικά, καὶ ὁ Ἀκουμενὸς τὰ πρὸ ἰατρικῆς, ἀλλ' οὐ τὰ ἰατρικά;

ΦΑΙ. Παντάπασι μὲν οὖν.

ΣΩΚ. Τί δὲ τὸν μελίγηρυν Ἄδραστον οἰόμεθα ἢ καὶ Περικλέα, εἰ ἀκούσειαν, ὧν νῦν δὴ ἡμεῖς διῇμεν τῶν παγκάλων τεχνημάτων, βραχυλογιῶν τε καὶ εἰκονολογιῶν καὶ ὅσα ἄλλα διελθόντες ὑπ' αὐγὰς ἔφαμεν εἶναι σκεπτέα, πότερον χαλεπῶς ἂν αὐτούς, ὥςπερ * ἐγώ τε καὶ σύ, B
ὑπ' ἀγροικίας ῥῆμά τι εἰπεῖν ἀπαίδευτον εἰς τοὺς ταῦτα γεγραφότας τε καὶ διδάσκοντας ὡς ῥητορικὴν τέχνην, ἤ, ἅτε ἡμῶν ὄντας σοφωτέρους, κἂν νῷν ἐπιπλῆξαι εἰπόντας Ὦ Φαῖδρέ τε καὶ Σώκρατες, οὐ χρὴ χαλεπαίνειν, ἀλλὰ ξυγγιγνώσκειν, εἴ τινες μὴ ἐπιστάμενοι διαλέγεσθαι ἀδύνατοι ἐγένοντο ὁρίσασθαι τί ποτε ἔστιν ἡ ῥητορική· ἐκ δὲ τούτου τοῦ πάθους τὰ πρὸ τῆς τέχνης ἀναγκαῖα μαθήματα ἔχοντες ῥητορικὴν ᾠήθησαν εὑρη*κέναι, καὶ C
ταῦτα δὴ διδάσκοντες ἄλλους ἡγοῦνταί σφισι τελέως ῥητορικὴν δεδιδάχθαι, τὸ δὲ ἕκαστα τούτων πιθανῶς λέγειν τε καὶ τὸ ὅλον ξυνίστασθαι, οὐδὲν ἔργον, αὐτοὺς δεῖν παρ' ἑαυτῶν τοὺς μαθητάς σφων πορίζεσθαι ἐν τοῖς λόγοις.

ΦΑΙ. Ἀλλὰ μήν, ὦ Σώκρατες, κινδυνεύει γε τοιοῦτόν τι εἶναι τὸ τῆς τέχνης, ἣν οὗτοι οἱ ἄνδρες ὡς ῥητορικὴν διδάσκουσί τε καὶ γράφουσι, καὶ ἔμοιγε δοκεῖς ἀληθῆ εἰρηκέναι. ἀλλὰ δὴ τὴν τοῦ τῷ ὄντι ῥητορικοῦ τε καὶ * πιθανοῦ τέχνην πῶς καὶ πόθεν ἄν τις δύναιτο D
πορίσασθαι;

ΣΩΚ. Τὸ μὲν δύνασθαι, ὦ Φαῖδρε, ὥςτε ἀγωνιστὴν τέλεον γενέσθαι, εἰκός, ἴσως δὲ καὶ ἀναγκαῖον, ἔχειν ὥςπερ τἆλλα· εἰ μέν σοι ὑπάρχει φύσει ῥητορικῷ

men obſtat, quominus ne imbutus quidem ſit harmonia is, qui tuam habet facultatem; etenim quae ante harmoniam diſci neceſſe eſt, haec tu ſcis, non ipſa harmonica.

Phae. Rectiſſime vero.

So. Nonne etiam Sophocles eum, qui illud ipſi doctrinae ſpecimen det, dicet intelligere, quae ante tragoediam ſciri neceſſe ſit, non ipſa tragica, et Acumenus, quae ante medicinam oporteat ſciri, non ipſa medica?

Phae. Prorſus ita.

So. Quid vero ſuaviloquentem Adraſtum arbitramur vel Periclem, ſi audierint, quae nunc commemoravimus bella artificia, breviloquentias et ſimililoquentias et quae alia perſequuti ad ſolem diximus ſpectanda eſſe, utrum acerbe ipſos, ſicut me et te, prae ruſticitate dictum aliquod dicturos incultum in eos, qui haec ſcripſerunt et docent tamquam artem rhetoricam, an, quippe nobis ſapientiores, etiam nos caſtigaturos eſſe dicentes: O Phaedre et Socrates, non convenit ſaevire, ſed ignoſcere, ſi qui neſcientes diſſerere nequeant definire quid ſit rhetorica; quo fit ut, quae ante artem ſciri neceſſe eſt, tenentes continuo ſe rhetoricam arbitrentur inveniſſe, et haec ſcilicet ſi alios docuerint, exiſtiment perfecte illis rhetoricam eſſe traditam, illud vero, quomodo quidque ad perſuadendum appoſite dicatur totumque componatur, quippe quod nihil ſit negotii, ſibi ipſos debere per ſe diſcipulos ſuos acquirere in orationibus.

Phae. Enimvero, Socrate, videtur huiusmodi eſſe artificium illud, quod hi viri ut rhetoricam et docent et ſcriptis tradunt, et mihi quidem videris vera dixiſſe; at vere rhetorici et ad perſuadendum accommodati artem quomodo et unde quisquam poſſit ſibi acquirere?

So. Si quaeris, Phaedre, quomodo quisquam poſſit orator perfectus exſiſtere, veriſimile, fortaſſe etiam neceſſe eſt, eandem huius rei rationem eſſe atque cete-

εἶναι, ἔσει ῥήτωρ ἐλλόγιμος, προςλαβὼν ἐπιστήμην τε καὶ μελέτην· ὅτου δ' ἂν ἐλλίπῃς τούτων, ταύτῃ ἀτελὴς ἔσει· ὅσον δὲ αὐτοῦ τέχνη, οὐχ ᾗ Λυσίας καὶ Θρασύμαχος πορεύεται, δοκεῖ μοι φαίνεσθαι ἡ μέθοδος.

ΦΑΙ. Ἀλλὰ πῇ δή;

ΣΩΚ. Κιν*δυνεύει, ὦ ἄριστε, εἰκότως ὁ Περικλῆς E
πάντων τελεώτατος εἰς τὴν ῥητορικὴν γενέσθαι.

ΦΑΙ. Τί δή;

ΣΩΚ. Πᾶσαι ὅσαι μεγάλαι τῶν τεχνῶν, προςδέονται
ἀδολεσχίας * καὶ μετεωρολογίας φύσεως πέρι· τὸ γὰρ ὑψη- 270
λόνουν τοῦτο καὶ τὸ πάντῃ τελεσιουργὸν ἔοικεν ἐντεῦθέν ποθεν εἰςιέναι· ὃ καὶ Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο. προςπεσὼν γάρ, οἶμαι, τοιούτῳ ὄντι Ἀναξαγόρᾳ, μετεωρολογίας ἐμπλησθεὶς καὶ ἐπὶ φύσιν νοῦ τε καὶ ἀνοίας ἀφικόμενος, ὧν δὴ πέρι τὸν πολὺν λόγον ἐποιεῖτο Ἀναξαγόρας, ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέχνην τὸ πρόςφορον αὐτῇ.

ΦΑΙ. Πῶς τοῦτο λέγεις;

*ΣΩΚ. Ὁ αὐτός που τρόπος τέχνης ῥητορικῆς, ὥς- B
περ καὶ ἰατρικῆς.

ΦΑΙ. Πῶς δή;

ΣΩΚ. Ἐν ἀμφοτέραις δεῖ διελέσθαι φύσιν, σώματος μὲν ἐν τῇ ἑτέρᾳ, ψυχῆς δὲ ἐν τῇ ἑτέρᾳ, εἰ μέλλεις μὴ τριβῇ μόνον καὶ ἐμπειρίᾳ, ἀλλὰ τέχνῃ τῷ μὲν φάρμακα καὶ τροφὴν προςφέρων ὑγίειαν καὶ ῥώμην ἐμποιήσειν, τῇ δὲ λόγους τε καὶ ἐπιτηδεύσεις νομίμους πειθὼ ἣν ἂν βούλῃ καὶ ἀρετὴν παραδώσειν.

ΦΑΙ. Τὸ γοῦν εἰκός, ὦ Σώκρατες, οὕτως.

ΣΩΚ. Ψυχῆς οὖν * φύσιν ἀξίως λόγου κατανοῆσαι C
οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως;

ΦΑΙ. Εἰ μὲν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ

rarum: ſi tibi naturâ ſubeſt indoles rhetorica, eris rhetor nobilis, quum adiunxeris doctrinam et exercitationem; in quocunque horum defeceris, in eo imperfectus eris; quantum autem huius rei ars eſt, hoc non ea, qua Lyſias et Thraſymachus proficiſcuntur, via videtur mihi patefieri.

Phae. Qua tandem alia?

So. Videtur, mi optime, revera Pericles omnium perfectiſſimus in rhetorica exſtitiſſe.

Phae. Quî tandem?

So. Omnes quae magnae ſunt artes adhibeant neceſſe eſt abstruſiorem disputationem ſublimioremque naturae perſcrutationem; nam celſum illud omniumque efficiens videtur inde influere. quod quidem Pericles quoque ad bonam indolem ſibi comparaverat. quum enim incidiſſet, ni fallor, in Anaxagoram huiusmodi virum ingenii, ſublimi perſcrutatione impletus et ad naturam rationis eiusque, quod rationis expers eſt, progreſſus, de quibus videlicet copioſius disputabat Anaxagoras, hinc traduxit ad artem oratoriam quod ei conveniret.

Phae. Quomodo hoc dicis?

So. Eadem haud dubie ratio eſt artis oratoriae, quae medicae.

Phae. Quomodo?

So. In utraque oportet distingui naturam, corporis in una, in altera animi, ſi vis non exercitatione tantum et experientia, ſed arte illi quidem medicamentis et alimento adhibitis ſanitatem et robur iniicere, huic vero orationibus inſtitutisque legitimis adhibitis perſuaſionem quamcumque placuerit atque virtutem tradere.

Phae. Veri ſimile, Socrate, id quidem eſt.

So. Iam animi naturam num cenſes inſigniter perſpici poſſe ſine univerſi natura?

Phae. Si quidem Hippocrati ab Aſclepiadis ori-

τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης.

ΣΩΚ. Καλῶς γάρ, ὦ ἑταῖρε, λέγει· χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντα σκοπεῖν εἰ ξυμφωνεῖ.

ΦΑΙ. Φημί.

ΣΩΚ. Τὸ τοίνυν περὶ φύσεως σκόπει τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος. Ἆρ' οὐχ ὧδε χρὴ διανοεῖ*σθαι περὶ ὁτουοῦν φύσεως, πρῶτον μέν, ἁπλοῦν ἢ D
πολυειδές ἐστιν, οὗ πέρι βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοὶ καὶ ἄλλους δυνατοὶ ποιεῖν, ἔπειτα δέ, ἐὰν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχειν, ἢ τίνα εἰς τὸ παθεῖν ὑπὸ τοῦ, ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησάμενον, ὅπερ ἐφ' ἑνός, τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου, ὅτῳ τί ποιεῖν αὐτὸ πέφυκεν ἢ ὅ τι παθεῖν ὑπὸ τοῦ *);

ΦΑΙ. Κινδυνεύει, ὦ Σώκρατες.

ΣΩΚ. Ἡ γοῦν ἄνευ τούτων μέθοδος ἐοίκοι ἂν ὥσπερ
*τυφλοῦ πορείᾳ. ἀλλ' οὐ μὴν ἀπεικαστέον τόν γε τέχνῃ μετιόν- E
τα ὁτιοῦν τυφλῷ οὐδὲ κωφῷ, ἀλλὰ δῆλον ὡς ἄν τῳ τις τέχνην λόγων **) διδῷ, τὴν οὐσίαν δείξει ἀκριβῶς τῆς φύσεως τούτου, πρὸς ὃ τοὺς λόγους προσοίσει· ἔσται δέ που ψυχὴ τοῦτο.

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Οὐκοῦν ἡ ἅμιλλα αὐτῷ τέταται * πρὸς τοῦτο 271
πᾶσα· πειθὼ γὰρ ἐν τούτῳ ποιεῖν ἐπιχειρεῖ· ἦ γάρ;

ΦΑΙ. Ναί.

ΣΩΚ. Δῆλον ἄρα ὅτι ὁ Θρασύμαχός τε καὶ ὃς ἂν ἄλλος σπουδῇ τέχνην ῥητορικὴν διδῷ, πρῶτον πάσῃ ἀκριβείᾳ γράψει τε καὶ ποιήσει ψυχὴν ἰδεῖν, πότερον ἓν καὶ ὅμοιον πέφυκεν, ἢ κατὰ σώματος μορφὴν πολυειδές· τοῦτο γάρ φαμεν φύσιν εἶναι δεικνύναι.

ΦΑΙ. Παντάπασι μὲν οὖν.

ΣΩΚ. Δεύτερον δέ γε, ὅτῳ τί ποιεῖν ἢ ὅ τι ***) παθεῖν ὑπὸ τοῦ πέφυκεν.

---

*) γρ. τὸ τί — ἢ τὸ τί.
**) γρ. τέχνῃ λόγους.
***) γρ. ἢ παθεῖν.

undo fides habenda est, ne corpus quidem nisi hac adhibita ratione.

So. Praeclare, o amice, dicit; oportet tamen praeter Hippocratem rationem examinari atque considerari num consentiat.

Phae. Aio.

So. De natura igitur vide quid dicant Hippocrates rectaque ratio. Nonne ita oportet explicari cuiuslibet rei naturam, primo, simplex sit an multiforme id, in quo voluerimus et ipsi artificiosi esse et ad alios efficiendos idonei; deinde, si simplex sit, eius vim explorari, quid cuique naturâ possit facere et quid a quoque pati; sin plures species habeat, has numerari, et ut in uno, ita in singulis considerari, quid cuique facere et quid a quoque pati naturâ possint.

Phae. Ita videtur esse, Socrate.

So. Via et ratio certe, haec si negligantur, similis erit quasi caeci itineri; nequaquam vero par est comparari eum, qui arte quicquam tractet, caeco vel surdo, sed perspicuum est, qui alteri artem oratoriam tradat, accurate ostensurum esse veram eius naturam, cui orationes sit adhibiturus; et hoc scilicet animus erit.

Phae. Quidni?

So. Itaque certatio ipsius ad hoc spectat omnis; persuasionem enim in hoc efficere conatur; num tibi videtur?

Phae. Videtur vero.

So. Patet igitur Thrasymachum et quicumque alius serio artem velit oratoriam tradere, primo omni adhibita diligentia descripturum et in conspectu positurum esse animum, ut appareat, utrum unus ac similis naturâ sit, an ad corporis figuram multiformis; hoc enim dicimus naturam esse ostendere.

Phae. Ita prorsus.

So. Deinde, quid cuique facere et quid a quoque pati naturâ possit.

ΦΑΙ. Τί μήν;

ΣΩΚ. * Τρίτον δὲ δή, διαταξάμενος τὰ λόγων τε καὶ ψυ- B
χῆς γένη καὶ τὰ τούτων παθήματα, δίεισι πάσας αἰτίας, προς-
αρμόττων ἕκαστον ἑκάστῳ καὶ διδάσκων, οἵα οὖσα ὑπ' οἵων
λόγων δι' ἣν αἰτίαν ἐξ ἀνάγκης ἡ μὲν πείθεται, ἡ δὲ ἀπειθεῖ.

ΦΑΙ. Κάλλιστα γοῦν ἄν, ὡς ἔοικ', ἔχοι οὕτως.

ΣΩΚ. Οὕτοι μὲν οὖν, ὦ φίλε, ἄλλως ἐνδεικνύμενον
ἢ λεγόμενον τέχνῃ ποτὲ γραφήσεται ἢ λεχθήσεται οὔτε τι
ἄλλο οὔτε τοῦτο· ἀλλ' οἱ νῦν γράφοντες, ὧν σὺ * ἀκή- C
κοας, τέχνας λόγων πανοῦργοί εἰσι καὶ ἀποκρύπτονται, εἰ-
δότες ψυχῆς πέρι παγκάλως. πρὶν ἂν οὖν τὸν τρόπον τοῦ-
τον λέγωσί τε καὶ γράφωσι, μὴ πειθώμεθ' αὐτοῖς τέχνῃ
γράφειν.

ΦΑΙ. Τίνα τοῦτον;

ΣΩΚ. Αὐτὰ μὲν τὰ ῥήματα εἰπεῖν οὐκ εὐπετές, ὡς
δὲ δεῖ γράφειν, εἰ μέλλει τεχνικῶς ἔχειν, καθ' ὅσον ἐνδέχε-
ται, λέγειν ἐθέλω.

ΦΑΙ. Λέγε δή.

ΣΩΚ. Ἐπειδὴ ἡ λόγου δύναμις τυγχάνει ψυχαγωγία
οὖσα, τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι * ἀνάγκη εἰδέναι, D
ψυχὴ ὅσα εἴδη ἔχει. ἔστιν οὖν τόσα καὶ τόσα, καὶ τοῖα καὶ
τοῖα, ὅθεν οἱ μὲν τοιοίδε, οἱ δὲ τοιοίδε γίγνονται. τούτων
δὲ οὕτω διῃρημένων, λόγων αὖ τόσα καὶ τόσα ἔστιν εἴδη,
τοιόνδε δὲ ἕκαστον. οἱ μὲν οὖν τοιοίδε ὑπὸ τῶν τοιῶνδε
λόγων διὰ τήνδε τὴν αἰτίαν εἰς τὰ τοιάδε εὐπειθεῖς, οἱ δὲ
τοιοίδε διὰ τάδε δυσπειθεῖς. δεῖ δὴ ταῦτα ἱκανῶς νοήσαν-
τα, μετὰ ταῦτα θεώμενον αὐτὰ ἐν ταῖς πράξεσιν ὄντα τε
καὶ πραττόμενα, ὀξέως τῇ αἰσθήσει δύνα*σθαι ἐπακολου- E
θεῖν, ἢ μηδέν πω *) εἰδέναι πλέον αὐτῶν ὧν τότε ἤκουε
λόγων ξυνών. ὅταν δὲ εἰπεῖν τε ἱκανὸς ἔχῃ, οἷος ὑφ' οἵων
πείθεται, παραγιγνόμενόν τε δυνατὸς ᾖ διαισθανόμενος
ἑαυτῷ ἐνδείκνυσθαι ὅτι οὗτός ἐστι * καὶ αὕτη ἡ φύσις, 272
περὶ ἧς τότε ἦσαν οἱ λόγοι, νῦν ἔργῳ παροῦσα, ᾗ προς-
οιστέον τούσδε ὧδε τοὺς λόγους ἐπὶ τὴν τῶνδε πειθώ·
ταῦτα δὲ ἤδη πάντ' ἔχοντι, προσλαβόντι καιροὺς τοῦ πότε

*) γρ. μηδὲ εἰδέναι πω.

Phae. Quidni?

So. Tertio, difpofitis orationum et animi generibus eorumque affectionibus, perfequetur omnes caufas, fuam cuique adiungens atque docens, qualis animus qualibus orationibus quam ob caufam neceffario vel in perfuafionem adducatur vel non adducatur.

Phae. Optime fane, amice, ut patet, fe fic habebit.

So. Neque tamen, amice, umquam, quod aliter oftenditur vel dicitur, artificiofe fcribetur vel dicetur, nec aliud quicquam nec hoc; at qui nunc artes oratorias componunt, quos quidem tu audifti, callidi funt et occultant fcientiam quam habent animi oppido pulchram. priusquam igitur hoc modo et dicant et fcribant, ne credamus artificiofe eos fcribere.

Phae. Quonam tandem modo?

So. Ipfis quidem verbis haud proclive hoc expofitu eft; quomodo autem fcribendum fit, fi artificiofum fit futurum, quoad eius fieri poteft, dicere volo.

Phae. Dic fane.

So. Quum orationis vis ductus quidam animi fit, eum, qui rhetoricus fit futurus, oportet fcire, animus quot fpecies habeat. funt vero tot et tales, unde hi tales, illi tales exfiftunt. haec fi ita diftincta funt, orationum quoque tot funt fpecies et talis unaquaeque. iam tales talibus orationibus hanc ob caufam ad hoc faciles funt adductu, tales vero hanc ob caufam difficiles. oportet igitur eum, his fatis perfpectis, deinde ipfa fpectantem in rebus gerendis, quomodo fint et gerantur, acriter perceptione poffe affequi; alioqui nihildum fciet praeter ea, quae olim audiverit magiftro ufus. quum vero fatis poteft dicere, qualis qualibus in perfuafionem adducatur, praesentemque perfpiciens fibi ipfe poteft monftrare, hunc effe et hanc naturam, de qua tum verba fint facta, nunc revera in promptu pofitam, cui adhibendae fint hae orationes hoc modo, ut hoc ipfi perfuadeat: quum haec iam omnia tenet adiunxitque oppor-

λεκτέον καὶ ἐπισχετέον, βραχυλογίας τε αὖ καὶ ἐλεινολογίας καὶ δεινώσεως ἑκάστων τε ὅσ᾽ ἂν εἴδη μάθῃ λόγων, τούτων τὴν εὐκαιρίαν τε καὶ ἀκαιρίαν διαγνόντι, καλῶς τε καὶ τελέως ἐστὶν ἡ τέχνη ἀπειργασμένη, πρότερον δ᾽ οὔ· ἀλλ᾽ ὅ τι ἄν τις αὐτῶν * ἐλλείπῃ λέγων ἢ διδάσκων ἢ γράφων, B
φῇ δὲ τέχνῃ λέγειν, ὁ μὴ πειθόμενος κρατεῖ. Τί δὴ οὖν; φήσει ἴσως ὁ ξυγγραφεύς, ὦ Φαῖδρέ τε καὶ Σώκρατες, δοκεῖ οὕτως ἢ ἄλλως πως ἀποδεκτέον λεγομένης λόγων τέχνης;

ΦΑΙ. Ἀδύνατόν που, ὦ Σώκρατες, ἄλλως· καίτοι οὐ σμικρόν γε φαίνεται ἔργον.

ΣΩΚ. Ἀληθῆ λέγεις. τούτου τοι ἕνεκα χρὴ πάντας τοὺς λόγους ἄνω καὶ κάτω μεταστρέφοντα ἐπισκοπεῖν, εἴ τίς πῃ ῥᾴων καὶ βρα*χυτέρα φαίνεται ἐπ᾽ αὐτὴν ὁδός, ἵνα C
μὴ μάτην πολλὴν ἀπίῃ καὶ τραχεῖαν, ἐξὸν ὀλίγην τε καὶ λείαν. Ἀλλ᾽ εἴ τινά πῃ βοήθειαν ἔχεις, ἐπακηκοὼς Λυσίου ἤ τινος ἄλλου, πειρῶ λέγειν ἀναμιμνησκόμενος.

ΦΑΙ. Ἕνεκα μὲν πείρας ἔχοιμ᾽ ἄν, ἀλλ᾽ οὔ τι νῦν γ᾽ οὕτως ἔχω.

ΣΩΚ. Βούλει οὖν ἐγώ τιν᾽ εἴπω λόγον ὃν τῶν περὶ ταῦτά τινων ἀκήκοα;

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Λέγεται γοῦν, ὦ Φαῖδρε, δίκαιον εἶναι καὶ τὸ τοῦ λύκου εἰπεῖν.

*ΦΑΙ. Καὶ σύ γε οὕτω ποίει. D

ΣΩΚ. Φασὶ τοίνυν, οὐδὲν οὕτω ταῦτα δεῖν σεμνύνειν οὐδ᾽ ἀνάγειν ἄνω μακρὰν περιβαλλομένους· παντάπασι γάρ, ὃ καὶ κατ᾽ ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι δικαίων ἢ ἀγαθῶν πέρι πραγμάτων ἢ καὶ ἀνθρώπων γε τοιούτων φύσει ὄντων ἢ τροφῇ τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν ἔσεσθαι· τὸ παράπαν γὰρ οὐδὲν ἐν τοῖς δικαστηρίοις τούτων ἀληθείας μέλειν οὐδενί, ἀλλὰ τοῦ πιθανοῦ· τοῦτο * δ᾽ εἶναι τὸ εἰκός, E

tunitatum cognitionem, quando dicendum et insistendum, itemque breviloquentiae, miserationis, vis ceterarumque quas didicit orationis formarum tempus et opportunum et inopportunum cognovit, tum pulchre et perfecte ars est confecta, prius vero nullo modo, sed in quocumque illorum aliquis deest, dicens vel docens vel scribens, ait tamen se artificiose dicere, qui fidem ei nullam habet, huius sententia vincit. Quid igitur? dixerit fortasse scriptor, o Phaedre et Socrate, videtur haec an alia quaepiam amplexanda esse quae dicitur ars dicendi?

Phae. Nequaquam, Socrate, alia; quamquam haud leve videtur negotium.

So. Verum dicis. hanc vero ob causam oportet nos omnes orationes sursum et deorsum vertendo dispicere, num quae facilior ac brevior compareat ad ipsam via, ut ne frustra longa commees atque aspera, quum exigua mollisque in promptu sit. At si quid subsidii audisti a Lysia vel alio quopiam, conare dicere eius recordans.

Phae. De conatu quidem, dicere possem, minime vero nunc quidem sic possum.

So. Visne orationem aliquam referam, quam a quibusdam eorum qui in hoc versantur audivi?

Phae. Quidni velim?

So. Dicitur certe, Phaedre, iustum esse etiam lupum audire.

Phae. Et tu quidem ita fac.

So. Dicunt igitur, non esse quod haec tanto opere extollantur alteque repetantur longa circuitione; omnino enim, quod etiam initio diximus huius quaestionis, haud necesse essə veram habere cognitionem iustarum vel bonarum rerum vel etiam hominum naturâ ita comparatorum vel institutione factorum eum qui idoneus velit rhetor exsistere; in universum enim nihil in iudiciis harum rerum veritatem quemquam curare, sed probabilitatem; hoc autem esse veri simile, cuius ratio ha-

ᾧ δεῖν προςέχειν τὸν μέλλοντα τέχνῃ ἐρεῖν. οὐδὲ γὰρ αὐτὰ τὰ πραχθέντα δεῖν λέγειν ἐνίοτε, ἐὰν μὴ εἰκότως ᾖ πεπραγμένα, ἀλλὰ τὰ εἰκότα, ἔν τε κατηγορίᾳ καὶ ἀπολογίᾳ, καὶ πάντως λέγοντα τὸ δὴ εἰκὸς διωκτέον εἶναι, πολλὰ εἰπόντα χαίρειν τῷ ἀληθεῖ· * τοῦτο γὰρ διὰ παντὸς τοῦ λόγου 273
γιγνόμενον τὴν ἅπασαν τέχνην πορίζειν.

ΦΑΙ. Αὐτά γε, ὦ Σώκρατες, διελήλυθας ἃ λέγουσιν οἱ περὶ τοὺς λόγους τεχνικοὶ προςποιούμενοι εἶναι· ἀνεμνήσθην γὰρ ὅτι ἐν τῷ πρόσθεν βραχέως τοῦ τοιούτου ἐφηψάμεθα· δοκεῖ δὲ τοῦτο πάμμεγα εἶναι τοῖς περὶ ταῦτα.

ΣΩΚ. Ἀλλὰ μὴν τόν γε Τισίαν αὐτὸν πεπάτηκας ἀκριβῶς· εἰπέτω τοίνυν καὶ τόδε ἡμῖν ὁ Τισίας, μή τι ἄλλο λέγει τὸ εἰκὸς * ἢ τὸ τῷ πλήθει δοκοῦν. B

ΦΑΙ. Τί γὰρ ἄλλο;

ΣΩΚ. Τοῦτο δή, ὡς ἔοικε, σοφὸν εὑρὼν ἅμα καὶ τεχνικὸν ἔγραψεν, ὡς, ἐάν τις ἀσθενὴς καὶ ἀνδρικὸς ἰσχυρὸν καὶ δειλὸν ξυγκόψας, ἱμάτιον ἤ τι ἄλλο ἀφελόμενος, εἰς δικαστήριον ἄγηται, δεῖ δὴ τἀληθὲς μηδέτερον λέγειν, ἀλλὰ τὸν μὲν δειλὸν μὴ ὑπὸ μόνου φάναι τοῦ ἀνδρικοῦ ξυγκεκόφθαι, τὸν δὲ τοῦτο μὲν ἐλέγχειν ὡς μόνω ἤστην, ἐκείνῳ δὲ καταχρήσασθαι τῷ Πῶς δ' ἂν ἐγὼ * τοιόςδε C
τοιῷδε ἐπεχείρησα; ὁ δ' οὐκ ἐρεῖ δὴ τὴν ἑαυτοῦ κάκην, ἀλλά τι ἄλλο ψεύδεσθαι ἐπιχειρῶν τάχ' ἂν ἔλεγχόν πῃ παραδοίη τῷ ἀντιδίκῳ. Καὶ περὶ τἄλλα δὴ τοιαῦτ' ἄττα ἐστὶ τὰ τέχνῃ λεγόμενα· οὐ γάρ, ὦ Φαῖδρε;

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Φεῦ, δεινός *) γ' ἔοικεν ἀποκεκρυμμένην τέχνην ἀνευρεῖν ὁ Τισίας ἢ ἄλλος, ὅστις δή ποτ' ὢν τυγχάνει καὶ ὁπόθεν χαίρει ὀνομαζόμενος! Ἀτάρ, ὦ ἑταῖρε, τούτῳ ἡμεῖς πότερον λέ*γωμεν ἢ μή; D

ΦΑΙ. Τὸ ποῖον;

ΣΩΚ. Ὅτι, ὦ Τισία, πάλαι ἡμεῖς, πρὶν καὶ σὲ παρελθεῖν, τυγχάνομεν λέγοντες, ὡς ἄρα τοῦτο τὸ εἰκὸς τοῖς πολλοῖς δι' ὁμοιότητα τοῦ ἀληθοῦς τυγχάνει ἐγγιγνόμενον, τὰς δὲ ὁμοιότητας ἄρτι διήλθομεν ὅτι πανταχοῦ ὁ τὴν ἀλήθει-

*) ἴσ. δεινῷ.

benda ſit ei, qui artificioſe velit dicere. etenim ne ipſa quidem facta dicenda eſſe interdum, niſi veri ſimili ratione facta ſint, ſed veri ſimilia, tam in accuſatione quam in defenſione, et omnino dicenti veri ſimile ſectandum eſſe, multum valere iubenti verum; hoc enim per totam orationem pertinens omnem efficere artem.

Phae. Ipſa, Socrate, perſequutus es quae dicunt qui orationum artifices ſe profitentur eſſe; memini enim ſupra nos breviter hoc attigiſſe; videtur autem permagnum quid eſſe haec tractantibus.

So. Enimvero ipſum quidem Tiſiam diligenter triviſti; dicito igitur hoc nobis Tiſias, numquid aliud intelligat veri ſimile, niſi quod multitudini videatur?

Phae. Quid enim aliud?

So. Hoc igitur, ut patet, ſapiens ſimul et artificioſum inveniens ſcripſit, ſi quis imbecillus et fortis, qui robuſtum et ignavum contudiſſet et pallium aliudve quid ei detraxiſſet, in iudicium adduceretur, neutrum oportere verum dicere, ſed ignavum negare, ſe a ſolo forti eſſe contuſum, hunc vero convincere quidem ſolos ſe fuiſſe, illud autem urgere: Quomodo ego talis hunc talem adoriri potuerim? et ille ſuam ipſe ignaviam non fatebitur, ſed aliud quodpiam mendacium dicere inſtituens fortaſſe convincendi poteſtatem faciet adverſario. Et in aliis quoque huiusmodi fere ſunt quae arte dicuntur; nonne ita eſt, Phaedre?

Phae. Qui aliter?

So. Hem, callidus profecto videtur eſſe ad artem occultam inveniendam Tiſias vel quicumque alius eſt et undecumque gaudet appellari! At, amice, huic utrum dicamus necne?

Phae. Quidnam?

So. Iam dudum nos, Tiſia, priusquam tu in conſpectum prodiſti, diximus, veri ſimile illud in volgo veriſimilitudine innaſci, ſimilitudines autem modo expoſuimus ubique eum, qui verum perſpexiſſet, pulcher-

αν εἰδὼς κάλλιστα ἐπίσταται εὑρίσκειν· ὥςτε εἰ μὲν ἄλλο τι περὶ τέχνης λόγων λέγεις, ἀκούοιμεν ἄν, εἰ δὲ μή, οἷς νῦν δὴ διήλθομεν πεισόμεθα, ὡς, ἐὰν μή τις τῶν * τε ἀκουσομένων E τὰς φύσεις διαριθμήσηται καὶ κατ' εἴδη τε διαιρεῖσθαι τὰ ὄντα καὶ μιᾷ ἰδέᾳ δυνατὸς ᾖ καθ' ἓν ἕκαστον περιλαμβάνειν, οὔποτ' ἔσται τεχνικὸς λόγων πέρι καθ' ὅσον δυνατὸν ἀνθρώπῳ· ταῦτα δὲ οὐ μήποτε κτήσεται ἄνευ πολλῆς πραγματείας, ἣν οὐχ ἕνεκα τοῦ λέγειν καὶ πράττειν πρὸς ἀνθρώπους δεῖ διαπονεῖσθαι τὸν σώφρονα, ἀλλὰ τοῦ θεοῖς κεχαρισμένα μὲν λέγειν δύνασθαι, κεχαρισμένως δὲ πράττειν τὸ πᾶν εἰς δύναμιν. οὐ γὰρ δὴ ἄρα, ὦ Τισία, φασὶν οἱ σοφώτεροι ἡμῶν, μὴ ὁμοδούλοις * δεῖν *) χαρίζεσθαι μελετᾶν τὸν νοῦν 274 ἔχοντα, ὅ τι μὴ πάρεργον, ἀλλὰ δεσπόταις ἀγαθοῖς τε καὶ ἐξ ἀγαθῶν; ὥςτ' εἰ μακρὰ ἡ περίοδος, μὴ θαυμάσῃς· μεγάλων γὰρ ἕνεκα περιϊτέον, οὐχ ὡς σὺ δοκεῖς. ἔσται μήν, ὡς ὁ λόγος φησίν, ἐάν τις ἐθέλῃ, καὶ ταῦτα κάλλιστα ἐξ ἐκείνων γιγνόμενα.

ΦΑΙ. Παγκάλως ἔμοιγε δοκεῖ λέγεσθαι, ὦ Σώκρατες, εἴπερ οἷός τέ τις εἴη **).

ΣΩΚ. Ἀλλὰ καὶ ἐπιχειροῦντί τοι τοῖς καλοῖς καλὸν καὶ πά*σχειν, ὅ τι ἄν τῳ ξυμβῇ παθεῖν. B

ΦΑΙ. Καὶ μάλα.

ΣΩΚ. Οὐκοῦν τὸ μὲν τέχνης τε καὶ ἀτεχνίας λόγων πέρι ἱκανῶς ἐχέτω.

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Τὸ δ' εὐπρεπείας δὴ γραφῆς πέρι καὶ ἀπρεπείας, ὅπῃ ***) γιγνόμενον καλῶς ἂν ἔχοι καὶ ὅπῃ ἀπρεπῶς, λοιπόν· ἦ γάρ;

ΦΑΙ. Ναί.

ΣΩΚ. Οἶςθ' οὖν, ὅπῃ μάλιστα θεῷ χαριεῖ λόγων πέρι πράττων ἢ λέγων;

ΦΑΙ. Οὐδαμῶς· σὺ δέ;

ΣΩΚ. Ἀκοήν γ' ἔχω λέγειν τῶν προ*τέρων, τὸ δ' C ἀληθὲς αὐτοὶ ἴσασιν. εἰ δὲ τοῦτο εὕροιμεν αὐτοί, ἆρά γ' ἂν ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρωπίνων δοξασμάτων;

---

*) γρ. δεῖ — ἀγαθῶν. **) ἴσ. ἂν εἴη.
***) γρ. πῇ.

rime posse invenire; quocirca si quid aliud de arte oratoria dicis, audiemus, sin minus, iis quae nunc explicavimus fidem habebimus, nisi quis auditurorum naturas dinumeraverit resque possit in species dividere unaque forma cogitata unumquodque singillatim comprehendere, numquam fore orationum artificem, quoad eius fieri possit homo; haec vero neutiquam sibi comparabit nisi multo adhibito studio, quod non hoc consilio, ut dicat et agat apud homines, debet exercere sapiens, sed, ut diis grata dicere possit gratumque facere prorsus pro viribus. nonne enim quaeso, Tisia, viri nobis sapientiores dicunt, non ut conservis gratificetur, prudenti laborandum esse, nisi obiter, sed ut dominis bonis a bonisque oriundis gratum faciat? quocirca longum esse circuitum ne mireris; magnarum enim rerum causa circumire nos oportet, non isto, quo tu arbitraris, consilio. fiet tamen, ut oratio ostendit, si quis velit, etiam hoc pulcherrime per illa.

Phae. Oppido pulchre mihi videtur dici, Socrate, dummodo quis id assequi possit.

So. Aggredienti tamen pulchra pulchrum est etiam pati, quodcumque alicui contigerit ut patiatur.

Phae. Prorsus ita est.

So. Iam de hoc, quid artificiosum sit in orationibus et quid ab arte alienum, satis dictum esto.

Phae. Sane quidem.

So. De scripturae autem decentia et indecentia, quomodo videlicet pulchre adhibeatur et quomodo indecenter, reliquum est ut dicamus. nonne?

Phae. Vero.

So. Scin quomodo deo gratissimus eris in orationibus tractandis vel dicendis?

Phae. Nequaquam, tune?

So. Narrationem quidem possum referre priorum, verum autem ipsi sciunt; quod tamen si inveniremus ipsi, ecquid amplius curaremus humanas sententias?

ΦΑΙ. Γελοῖον ἤρου· ἀλλ' ἃ φῂς ἀκηκοέναι λέγε.

ΣΩΚ. Ἤκουσα τοίνυν, περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι τῶν ἐκεῖ παλαιῶν τινὰ θεῶν, οὗ καὶ τὸ ὄρνεον τὸ ἱερόν, ὃ δὴ καλοῦσιν Ἶβιν· αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεῦθ. τοῦτον δὲ πρῶτον ἀριθμόν τε καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, * ἔτι δὲ D
πεττείας τε καὶ κυβείας, καὶ δὴ καὶ γράμματα. βασιλέως δ' αὖ τότε ὄντος Αἰγύπτου ὅλης Θαμοῦ περὶ τὴν μεγάλην πόλιν τοῦ ἄνω τόπου, ἣν οἱ Ἕλληνες Αἰγυπτίας Θήβας καλοῦσι καὶ τὸν θεὸν Ἄμμωνα, παρὰ τοῦτον ἐλθὼν ὁ Θεῦθ τὰς τέχνας ἐπέδειξε, καὶ ἔφη δεῖν διαδοθῆναι τοῖς ἄλλοις Αἰγυπτίοις. ὁ δὲ ἤρετο ἥντινα ἑκάστη ἔχοι ὠφέλειαν, διεξιόντος δέ, ὅ τι καλῶς ἢ μὴ καλῶς δοκοίη λέγειν, τὸ μὲν ἔψεγε, τὸ δ' * ἐπῄνει. πολλὰ μὲν δὴ περὶ ἑκάστης E
τῆς τέχνης ἐπ' ἀμφότερα Θαμοῦν τῷ Θεῦθ λέγεται ἀποφήνασθαι, ἃ λόγος πολὺς ἂν εἴη διελθεῖν· ἐπειδὴ δὲ ἐπὶ τοῖς γράμμασιν ἦν, Τοῦτο δέ, ὦ βασιλεῦ, τὸ μάθημα, ἔφη ὁ Θεῦθ, σοφωτέρους Αἰγυπτίους καὶ μνημονικωτέρους παρέξει· μνήμης τε γὰρ καὶ σοφίας φάρμακον εὑρέθη. Ὁ δ' εἶπεν Ὦ τεχνικώτατε Θεῦθ, ἄλλος μὲν τεκεῖν δυνατὸς τὰ τῆς τέχνης, ἄλλος δὲ κρῖναι τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελείας τοῖς μέλλουσι χρῆσθαι· * καὶ νῦν σύ, πα- 275
τὴρ ὢν γραμμάτων, δι' εὔνοιαν τοὐναντίον εἶπες ἢ δύναται· τοῦτο γὰρ τῶν μαθόντων λήθην μὲν ἐν ψυχαῖς παρέξει μνήμης ἀμελετησίᾳ, ἅτε διὰ πίστιν γραφῆς ἔξωθεν ὑπ' ἀλλοτρίων τύπων, οὐκ ἔνδοθεν αὐτοὺς ὑφ' αὑτῶν ἀναμιμνησκομένους· οὔκουν μνήμης, ἀλλ' ὑπομνήσεως φάρμακον εὗρες. σοφίας δὲ τοῖς μαθηταῖς δόξαν, οὐκ ἀλήθειαν πορίζεις· πολυήκοοι γάρ σοι γενόμενοι ἄνευ διδαχῆς πολυγνώμονες εἶναι δόξουσιν, * ἀγνώμονες ὡς ἐπὶ τὸ B
πλῆθος ὄντες, καὶ χαλεποὶ ξυνεῖναι, δοξόσοφοι γεγονότες ἀντὶ σοφῶν.

Phae. Ridiculum eſt quod rogas; at quae dixiſti te audiviſſe, narra.

So. Audivi igitur, Naucrati Aegypti urbe fuiſſe aliquem de priſcis illius terrae diis, cuius etiam fuerit ſacra illa avis, quam ibim appellant, ipſi autem deo nomen fuiſſe Theuth. hunc primum numerum, computandi artem, geometriam et aſtronomiam inveniſſe, praeterea calculorum teſſerarumque luſus atque etiam litteras. quum vero tum totius Aegypti rex eſſet Thamus in magna illa urbe ſuperioris regionis, quam Graeci Thebas Aegyptias appellant, deum vero Ammonem, ad hunc veniſſe Theuth ipſique artes oſtendiſſe dicentem distribuendas illas eſſe in ceteros Aegyptios. ille interrogavit, quid quaeque haberet utilitatis, et hoc id exponente, prout bene vel male ipſi viſus erat dicere, ita vel vituperavit vel laudavit. et multa quidem de quaque arte in utramque partem Thamus dicitur Theuth declaraſſe, quae longioris foret ſermonis exponere; quum vero ad litteras veniſſet, tum Theuth Haec vero, o rex, ſcientia, inquit, ſapientiores Aegyptios magisque memores efficiet; memoriae enim et ſapientiae ſubſidium inventa eſt. Atque ille O artificioſiſſime Theuth, inquit, alius eſt idoneus ad procreandas artes, alius ad diiudicandum, quid afferant vel detrimenti vel emolumenti iis, qui ipſis uſuri ſint. etiam tu nunc, qui pater es litterarum, favoris cauſa contrarium dixiſti ac poſſunt; etenim haec ſcientia oblivionem animis afferet propter memoriae negligentiam, quippe qui ſcripto confidentes extrinſecus per alienas notas, non intrinſecus per ſe ipſi recordaturi ſint: ut non memoriae, ſed recordationis ſubſidium inveneris. ſapientiam vero diſcipulis opinatam, non veram ſubminiſtras; multa enim percipientes ſine inſtitutione multarum rerum ſcientes videbuntur eſſe, quamvis inſcii maximam partem ſint, et moleſta erit conſuetudo cum iis, qui opinati, non veri exſtiterint ſapientes.

ΦΑΙ. Ὦ Σώκρατες, ῥᾳδίως σὺ Αἰγυπτίους τε καὶ ὁποδαποὺς ἂν ἐθέλῃς λόγους ποιεῖς.

ΣΩΚ. Οἱ δέ γ', ὦ φίλε, ἐν τῷ τοῦ Διὸς τοῦ Δωδωναίου ἱερῷ δρυὸς λόγους ἔφασαν μαντικοὺς πρώτους γενέσθαι. τοῖς μὲν οὖν τότε, ἅτε οὐκ οὖσι σοφοῖς ὥςπερ ὑμεῖς οἱ νέοι, ἀπέχρη δρυὸς καὶ πέτρας ἀκούειν ὑπ' εὐηθείας, εἰ μόνον ἀληθῆ λέγοιεν· σοὶ δ' ἴσως * διαφέρει τίς C
ὁ λέγων καὶ ποδαπός· οὐ γὰρ ἐκεῖνο μόνον σκοπεῖς, εἴτε οὕτως εἴτε ἄλλως ἔχει.

ΦΑΙ. Ὀρθῶς ἐπέπληξας, καί μοι δοκεῖ περὶ γραμμάτων ἔχειν, ᾗπερ ὁ Θηβαῖος λέγει.

ΣΩΚ. Οὐκοῦν ὁ τέχνην οἰόμενος γράμμασι καταλιπεῖν καὶ αὖ ὁ παραδεχόμενος, ὥς τι σαφὲς καὶ βέβαιον ἐκ γραμμάτων ἐσόμενον, πολλῆς ἂν εὐηθείας γέμοι καὶ τῷ ὄντι τὴν Ἄμμωνος μαντείαν ἀγνοοῖ, πλέον τι οἰόμενος εἶναι λόγους γεγραμ*μένους τοῦ τὸν εἰδότα ὑπομνῆσαι, περὶ D
ὧν ἂν ᾖ τὰ γεγραμμένα.

ΦΑΙ. Ὀρθότατα.

ΣΩΚ. Δεινὸν γάρ που, ὦ Φαῖδρε, τοῦτ' ἔχει γραφὴ καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ· καὶ γὰρ τὰ ἐκείνης ἔκγονα ἕστηκε μὲν ὡς ζῶντα, ἐὰν δ' ἀνέρῃ τι, σεμνῶς πάνυ σιγᾷ· ταὐτὸν δὲ καὶ οἱ λόγοι· δόξαις μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς λέγειν, ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων βουλόμενος μαθεῖν, ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί· ὅταν δὲ ἅπαξ γραφῇ, καλιν*δεῖται μὲν πανταχοῦ πᾶς λόγος ὁμοίως E
παρὰ τοῖς ἐπαΐουσιν, ὡς δ' αὔτως παρ' οἷς οὐδὲν προςήκει, καὶ οὐκ ἐπίσταται λέγειν οἷς δεῖ γε καὶ μή, πλημμελούμενος δὲ καὶ οὐκ ἐν δίκῃ λοιδορηθεὶς τοῦ πατρὸς ἀεὶ δεῖται βοηθοῦ· αὐτὸς γὰρ οὔτ' ἀμύνασθαι οὔτε βοηθῆσαι δυνατὸς αὑτῷ.

ΦΑΙ. Καὶ ταῦτά σοι ὀρθότατα εἴρηται.

ΣΩΚ. Τί δ'; ἄλλον * ὁρῶμεν λόγον τούτου ἀδελφὸν 276

Phae. O Socrate, facile tu Aegyptias et cuiates modo volueris narrationes facis.

So. Fuerunt tamen, amice, qui in Iovis Dodonaei templo quercus sermones dicerent fatidicos primos fuisse. illius videlicet aetatis hominibus, quippe qui non fuerint sapientes ut vos recentes, satis erat quercum et petram audire propter simplicitatem, dummodo verum dicerent; tuo autem sane iudicio aliquid interest, quis sit is qui dicat et cuiatis, neque enim hoc tantum spectas, itane an aliter res se habeat.

Phae. Iure obiurgasti, et videtur mihi de litteris se sic habere, ut Thebanus dicit.

So. Qui igitur artem scriptam relinquit itemque qui eam recipit, perspicui aliquid atque stabile in scriptis se habiturum esse iudicans, magna is simplicitate refertus erit et revera Ammonis vaticinium ignorabit, maiorem existimans utilitatem praebere orationes scriptas hac, quod scienti recordationem dent eorum, de quibus exponant scripta.

Phae. Rectissime vero.

So. Hoc nimirum, Phaedre, in se mali habet scriptura, in quo reapse similis est picturae; nam huius quoque fetus constiterunt tamquam viventes, sin quid eos interrogas, plane auguste tacent. eadem est sermonum ratio: existimes eos intelligentes loqui, sin autem de dictis aliquid eos interrogas cupiens id cognoscere, unum indicant tantum semper idem; quum vero semel scriptus est, volutatur ubique omnis sermo pariter inter intelligentes atque inter eos, ad quos non pertinet, nec scit loqui apud quos debet, et ubi non debet, tacere, male dein tractatus et iniuste reprehensus patris semper indiget auxilio; neque enim se ipse defendere neque auxiliari sibi potest.

Phae. Haec quoque rectissime a te dicta sunt.

So. Quid? alterumne consideremus sermonem,

γνήσιον, τῷ τρόπῳ τε γίγνεται καὶ ὅσῳ ἀμείνων καὶ δυνατώτερος τούτου φύεται;

ΦΑΙ. Τίνα τοῦτον καὶ πῶς λέγεις γιγνόμενον;

ΣΩΚ. Ὃς μετ᾽ ἐπιστήμης γράφεται ἐν τῇ τοῦ μανθάνοντος ψυχῇ, δυνατὸς μὲν ἀμῦναι ἑαυτῷ, ἐπιστήμων δὲ λέγειν τε καὶ σιγᾶν πρὸς οὓς δεῖ.

ΦΑΙ. Τὸν τοῦ εἰδότος λόγον λέγεις ζῶντα καὶ ἔμψυχον, οὗ ὁ γεγραμμένος εἴδωλον ἄν τι λέγοιτο δικαίως;

ΣΩΚ. Παντάπασι μὲν * οὖν. τόδε δή μοι εἰπέ· ὁ B
νοῦν ἔχων γεωργός, ὧν σπερμάτων κήδοιτο καὶ ἔγκαρπα βούλοιτο γενέσθαι, πότερα σπουδῇ ἂν θέρους εἰς Ἀδώνιδος κήπους ἀρῶν χαίροι θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους, ἢ ταῦτα μὲν δὴ παιδιᾶς τε καὶ ἑορτῆς χάριν δρῴη ἄν, ὅτε καὶ ποιοῖ, ἐφ᾽ οἷς δὲ ἐσπούδακε, τῇ γεωργικῇ χρώμενος ἂν τέχνῃ, σπείρας εἰς τὸ προσῆκον, ἀγαπῴη ἂν ἐν ὀγδόῳ μηνὶ ὅσα ἔσπειρε τέλος λαβόντα;

ΦΑΙ. Οὕτω που, ὦ Σώ*κρατες, τὰ μὲν σπουδῇ, τὰ C
δὲ ὡς ἑτέρως ἄν, ᾗ λέγεις, ποιοῖ.

ΣΩΚ. Τὸν δὲ δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν ἐπιστήμας ἔχοντα τοῦ γεωργοῦ φῶμεν ἧττον νοῦν ἔχειν εἰς τὰ ἑαυτοῦ σπέρματα;

ΦΑΙ. Ἥκιστά γε.

ΣΩΚ. Οὐκ ἄρα σπουδῇ αὐτὰ ἐν ὕδατι γράψει μέλανι σπείρων διὰ καλάμου μετὰ λόγων ἀδυνάτων μὲν αὑτοῖς λόγῳ βοηθεῖν, ἀδυνάτων δὲ ἱκανῶς τἀληθὲς διδάξαι.

ΦΑΙ. Οὔκουν δὴ τό γ᾽ εἰκός.

ΣΩΚ. Οὐ γὰρ ἀλλὰ τοὺς μὲν ἐν * γράμμασι κή- D
πους, ὡς ἔοικε, παιδιᾶς χάριν σπερεῖ τε καὶ γράψει, ὅταν γράφῃ, ἑαυτῷ τε ὑπομνήματα θησαυριζόμενος, εἰς τὸ λήθης γῆρας ἐὰν ἵκηται, καὶ παντὶ τῷ ταὐτὸν ἴχνος μετιόντι, ἡσθήσεταί τε αὐτοὺς θεωρῶν φυομένους ἁπαλούς· ὅταν τε ἄλλοι παιδιαῖς ἄλλαις χρῶνται, ξυμποσίοις τε ἄρδοντες αὑτοὺς ἑτέροις τε ὅσα τούτων ἀδελφά, τότ᾽ ἐκεῖνος, ὡς ἔοικεν, ἀντὶ τούτων, οἷς λέγω, παίζων διάξει.

fratrem illius germanum, quomodo exſiſtat quantoque melior iſto ac potentior ſit naturâ?

Phae. Quem et quomodo exſiſtere eum dicis?

So. Qui cum ſcientia inſcribitur in diſcentis animo, idoneus ad ſe ipſum defendendum et ſciens loqui atque tacere apud quos debet.

Phae. Scientis ſermonem dicis viventem et animatum, cuius ſcriptus iure poſſit ſimulacrum dici?

So. Ita prorſus. iam hoc mihi dic: prudens agricola num ſemina quae ipſi cordi ſint et quae frugifera eſſe cupiat, ſerio aeſtate in Adonidis hortos inarabit et gaudebit ea ſpectans intra octo dies pulchre progerminantia, an id quidem ludi feſtaeque oblectationis cauſa faciet, ut ſcilicet faciat, haec vero, quae ſerio tractet, agri colendi adhibens artem feret, ubi convenit, et ſatis habebit, octavo ſi menſe quae ſeverit ad maturitatem pervenerint?

Phae. Ita ſane, Socrate, hoc ſerio, illud vero aliter, ut dicis, faciet.

So. Eum vero, qui iuſti et pulchri et boni cognitiones habet, num agricola dicamus minus prudenter cum ſuis ipſum ſeminibus eſſe acturum?

Phae. Minime id quidem.

So. Itaque non ſerio illa in aqua inſcribet, atramento per calamum ea ferens ſermonesque adhibens, qui neque ſibi ipſi ſermone auxiliari, neque verum ſatis docere poſſint.

Phae. Neutiquam, ut patet.

So. Immo litteratos hortos, ut perſpicitur, ludendi cauſa feret et ſcribet, ut ſcribat, tum ſibi ipſi commentarios condens, ad oblivioſam ſenectutem quando venturus ſit, tum omnibus idem veſtigium perſequentibus, atque laetabitur eos ſpectans fronde virentes tenera; et quum alii aliis ludis utuntur, compotationibus ſeſe irrigantes aliisque quae harum ſunt ſimilia, tum ille, ut patet, pro his ita ut dico ludens deget.

ΦΑΙ. Παγκάλην λέ*γεις παρὰ φαύλην παιδιάν, ὦ E
Σώκρατες, τοῦ ἐν λόγοις δυναμένου παίζειν, δικαιοσύνης
τε καὶ ἄλλων ὧν λέγεις πέρι μυθολογοῦντα.

ΣΩΚ. Ἔστι γάρ, ὦ φίλε Φαῖδρε, οὕτως. πολὺ δ',
οἶμαι, καλλίων σπουδὴ περὶ αὐτὰ γίγνεται, ὅταν τις τῇ
διαλεκτικῇ τέχνῃ χρώμενος, λαβὼν ψυχὴν προσήκουσαν,
φυτεύῃ τε καὶ σπείρῃ μετ' ἐπιστήμης λόγους, οἳ ἑαυτοῖς
τῷ τε φυτεύσαντι βοηθεῖν ἱκανοὶ * τε καὶ οὐχὶ ἄκαρποι, 277
ἀλλὰ ἔχοντες σπέρμα, ὅθεν ἄλλοι ἐν ἄλλοις ἤθεσι φυόμενοι
τοῦτ' ἀεὶ ἀθάνατον παρέχειν ἱκανοὶ καὶ τὸν ἔχοντα εὐδαι-
μονεῖν ποιοῦντες, εἰς ὅσον ἀνθρώπῳ δυνατὸν μάλιστα.

ΦΑΙ. Πολὺ γὰρ τοῦτ' ἔτι κάλλιον λέγεις.

ΣΩΚ. Νῦν δὴ ἐκεῖνα ἤδη, ὦ Φαῖδρε, δυνάμεθα κρίνειν, τούτων ὡμολογημένων.

ΦΑΙ. Τὰ ποῖα;

ΣΩΚ. Ὧν δὴ πέρι βουληθέντες ἰδεῖν ἀφικόμεθα εἰς
τάδε, ὅπως τὸ Λυσίου τε ὄνειδος ἐξετάσαιμεν τῆς τῶν
*λόγων γραφῆς πέρι καὶ αὐτοὺς τοὺς λόγους, οἳ τέχνῃ καὶ B
ἄνευ τέχνης γράφοιντο. τὸ μὲν οὖν ἔντεχνον καὶ μὴ δοκεῖ
μοι δεδηλῶσθαι μετρίως.

ΦΑΙ. Ἔδοξέ γε δή· πάλιν δὲ ὑπόμνησόν με πῶς.

ΣΩΚ. Πρὶν ἄν τις τό τε ἀληθὲς ἑκάστων εἰδῇ περὶ
ὧν λέγει ἢ γράφει, καὶ αὐτό γε πᾶν ὁρίζεσθαι δυνατὸς
γένηται, ὁρισάμενός τε πάλιν κατ' εἴδη μέχρι τοῦ ἀτμήτου
τέμνειν ἐπιστηθῇ, περί τε ψυχῆς φύσεως διϊδὼν κατὰ ταὐ-
τὰ τὸ προσαρ*μόττον ἑκάστῃ φύσει εἶδος ἀνευρίσκων, οὕτω C
τιθῇ καὶ διακοσμῇ τὸν λόγον, ποικίλῃ μὲν ποικίλους ψυχῇ
καὶ παναρμονίους διδοὺς λόγους, ἁπλοῦς δὲ ἁπλῇ, οὐ
πρότερον δυνατὸν τέχνῃ ἔσεσθαι, καθ' ὅσον πέφυκε, με-
ταχειρισθῆναι τὸ λόγων γένος, οὔτε τι πρὸς τὸ διδάξαι
οὔτε τι πρὸς τὸ πεῖσαι, ὡς ὁ ἔμπροσθεν πᾶς μεμήνυκεν
ἡμῖν λόγος.

Phae. Oppido pulchrum dicis prae vili illo, Socrate, ludum, si quis sermonibus potest ludere, de iustitia ceterisque quae memoras orationes comminiscens.

So. Ita est enim, Phaedre dilecte. multo tamen, opinor, pulchrius quod ad haec confertur studium erit, si quis dialecticam artem adhibens, animum nactus accommodatum, plantet ac serat cum scientia sermones, qui et sibi ipsi et satori auxiliari satis possint nec steriles sint, sed semen in se contineant, unde alii in aliis ingeniis nascantur, qui, numquam illud ut intereat, possint efficere eiusque participi tantam afferant felicitatem, quanta maxima hominis esse possit.

Phae. Longe vero hoc quod dicis pulchrius est.

So. Nunc igitur illa iam, Phaedre, possumus iudicare, his concessis.

Phae. Quaenam?

So. Quae videlicet perpendere quum vellemus, ad hoc venimus, ut probrum Lysiae illatum propter scriptiones oratorias ipsasque orationes exploraremus, quaenam arte et quae sine arte scriberentur. et artificiosum quidem eiusque contrarium videtur mihi satis esse declaratum.

Phae. Visum est sane, rursus tamen eius me admone quomodo statuerimus.

So. Priusquam aliquis veram cuiuslibet rei naturam perspexerit, de qua dicat vel scribat, ipsamque universam definire definitamque rursus in species usque ad individuam naturam dividere potuerit, et, animi naturam quum exploraverit formamque cuique accommodatam invenerit, tum denique componat atque adornet orationem, animo multiplici multiplices omnibusque harmoniis constantes adhibens orationes, simplices contra simplici: neutiquam idoneus erit ad orationum genus, quoad eius fieri possit, artificiose tractandum, neque docendi neque persuadendi causa, quemadmodum superior omnis declaravit nobis oratio.

ΦΑΙ. Παντάπασι μὲν οὖν τοῦτό γε οὕτω πως ἐφάνη.

ΣΩΚ. Τί δ' αὖ περὶ τοῦ καλὸν ἢ αἰ*σχρὸν εἶναι τὸ D
λόγους λέγειν τε καὶ γράφειν, καὶ ὅπῃ γιγνόμενον ἐν δίκῃ
λέγοιτ' ἂν ὄνειδος ἢ μή, ἆρα οὐ δεδήλωκε τὰ λεχθέντα
ὀλίγον ἔμπροσθεν;

ΦΑΙ. Τὰ ποῖα;

ΣΩΚ. Ὡς εἴτε Λυσίας ἤ τις ἄλλος πώποτε ἔγραψεν ἢ
γράψει ἰδίᾳ ἢ δημοσίᾳ *), ξύγγραμμα πολιτικὸν γράφων, καὶ
μεγάλην τινὰ ἐν αὐτῷ βεβαιότητα ἡγούμενος καὶ σαφήνειαν,
οὕτω μὲν ὄνειδος τῷ γράφοντι, εἴτε τίς φησιν εἴτε μή· τὸ
γὰρ ἀγνοεῖν ὕπαρ τε * καὶ ὄναρ δικαίων τε καὶ ἀδίκων πέρι E
καὶ κακῶν καὶ ἀγαθῶν οὐκ ἐκφεύγει τῇ ἀληθείᾳ μὴ οὐκ
ἐπονείδιστον εἶναι, οὐδὲ ἂν ὁ πᾶς ὄχλος αὐτὸ ἐπαινέσῃ.

ΦΑΙ. Οὐ γὰρ οὖν.

ΣΩΚ. Ὁ δέ γε ἐν μὲν τῷ γεγραμμένῳ λόγῳ περὶ
ἑκάστου παιδιάν τε ἡγούμενος πολλὴν ἀναγκαῖον εἶναι, καὶ
οὐδένα πώποτε λόγον ἐν μέτρῳ οὐδ' ἄνευ μέτρου μεγάλης
ἄξιον σπουδῆς γραφῆναι οὐδὲ λεχθῆναι, [ὡς οἱ ῥαψῳδού-
μενοι ἄνευ ἀνακρίσεως καὶ διδαχῆς πειθοῦς ἕνεκα * ἐλέχθη- 278
σαν] ἀλλὰ τῷ ὄντι αὐτῶν τοὺς βελτίστους εἰδότων ὑπόμνη-
σιν γεγονέναι, ἐν δὲ τοῖς διδασκομένοις καὶ μαθήσεως χά-
ριν λεγομένοις καὶ τῷ ὄντι γραφομένοις ἐν ψυχῇ περὶ δι-
καίων τε καὶ καλῶν καὶ ἀγαθῶν [ἐν] μόνοις τό τε ἐναργὲς
εἶναι καὶ τέλεον καὶ ἄξιον σπουδῆς, δεῖν δὲ τοὺς τοιούτους
λόγους αὐτοῦ λέγεσθαι οἷον υἱεῖς γνησίους εἶναι, πρῶτον
μὲν τὸν ἐν ἑαυτῷ, ἐὰν εὑρεθεὶς ἐνῇ, ἔπειτα εἴ τινες τούτου
ἔκγονοί τε καὶ ἀδελφοὶ * ἅμα ἐν ἄλλαισιν ἄλλων ψυχαῖς B
κατ' ἀξίαν ἐνέφυσαν, τοὺς δὲ ἄλλους χαίρειν ἐῶν — οὗτος
δὲ ὁ τοιοῦτος ἀνὴρ κινδυνεύει, ὦ Φαῖδρε, εἶναι, οἷον ἐγώ
τε καὶ σὺ εὐξαίμεθ' ἂν σέ τε καὶ ἐμὲ γενέσθαι.

ΦΑΙ. Παντάπασι μὲν οὖν ἔγωγε βούλομαί τε καὶ
εὔχομαι ἃ λέγεις.

ΣΩΚ. Οὐκοῦν ἤδη πεπαίσθω μετρίως ἡμῖν τὰ περὶ
λόγων· καὶ σύ γε ἐλθὼν φράζε Λυσίᾳ, ὅτι νὼ καταβάν-
τες ἐς τὸ Νυμφῶν νᾶμά τε καὶ μουσεῖον ἠκούσαμεν λό-
γων, οἳ ἐπέστελλον λέ*γειν Λυσίᾳ τε καὶ εἴ τις ἄλλος ξυν- C

*) γρ. δημοσίᾳ, νόμους τιθείς.

Phae. Prorſus hoc ita viſum eſt.

So. Quid autem de hoc, utrum pulchrum an turpe ſit orationes et dicere et ſcribere, et quomodo iure necne ut probrum obiici poſſit, nonne oſtenderunt id paullo ante dicta?

Phae. Quidnam?

So. Si vel Lyſias vel alius quis umquam ſcripſit vel ſcripturus eſt privatim vel publice ſcriptionem civilem condens, magnamque in ea arbitratur ſtabilitatem et perſpicuitatem ineſſe, probroſum id eſt ſcribenti, ſive quis dicit ſive non dicit; nam prorſus ignorare iuſta et iniuſta, mala et bona nullo modo non revera exprobrandum eſt, etiamſi univerſus populus laudem ei tribuit.

Phae. Prorſus ita eſt.

So. Qui vero in ſcripto de quacunque re ſermone multum neceſſario ineſſe ludi arbitratur, nec umquam ſermonem verſibus vel ſine verſibus multo dignum ſtudio eſſe ſcriptum aut dictum, [ſicut conſarcinati illi nulla adhibita disquiſitione et doctrina perſuadendi cauſa dicti ſunt] ſed revera optimos eorum ſcientibus recordationi ſerviſſe, in his vero, qui doceantur, inſtitutionis cauſa dicantur et reapſe inſcribantur in animo de iuſto et pulchro et bono, ſolis clarum ineſſe et perfectum et ſtudio dignum, et oportere huiusmodi ſermones quaſi filios cuiusque germanos dici, primum ſermonem in nobismet ipſis, ſi inventus aliquis in nobis inſit, deinde eos, qui illius filii et fratres ſimul in aliis aliorum animis pro dignitate innati ſint, ceteros miſſos faciens: hic et talis vir, Phaedre, vide ne is ſit, cuius ſimiles ut exſiſtamus ego et tu optaverimus.

Phae. Prorſus equidem et volo et opto quod dicis.

So. Iam ſatis nobis luſum eſto ſuper ſermonibus; et tu quidem profectus dic Lyſiae, nos deſcendiſſe ad Nympharum fontem et muſeum ibique audiviſſe ſermones, qui nos iuberent nunciare Lyſiae et ſi quis alius

τίθησι λόγους, καὶ Ὁμήρῳ καὶ εἴ τις ἄλλος αὖ ποίησιν
ψιλὴν ἢ ἐν ᾠδῇ ξυντέθεικε, τρίτον δὲ Σόλωνι καὶ ὅστις ἐν
πολιτικοῖς λόγοις νόμους ὀνομάζων ξυγγράμματα ἔγραψεν
— εἰ μὲν εἰδώς, ᾗ τἀληθὲς ἔχει, ξυντέθεικε ταῦτα καὶ ἔχων
βοηθεῖν· εἰς ἔλεγχον ἰών, περὶ ὧν ἔγραψε, καὶ λέγων αὐτὸς
δυνατὸς τὰ γεγραμμένα φαῦλα ἀποδεῖξαι, οὔ τι τῶνδε
ἐπωνυμίαν ἔχοντα δεῖ λέγεσθαι τὸν τοιοῦτον, ἀλλ', * ἐφ' D
οἷς ἐσπούδακεν, ἐκείνων.

ΦΑΙ. Τίνας οὖν τὰς ἐπωνυμίας αὐτῷ νέμεις;

ΣΩΚ. Τὸ μὲν σοφόν, ὦ Φαῖδρε, καλεῖν ἔμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνῳ πρέπειν, τὸ δὲ ἢ φιλόσοφον ἢ τι τοιοῦτον μᾶλλόν τε ἂν αὐτῷ ἁρμόττοι καὶ ἐμμελεστέρως ἔχοι.

ΦΑΙ. Καὶ οὐδέν γε ἄπο τρόπου.

ΣΩΚ. Οὐκοῦν αὖ τὸν μὴ ἔχοντα τιμιώτερα, ὧν ξυνέ-
θηκεν ἢ ἔγραψεν ἄνω καὶ κάτω στρέφων ἐν χρόνῳ, πρὸς
ἄλληλα κολλῶν τε καὶ ἀφαιρῶν, ἐν δίκῃ * που ποιητὴν ἢ E
λόγων ξυγγραφέα ἢ νομογράφον προσερεῖς;

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Ταῦτα τοίνυν τῷ ἑταίρῳ φράζε.

ΦΑΙ. Τί δὲ σύ, πῶς ποιήσεις; οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ παρελθεῖν.

ΣΩΚ. Τίνα τοῦτον;

ΦΑΙ. Ἰσοκράτην τὸν καλόν, ᾧ τί ἀπαγγελεῖς, ὦ Σώκρατες; τίν' αὐτὸν φήσομεν εἶναι;

ΣΩΚ. Νέος ἔτι, ὦ Φαῖδρε, Ἰσοκράτης· ὃ μέντοι
μαν*τεύομαι κατ' αὐτοῦ, λέγειν ἐθέλω. 279

ΦΑΙ. Τὸ ποῖον δή;

ΣΩΚ. Δοκεῖ μοι ἀμείνων ἢ κατὰ τοὺς περὶ Λυσίαν εἶναι λόγους τὰ τῆς φύσεως, ἔτι δὲ ἤθει γεννικωτέρῳ κεκρᾶσθαι· ὥστε οὐδὲν ἂν γένοιτο θαυμαστόν, προϊούσης τῆς ἡλικίας εἰ περὶ αὐτούς τε τοὺς λόγους, οἷς νῦν ἐπιχειρεῖ, πλέον ἢ παίδων διενέγκοι τῶν πώποτε ἁψαμένων λόγων,

componeret orationes, Homero et ſi quis alius carmina vel nuda vel cum cantilena coniuncta compoſuiſſet, tertio Soloni et quicumque in civili ſermonum genere ſcriptiones condidiſſet leges nominans: ſi ſciens quomodo verum ſe haberet, illa compoſuiſſet, iis auxiliari, ſi inquireretur in ea quae ſcripſiſſet, et ipſe dicendo oſtendere poſſet, a ſe ſcripta levia eſſe ad illa, neutiquam debere ab illis nominari, ſed ab his, ad quae ſerium ſtudium contuliſſet.

Phae. Quidnam vero nomen ipſi imponis?

So. Sapientem, Phaedre, ipſum appellare, magnum mihi videtur eſſe ſolique deo convenire, ſapientiae vero amantem vel tale quid magis in ipſum cadat et concinnius ſit.

Phae. Nec vero hoc non eſt conſentaneum.

So. Eum contra, qui praeſtabilius nihil habet quam quae compoſuit vel ſcripſit, ſurſum et deorſum vertendo multum ac diu, agglutinando et eximendo, nonne iure poetam vel orationum conditorem vel legum ſcriptorem appellabis?

Phae. Quidni?

So. Haec igitur dic amico tuo.

Phae. Quid vero tu, quomodo facies? etenim nec tuum amicum par eſt praeterire.

So. Quemnam tandem?

Phae. Iſocratem pulchrum, cui quid renunciabis, Socrate? quem ipſum dicemus eſſe?

So. Iuvenis adhuc, Phaedre, Iſocrates eſt; quid tamen augurer de ipſo, dicere volo.

Phae. Quid tandem?

So. Videtur mihi meliore, quam ut cum Lyſiae orationibus comparetur, naturâ, praeterea ingenio generoſiore temperatus eſſe: ut minime futurum ſit admirandum, ſi, quum aetate proceſſerit, et in hoc ipſo orationum genere, cui nunc ſtudet, magis quam pueris praeſtet omnibus, qui umquam orationes attigerint, et,

ἔτι τε εἰ αὐτῷ μὴ ἀποχρήσαι ταῦτα, ἐπὶ μείζω δέ τις αὐ-
τὸν ἄγοι ὁρμὴ θειοτέρα· φύσει γάρ, ὦ φίλε, ἔνεστί τις
* φιλοσοφία τῇ τοῦ ἀνδρὸς διανοίᾳ. Ταῦτα δὴ οὖν ἐγὼ B
μὲν παρὰ τῶνδε τῶν θεῶν ὡς ἐμοῖς παιδικοῖς Ἰσοκράτει
ἐξαγγελῶ, σὺ δ' ἐκεῖνα ὡς σοῖς Λυσίᾳ.

ΦΑΙ. Ταῦτ' ἔσται· ἀλλὰ ἴωμεν, ἐπειδὴ καὶ τὸ πνῖγος ἠπιώτερον γέγονεν.

ΣΩΚ. Οὐκοῦν εὐξαμένω *) πρέπει τοῖσδε πορεύεσθαι;

ΦΑΙ. Τί μήν;

ΣΩΚ. Ὦ φίλε Πάν τε καὶ ἄλλοι ὅσοι τῇδε θεοί,
δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν, ἔξωθεν δὲ ὅσα ἔχω,
τοῖς ἐντὸς εἶναί μοι φί*λια. πλούσιον δὲ νομίζοιμι τὸν σο- C
φόν· τὸ δὲ χρυσοῦ πλῆθος εἴη μοι, ὅσον μήτε φέρειν μήτε
ἄγειν δύναιτο ἄλλος ἢ ὁ σώφρων. Ἔτι ἄλλου του δεόμεθα, ὦ Φαῖδρε; ἐμοὶ μὲν γὰρ μετρίως ηὖκται.

ΦΑΙ. Καὶ ἐμοὶ ταῦτα ξυνεύχου· κοινὰ γὰρ τὰ τῶν φίλων.

ΣΩΚ. Ἴωμεν.

---

*) γρ. εὐξαμένῳ. ἴσ. εὐξαμένοις.

ſi contentus his non fuerit, ad maiora ipſum ducat inſtinctus quidam divinior; naturâ enim, amice, ineſt quaedam philoſophia in viri mente. Haec igitur ego horum deorum iuſſu Iſocrati ut meis deliciis renunciabo, tu vero iſta Lyſiae ut tuis.

Phae. Fiet id ſane; ſed eamus, quum etiam aeſtus miteſcere coeperit.

So. Nonne nos decet hos deos ante precari, quam hinc diſcedamus?

Phae. Quidni deceat?

So. O care Pan et quotquot hìc eſtis dii, detis mihi hoc, ut pulcher exſiſtam ad interiora, externa vero omnia quae habeo, interioribus mihi ſint amica. divitem iudicem ſapientem; tanta vero auri copia mihi ſit, quantam neque ſecum portare neque ducere quisquam poſſit niſi bonus ac prudens. Num quid aliud praeterea nobis opus eſt, Phaedre? mihi quidem ſatis eſt quod precatus ſum.

Phae. Etiam mihi hoc precare; communes enim ſunt res amicorum.

So. Eamus.

Γ Ο Ρ Γ Ι Α Σ

ΚΑΛΛΙΚΛΗΣ ΣΩΚΡΑΤΗΣ ΧΑΙΡΕΦΩΝ ΓΟΡΓΙΑΣ ΠΩΛΟΣ

ΚΑΛ. Πολέμου καὶ μάχης φασὶ χρῆναι, ὦ Σώκρατες, οὕτω μεταλαγχάνειν. 447

ΣΩ. Ἀλλ' ἦ, τὸ λεγόμενον, κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν;

ΚΑΛ. Καὶ μάλα γε ἀστείας ἑορτῆς· πολλὰ γὰρ καὶ καλὰ Γοργίας ἡμῖν ὀλίγον πρότερον ἐπεδείξατο.

ΣΩ. Τούτων μέντοι, ὦ Καλλίκλεις, αἴτιος Χαιρεφῶν ὅδε, ἐν ἀγορᾷ ἀναγκάσας ἡμᾶς δια*τρῖψαι. B

ΧΑΙ. Οὐδὲν πρᾶγμα, ὦ Σώκρατες· ἐγὼ γὰρ καὶ ἰάσομαι· φίλος γάρ μοι Γοργίας, ὥστ' ἐπιδείξεται ἡμῖν, εἰ μὲν δοκεῖ, νῦν, ἐὰν δὲ βούλῃ, ἐςαῦθις.

ΚΑΛ. Τί δέ, ὦ Χαιρεφῶν; ἐπιθυμεῖ Σωκράτης ἀκοῦσαι Γοργίου;

ΧΑΙ. Ἐπ' αὐτό γέ τοι τοῦτο πάρεσμεν.

ΚΑΛ. Οὐκοῦν, ὅταν βούλησθε, παρ' ἐμὲ ἥκειν οἴκαδε· παρ' ἐμοὶ Γοργίας καταλύει, καὶ ἐπιδείξεται ὑμῖν.

ΣΩ. Εὖ λέγεις, ὦ Καλλίκλεις· ἀλλ' ἆρα ἐθελήσειεν ἂν ἡμῖν δια*λεχθῆναι; βούλομαι γὰρ πυθέσθαι παρ' αὐτοῦ, τίς ἡ δύναμις τῆς τέχνης τοῦ ἀνδρός, καὶ τί ἐστιν ὃ ἐπαγγέλλεταί τε καὶ διδάσκει· τὴν δὲ ἄλλην ἐπίδειξιν ἐςαῦθις, ὥςπερ σὺ λέγεις, ποιησάσθω. C

ΚΑΛ. Οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾶν, ὦ Σώκρατες· καὶ γὰρ αὐτῷ ἓν τοῦτ' ἦν τῆς ἐπιδείξεως· ἐκέλευε γοῦν νῦν δὴ ἐρωτᾶν ὅ τί τις βούλοιτο τῶν ἔνδον ὄντων, καὶ πρὸς ἅπαντα ἔφη ἀποκρινεῖσθαι.

CALLICLES SOCRATES CHAEREPHON GORGIAS POLVS

Cal. In belli et pugnae partem dicunt, Socrate, ita veniendum esse.

So. An, ut in proverbio est, post festum accedimus et sero venimus?

Cal. Et quidem post oppido bellum; multa enim pulchra Gorgias nobis paullo ante ostentavit.

So. Huius vero rei, Callicle, culpam sustinet hicce Chaerephon, qui in foro nos coëgerit commorari.

Chaer. Nihil interest, Socrate; ego enim damnum etiam farciam. amicus videlicet mihi est Gorgias; quocirca se nobis ostentabit, si videtur, nunc, sin mavis, alias.

Cal. Quid tandem, Chaerephon? cupitne Socrates audire Gorgiam?

Chaer. Hanc ipsam sane ob causam adsumus.

Cal. Itaque, si vultis, ad me venite domum: ad me Gorgias devertit, et ostentabit se vobis.

So. Bene dicis, Callicle; num vero conferet cum nobis sermonem? volo enim sciscitari ex ipso, quae sit vis artis, quam vir factitet, et quid sit illud quod profiteatur ac doceat; alterum illud alias, ut tu dicis, ostentato.

Cal. Optimum est ipsum interrogare, Socrate; etenim hoc unum erat de iis, in quibus se ostentavit: iubebat videlicet modo interrogari, quodcumque quisque vellet eorum, qui intus erant, et ad omnia dicebat se responsurum esse.

ΣΩ. Ἡ καλῶς λέγεις. Ὦ Χαιρεφῶν, ἐροῦ αὐτόν.

ΧΑΙ. Τί ἔρω*μαι; D

ΣΩ. Ὅςτις ἐστίν.

ΧΑΙ. Πῶς λέγεις;

ΣΩ. Ὥςπερ ἂν εἰ ἐτύγχανεν ὢν ὑποδημάτων δημιουργός, ἀπεκρίνατο ἂν δήπου σοι ὅτι σκυτοτόμος· ἢ οὐ μανθάνεις ὡς λέγω;

ΧΑΙ. Μανθάνω καὶ ἐρήσομαι.

Εἰπέ μοι, ὦ Γοργία, ἀληθῆ λέγει Καλλικλῆς ὅδε, ὅτι ἐπαγγέλλει ἀποκρίνεσθαι ὅ τι ἄν τίς σε ἐρωτᾷ;

ΓΟΡ. Ἀληθῆ, * ὦ Χαιρεφῶν· καὶ γὰρ νῦν δὴ αὐτὰ 44
ταῦτα ἐπηγγελλόμην, καὶ λέγω ὅτι οὐδείς μέ πω ἠρώτηκε καινὸν οὐδὲν πολλῶν ἐτῶν.

ΧΑΙ. Ἡ που ἄρα ῥᾳδίως ἀποκρίνει, ὦ Γοργία.

ΓΟΡ. Πάρεστι τούτου πεῖραν, ὦ Χαιρεφῶν, λαμβάνειν.

ΠΩΛ. Νὴ Δία, ἂν δέ γε βούλῃ, ὦ Χαιρεφῶν, ἐμοῦ· Γοργίας μὲν γὰρ καὶ ἀπειρηκέναι μοι δοκεῖ· πολλὰ γὰρ ἄρτι διελήλυθεν.

ΧΑΙ. Τί δέ, ὦ Πῶλε; οἴει σὺ κάλλιον ἂν Γοργίου ἀποκρίνασθαι;

ΠΩΛ. Τί δὲ τοῦτο, ἐὰν σοί γε * ἱκανῶς; B

ΧΑΙ. Οὐδέν· ἀλλ᾽, ἐπειδὴ σὺ βούλει, ἀποκρίνου.

ΠΩΛ. Ἐρώτα.

ΧΑΙ. Ἐρωτῶ δή. εἰ ἐτύγχανε Γοργίας ἐπιστήμων ὢν τῆς τέχνης ἧςπερ ὁ ἀδελφὸς αὐτοῦ Ἡρόδικος, τίνα ἂν αὐτὸν ὠνομάζομεν δικαίως; οὐχ ὅπερ ἐκεῖνον;

ΠΩΛ. Πάνυ γε.

ΧΑΙ. Ἰατρὸν ἄρα φάσκοντες αὐτὸν εἶναι καλῶς ἂν ἐλέγομεν.

ΠΩΛ. Ναί.

ΧΑΙ. Εἰ δέ γε, ἧςπερ Ἀριστοφῶν ὁ Ἀγλαοφῶντος ἢ ὁ ἀδελφὸς αὐτοῦ, ἔμπειρος ἦν τέχνης, τίνα ἂν αὐτὸν ὀρθῶς ἐκαλοῦμεν;

*ΠΩΛ. Δῆλον ὅτι ζωγράφον. C

So. Pulchre dicis profecto. O Chaerephon, roga ipſum.

Chae. Quid rogem?

So. Quis ſit.

Chae. Quomodo dicis?

So. Velut ſi forte calceorum opifex eſſet, haud dubie tibi reſponderet, ſe eſſe ſutorem; annon intelligis quomodo dicam?

Chae. Intelligo et rogabo.

Dic mihi, Gorgia, verumne dicit hic Callicles, te profiteri reſpondere ad omnia quae quis te roget?

Gor. Verum, Chaerephon; etenim modo hoc ipſum profeſſus ſum, et dico neminem me umquam interrogaſſe novi quid intra multos annos.

Chae. Ergo facile tu reſpondes, Gorgia.

Gor. Licet huius rei, Chaerephon, periculum facere.

Pol. Per Iovem, ſin mavis, Chaerephon, mei fac periculum; Gorgias enim videtur mihi iam defeſſus eſſe; multa ſcilicet modo perſequutus eſt.

Chae. Quid tandem, Pole, tene cenſes pulchrius quam Gorgiam reſpondere?

Pol. Quid intereſt, ſi tibi ſcilicet ſatisfaciam?

Chae. Nihil; iam, quia vis, reſponde.

Pol. Roga.

Chae. Rogo igitur: ſi Gorgias intelligens eſſet eius artis, cuius frater ipſius Herodicus, quo ipſum nomine iure nuncuparemus? nonne eodem quo illum?

Pol. Ita.

Chae. Medicum igitur ipſum appellantes recte diceremus.

Pol. Vero.

Chae. Sin autem illius, quam Ariſtophon Aglaophontis filius vel huius frater factitat, peritus eſſet artis, quomodo recte ipſum nominaremus?

Pol. Ut patet, pictorem nuncupantes.

ΧΑΙ. Νῦν δ' ἐπειδὴ τίνος τέχνης ἐπιστήμων ἐστί, τίνα ἂν καλοῦντες αὐτὸν ὀρθῶς καλοῖμεν;

ΠΩΛ. Ὦ Χαιρεφῶν, πολλαὶ τέχναι ἐν ἀνθρώποις εἰσὶν ἐκ τῶν ἐμπειριῶν ἐμπείρως εὑρημέναι· ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην. ἑκάστων δὲ τούτων μεταλαμβάνουσιν ἄλλοι ἄλλων ἄλλως, τῶν δὲ ἀρίστων οἱ ἄριστοι· ὧν καὶ Γοργίας ἐστὶν ὅδε, καὶ μετέχει τῆς καλλίστης τῶν τεχνῶν.

ΣΩ. Καλῶς γε, ὦ Γοργία, φαίνεται Πῶλος παρεσκευάσθαι εἰς λόγους· ἀλλὰ γὰρ ὃ ὑπέσχετο Χαιρεφῶντι οὐ ποιεῖ. D

ΓΟΡ. Τί μάλιστα, ὦ Σώκρατες;

ΣΩ. Τὸ ἐρωτώμενον οὐ πάνυ μοι φαίνεται ἀποκρίνεσθαι.

ΓΟΡ. Ἀλλὰ σύ, εἰ βούλει, ἐροῦ αὐτόν.

ΣΩ. Οὔκ, εἰ αὐτῷ γε σοὶ βουλομένῳ ἐστὶν ἀποκρίνεσθαι, ἀλλὰ πολὺ ἂν ἥδιον σέ. δῆλος γάρ μοι Πῶλος καὶ ἐξ ὧν εἴρηκεν, ὅτι τὴν καλουμένην ῥητορικὴν μᾶλλον με*μελέτηκεν ἢ διαλέγεσθαι. E

ΠΩΛ. Τί δή, ὦ Σώκρατες;

ΣΩ. Ὅτι, ὦ Πῶλε, ἐρομένου Χαιρεφῶντος, τίνος Γοργίας ἐπιστήμων τέχνης, ἐγκωμιάζεις μὲν αὐτοῦ τὴν τέχνην ὥςπερ τινὸς ψέγοντος, ἥτις δέ ἐστιν οὐκ ἀπεκρίνω.

ΠΩΛ. Οὐ γὰρ ἀπεκρινάμην ὅτι εἴη ἡ καλλίστη;

ΣΩ. Καὶ μάλα γε· ἀλλ' οὐδεὶς ἠρώτα, ποία τις εἴη ἡ Γοργίου τέχνη, ἀλλὰ τίς, καὶ ὅντινα δέοι καλεῖν τὸν Γοργίαν. ὥςπερ τὰ ἔμπροσθέν σοι ὑπετείνατο Χαιρεφῶν καὶ αὐτῷ καλῶς καὶ * διὰ βραχέων ἀπεκρίνω, καὶ νῦν 449 οὖν οὕτως εἰπὲ τίς ἡ τέχνη καὶ τίνα Γοργίαν καλεῖν χρὴ ἡμᾶς· μᾶλλον δέ, ὦ Γοργία, αὐτὸς ἡμῖν εἰπέ, τίνα σε χρὴ καλεῖν ὡς τίνος ἐπιστήμονα τέχνης.

ΓΟΡ. Τῆς ῥητορικῆς, ὦ Σώκρατες.

ΣΩ. Ῥήτορα ἄρα χρή σε καλεῖν;

ΓΟΡ. Ἀγαθόν γε, ὦ Σώκρατες, εἰ δὴ ὅ γε εὔχομαι εἶναι, ὡς ἔφη Ὅμηρος, βούλει με καλεῖν.

Chae. Nunc cuiusnam artis sciens est et quomodo ab hac recte ipsum nominabimus?

Pol. O Chaerephon, multae artes in hominibus sunt peritiâ perite inventae; peritia enim facit aevum nostrum procedere arte, imperitia autem forte. harum vero singularum participes sunt alii aliarum aliter, optimarum autem optimi; quorum unus etiam hic Gorgias est, et particeps ille quidem pulcherrimae artium.

So. Praeclare sane, Gorgia, videtur Polus praeparatus esse ad dicendum, quod tamen promiserat Chaerephonti non facit.

Gor. Quid potissimum?

So. Ad interrogatum haudquaquam mihi videtur respondere.

Gor. Itaque tu, si vis, interroga ipsum.

So. Non, si tibi ipsi lubet respondere, sed multo mihi gratius erit te rogare; de Polo enim, perspicuum mihi est iam ex iis quae dixit, rhetoricae, quae dicitur, eum magis studuisse, quam disserendi arti.

Pol. Quî tandem, Socrate?

So. Quia, Pole, quum interrogasset Chaerephon, cuius Gorgias sciens esset artis, laudibus extulisti ipsius artem, quasi quis eam vituperasset, quae vero esset, non respondisti.

Pol. Nonne respondi eam esse pulcherrimam?

So. Sane quidem, at nemo quaerit qualis sit Gorgiae ars, sed quaenam sit et quem oporteat dici Gorgiam. quemadmodum superiorem tibi quaestionem proposuit Chaerephon et tu pulchre ipsi ac breviter respondisti, ita nunc quoque dic, quaenam ars sit et quomodo Gorgiam oporteat appellari: potius, Gorgia, ipse nobis dic, quomodo te dici oporteat et cuiusnam sis sciens artis.

Gor. Rhetoricae, Socrate.

So. Rhetorem igitur oportet te appellari?

Gor. Et bonum quidem, si, quod me glorior esse, ut dixit Homerus, vis me appellare.

ΣΩ. Ἀλλὰ βούλομαι.

ΓΟΡ. Κάλει δή.

ΣΩ. Οὐκοῦν καὶ ἄλλους σε φῶμεν δυνατὸν εἶναι* ποιεῖν; B

ΓΟΡ. Ἐπαγγέλλομαί γε δὴ ταῦτα οὐ μόνον ἐνθάδε, ἀλλὰ καὶ ἄλλοθι.

ΣΩ. Ἆρ' οὖν ἐθελήσαις ἄν, ὦ Γοργία, ὥσπερ νῦν διαλεγόμεθα, διατελέσαι τὸ μὲν ἐρωτῶν, τὸ δ' ἀποκρινόμενος, τὸ δὲ μῆκος τῶν λόγων τοῦτο, οἷον καὶ Πῶλος ἤρξατο, ἐσαῦθις ἀποθέσθαι; ἀλλ' ὅπερ *) ὑπισχνεῖ, μὴ ψεύσῃ, ἀλλ' ἐθέλησον κατὰ βραχὺ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι.

ΓΟΡ. Εἰσὶ μέν, ὦ Σώκρατες, ἔνιαι τῶν ἀποκρίσεων ἀναγ-
καῖαι διὰ μακρῶν τοὺς λόγους* ποιεῖσθαι· οὐ μὴν ἀλλὰ πειρά- C
σομαί γε ὡς διὰ βραχυτάτων. καὶ γὰρ αὖ καὶ τοῦτο ἕν ἐστιν ὧν φημι, μηδένα ἂν ἐν βραχυτέροις ἐμοῦ τὰ αὐτὰ εἰπεῖν.

ΣΩ. Τούτου μὴν δεῖ, ὦ Γοργία, καί μοι ἐπίδειξιν αὐτοῦ τούτου ποίησαι, τῆς βραχυλογίας, μακρολογίας δὲ ἐσαῦθις.

ΓΟΡ. Ἀλλὰ ποιήσω, καὶ οὐδενὸς φήσεις βραχυλογωτέρου ἀκοῦσαι.

ΣΩ. Φέρε δή, ῥητορικῆς γὰρ φῂς ἐπιστήμων τέχνης
εἶναι καὶ ποιῆσαι ἂν καὶ ἄλλον * ῥήτορα, ἡ ῥητορικὴ περὶ D
τί τῶν ὄντων τυγχάνει οὖσα, ὥσπερ ἡ ὑφαντικὴ περὶ τὴν τῶν ἱματίων ἐργασίαν· ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἡ μουσικὴ περὶ τὴν τῶν μελῶν ποίησιν;

ΓΟΡ. Ναί.

ΣΩ. Νὴ τὴν Ἥραν, ὦ Γοργία, ἄγαμαί γέ σου **) τὰς ἀποκρίσεις, ὅτι ἀποκρίνει ὡς οἷόν τε διὰ βραχυτάτων.

ΓΟΡ. Πάνυ γὰρ οἶμαι, ὦ Σώκρατες, ἐπιεικῶς τοῦτο ποιεῖν.

ΣΩ. Εὖ λέγεις. ἴθι δή μοι ἀπόκριναι οὕτω καὶ περὶ τῆς ῥητορικῆς, περὶ τί τῶν ὄντων ἐστὶν ἐπιστήμη;

ΓΟΡ. Περὶ λό*γους. E

ΣΩ. Ποίους τούτους, ὦ Γοργία; ἆρα οἳ δηλοῦσι τοὺς κάμνοντας, ὡς ἂν διαιτώμενοι ὑγιαίνοιεν;

---

*) ἴσ. εἴπερ.

**) γρ. ἄγαμαί σου.

So. Volo ſane.

Gor. Appella igitur.

So. Nonne etiam alios te dicamus poſſe facere?

Gor. Profiteor ſane haec non modo hic, verum etiam alibi.

So. Num igitur volueris, Gorgia, in hac qua nunc utimur disſerendi ratione perſeverare partim rogans partim reſpondens, longitudinem vero orationum illam, quam Polus iam inceperat, in aliud tempus differre? at, ſi promiſeris, ne mentiaris, ſed breviter, quaeſo, ad interrogatum reſponde.

Gor. Sunt quidem, Socrate, reſponſiones, quas neceſſe ſit copioſe exponi; verumtamen conabor equidem quam breviſſime reſpondere. etenim hoc quoque unum eſt de iis, quae profiteor, neminem fere brevius me eadem de re loqui.

So. Hoc vero opus eſt, Gorgia, et ſpecimen mihi huius ipſius rei da, breviloquentiae, copioſae vero eloquentiae alias.

Gor. Sane faciam et neminem te fateberis breviloquentiorem audiviſſe.

So. Age dum, quoniam rhetoricae te dicis artis peritum eſſe et alios quoque efficere poſſe, in quanam re verſatur rhetorica? velut ars textoria in veſtibus conficiendis occupata eſt, nonne?

Gor. Ita.

So. Nonne etiam muſica in canticis faciendis?

Gor. Ita.

So. Per Iunonem, Gorgia, laudo ſane has tuas reſponſiones, quod reſpondes quam potes breviſſime.

Gor. Satis admodum enim puto, Socrate, hoc facere.

So. Bene dicis. age ſis reſponde mihi ita etiam de rhetorica: cuiusnam rei eſt ſcientia?

Gor. Orationum.

So. Quarum tandem, Gorgia? num earum quae declarant de aegrotantibus, qua victus ratione utentes valitudinem ſuam curent?

ΓΟΡ. Οὔ.

ΣΩ. Οὐκ ἄρα περὶ πάντας γε τοὺς λόγους ἡ ῥητορική ἐστιν.

ΓΟΡ. Οὐ δῆτα.

ΣΩ. Ἀλλὰ μὴν λέγειν γε ποιεῖ δυνατούς.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν, περὶ ὧνπερ λέγειν, καὶ φρονεῖν;

ΓΟΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὐ καὶ ἣν νῦν δὴ ἐλέγομεν, ἡ ἰατρικὴ * περὶ τῶν καμνόντων ποιεῖ δυνατοὺς εἶναι φρονεῖν 450 καὶ λέγειν;

ΓΟΡ. Ἀνάγκη.

ΣΩ. Καὶ ἡ ἰατρικὴ ἄρα, ὡς ἔοικε, περὶ λόγους ἐστίν.

ΓΟΡ. Ναί.

ΣΩ. Τούς γε περὶ τὰ νοσήματα.

ΓΟΡ. Μάλιστα.

ΣΩ. Οὐκοῦν καὶ ἡ γυμναστικὴ περὶ λόγους ἐστὶ τοὺς περὶ εὐεξίαν τε τῶν σωμάτων καὶ καχεξίαν.

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Καὶ μὴν καὶ αἱ ἄλλαι τέχναι, ὦ Γοργία, οὕτως ἔχουσιν· ἑκάστη αὐτῶν περὶ λό*γους ἐστὶ τούτους, B οἳ τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα οὗ ἑκάστη ἐστὶν ἡ τέχνη.

ΓΟΡ. Φαίνεται.

ΣΩ. Τί οὖν δή ποτε τὰς ἄλλας τέχνας οὐ ῥητορικὰς καλεῖς, οὔσας περὶ λόγους, εἴπερ ταύτην ῥητορικὴν καλεῖς ἣ ἂν ᾖ περὶ λόγους;

ΓΟΡ. Ὅτι, ὦ Σώκρατες, τῶν μὲν ἄλλων τεχνῶν περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις, ὡς ἔπος εἰπεῖν, πᾶσά ἐστιν ἡ ἐπιστήμη, τῆς δὲ ῥητορικῆς οὐδέν ἐστι τοιοῦτον χειρούργημα, ἀλλὰ πᾶσα ἡ πρᾶξις καὶ ἡ κύρωσις διὰ λό*γων ἐστί. διὰ ταῦτ' ἐγὼ τὴν ῥητορικὴν τέχνην ἀξιῶ εἶναι C περὶ λόγους, ὀρθῶς λέγων, ὡς ἐγώ φημι.

ΣΩ. Ἆρ' οὖν μανθάνω οἵαν αὐτὴν βούλει καλεῖν· τάχα

Gor. Non.

So. Neque ergo in omnibus orationibus rhetorica verſatur.

Gor. Minime vero.

So. At idoneos ad dicendum facit.

Gor. Vero.

So. Nonne eorum, de quibus dicendi peritos, etiam intelligentes efficit?

Gor. Quidni?

So. Nonne etiam, quam modo diximus, medicina de aegrotantibus facit idoneos ad intelligendum atque dicendum?

Gor. Neceſſario.

So. Ergo etiam medicina, ut patet, in orationibus verſatur.

Gor. Ita.

So. Et quidem in orationibus de morbis.

Gor. Maxime.

So. Nonne etiam ars gymnaſtica in orationibus verſatur de bono et malo corporum habitu?

Gor. Sane quidem.

So. Iam vero ceterarum quoque artium, Gorgia, haec eſt ratio: quaeque earum in talibus verſatur orationibus quae pertineant ad id, cuius quaeque ars eſt.

Gor. Apparet.

So. Cur igitur ceteras artes non dicis rhetoricas, quippe quae in orationibus verſentur, ſiquidem hanc dicis rhetoricam, quae in orationibus verſetur?

Gor. Quia, Socrate, ceterarum artium ad opera manu facienda et huiusmodi actiones omnis propemodum ſpectat ſcientia, rhetorica autem nihil huiusmodi operis facit, ſed omnis eius actio et vis in orationibus eſt poſita. iccirco ego rhetoricam artem cenſeo verſari in orationibus, recte dicens, ut ego aio.

So. Sane intelligo qualem velis ipſam dicere; mox

δὲ εἴσομαι σαφέστερον. ἀλλ' ἀπόκριναι. εἰσὶν ἡμῖν τέχναι· ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Πασῶν δέ, οἶμαι, τῶν τεχνῶν τῶν μὲν ἐργασία
τὸ πολύ ἐστι καὶ λόγου βραχέος δέονται, ἔνιαι δὲ οὐδενός,
ἀλλὰ τὸ τῆς τέχνης περαίνοιτο ἂν καὶ διὰ σιγῆς, οἷον γρα-
φικὴ καὶ ἀνδριαντοποιΐα καὶ ἄλλαι πολλαί. τὰς * τοιαύτας D
μοι δοκεῖς λέγειν, περὶ ἃς οὔ φης τὴν ῥητορικὴν εἶναι·
ἢ οὔ;

ΓΟΡ. Πάνυ μὲν οὖν καλῶς ὑπολαμβάνεις, ὦ Σώκρατες.

ΣΩ. Ἕτεραι δέ γ' εἰσὶ τῶν τεχνῶν αἳ διὰ λόγου πᾶν
περαίνουσι καὶ ἔργου, ὡς ἔπος εἰπεῖν, ἢ οὐδενὸς προςδέον-
ται ἢ βραχέος πάνυ, οἷον ἡ ἀριθμητικὴ καὶ λογιστικὴ καὶ
γεωμετρικὴ καὶ πεττευτική γε καὶ ἄλλαι πολλαὶ τέχναι, ὧν
ἔνιαι σχεδόν τι ἴσους τοὺς λόγους ἔχουσι ταῖς πράξεσιν,
αἱ δὲ πολλαὶ πλείους καὶ τὸ παράπαν πᾶσα ἡ πρᾶξις καὶ
τὸ * κῦρος αὐταῖς διὰ λόγων ἐστί. τῶν τοιούτων τινά μοι E
δοκεῖς λέγειν καὶ τὴν ῥητορικήν.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλ' οὔ τι τούτων γε οὐδεμίαν οἶμαί σε βούλεσθαι ῥητορικὴν καλεῖν, οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶπες, ὅτι ἡ διὰ λόγου τὸ κῦρος ἔχουσα ῥητορική ἐστι, καὶ ὑπολάβοι ἄν τις, εἰ βούλοιτο δυςχεραίνειν τοῖς λόγοις, Τὴν ἀριθμητικὴν ἄρα ῥητορικήν, ὦ Γοργία, λέγεις; Ἀλλ' οὐκ οἶμαί σε οὔτε τὴν ἀριθμητικὴν οὔτε τὴν γεωμετρίαν ῥητορικὴν λέγειν.

*ΓΟΡ. Ὀρθῶς γὰρ οἴει, ὦ Σώκρατες, καὶ δικαίως 451
ὑπολαμβάνεις.

ΣΩ. Ἴθι οὖν καὶ σὺ τὴν ἀπόκρισιν ἣν ἠρόμην διαπέρανον. ἐπεὶ γὰρ ἡ ῥητορικὴ τυγχάνει μὲν οὖσα τούτων τις τῶν τεχνῶν τῶν τὸ πολὺ λόγῳ χρωμένων, τυγχάνουσι δὲ καὶ ἄλλαι τοιαῦται οὖσαι, πειρῶ εἰπεῖν ἡ περὶ τί ἐν λόγοις τὸ κῦρος ἔχουσα ῥητορική ἐστιν. ὥςπερ ἂν εἴ τίς με ἔροιτο ὧν νῦν δὴ ἔλεγον περὶ ἡςτινοσοῦν τῶν τεχνῶν Ὦ Σώκρατες, τίς ἐστιν ἡ ἀρι-

tamen perſpiciam clarius. itaque reſponde: ſunt nobis artes; nonne?

Gor. Ita.

So. Omnium vero, opinor, artium aliae in operibus faciendis magnam partem occupatae ſunt ſermonemque brevem requirunt, aliae vero nullum, ita ut artis opus perfici etiam ſilentio poſſit, velut ars pingendi et ſtatuaria et aliae multae. huiusmodi mihi videris artes dicere, in quibus neges rhetoricam eſſe; non ita eſt?

Gor. Oppido pulchre arbitraris, Socrate.

So. Aliae contra ſunt artes quae orationibus omne perficiunt et opus aut nullum prope requirunt aut admodum exiguum, velut arithmetica et ratiocinandi ars et geometria et calculis ludendi aliaeque multae artes, quarum nonnullae ferme aequales habent ſermones actionibus, plurimae vero plures, ita ut in univerſum omnis earum actio atque vis in orationibus ſit poſita. in huiusmodi artibus videris mihi dicere rhetoricam eſſe.

Gor. Vera dicis.

So. Neutiquam tamen harum ullam te exiſtimo velle rhetoricam dicere, quamquam ad verbum ita dixiſti, artem, cuius vis in oratione eſſet poſita, rhetoricam eſſe, et poſſet aliquis reponere, ſi verba tua premere vellet: Arithmeticam igitur, Gorgia, rhetoricam dicis? At te arbitror neque geometriam dicere rhetoricam.

Gor. Recte vero arbitraris, Socrate, et iure ita exiſtimas.

So. Age dum etiam tu reſponſionem quam rogavi abſolve. quum enim rhetorica ſit harum una artium, quae magnam partem oratione utuntur, ſint vero etiam aliae eiusdem generis, conare dicere, quorſum ſpectet huius artis oratio, quae rhetorica dicitur. quemadmodum ſi quis me interroget de aliqua earum artium quas modo memoravi: O Socrate, quaenam eſt arith-

θμητικὴ τέχνη; εἴποιμ' * ἂν αὐτῷ, ὥςπερ σὺ ἄρτι, ὅτι Τῶν διὰ λόγου τις τὸ κῦρος ἐχουσῶν· καὶ εἴ με ἐπανέροιτο Τῶν περὶ τί; εἴποιμ' ἂν ὅτι Τῶν περὶ τὸ ἄρτιόν τε καὶ περιττὸν [γνῶσις], ὅσα ἂν ἑκάτερα τυγχάνῃ ὄντα· εἰ δ' αὖ ἔροιτο Τὴν δὲ λογιστικὴν τίνα καλεῖς τέχνην; εἴποιμ' ἂν ὅτι Καὶ αὕτη ἐστὶ τῶν λόγῳ τὸ πᾶν κυρουμένων· καὶ εἰ ἐπανέροιτο Ἡ περὶ τί; εἴποιμ' ἄν, ὥςπερ οἱ ἐν τῷ δήμῳ ξυγγραφόμενοι, ὅτι Τὰ μὲν ἄλλα καθάπερ ἡ ἀ*ριθμητικὴ ἡ λογιστικὴ ἔχει· περὶ τὸ αὐτὸ γάρ ἐστι, τό τε ἄρτιον καὶ τὸ περιττόν· διαφέρει δὲ τοσοῦτον, ὅτι καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα πῶς ἔχει πλήθους, ἐπισκοπεῖ τὸ περιττὸν καὶ τὸ ἄρτιον ἡ λογιστική. καὶ εἴ τις τὴν ἀστρονομίαν ἀνέροιτο, ἐμοῦ λέγοντος ὅτι καὶ αὕτη λόγῳ κυροῦται τὰ πάντα, Οἱ δὲ λόγοι οἱ τῆς ἀστρονομίας, εἰ φαίη, περὶ τί εἰσιν, ὦ Σώκρατες; εἴποιμ' ἂν ὅτι Περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου καὶ σελήνης, πῶς πρὸς ἄλληλα τάχους ἔχει.

(B, C)

ΓΟΡ. Ὀρθῶς γε λέγων σύ, * ὦ Σώκρατες. D

ΣΩ. Ἴθι δὴ καὶ σύ, ὦ Γοργία· τυγχάνει μὲν γὰρ δὴ ἡ ῥητορικὴ οὖσα τῶν λόγῳ τὰ πάντα διαπραττομένων τε καὶ κυρουμένων τις· ἦ γάρ;

ΓΟΡ. Ἔστι ταῦτα.

ΣΩ. Λέγε δὴ τῶν περὶ τί; τί ἐστι τοῦτο τῶν ὄντων, περὶ οὗ οὗτοι οἱ λόγοι εἰσὶν οἷς ἡ ῥητορικὴ χρῆται;

ΓΟΡ. Τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων, ὦ Σώκρατες, καὶ ἄριστα.

ΣΩ. Ἀλλ', ὦ Γοργία, ἀμφισβητήσιμον καὶ τοῦτο λέγεις καὶ οὐδέν πω σαφές. οἴομαι * γάρ σε ἀκηκοέναι ἐν E
τοῖς ξυμποσίοις ᾀδόντων ἀνθρώπων τοῦτο τὸ σκολιόν, ἐν ᾧ καταριθμοῦνται ᾄδοντες ὅτι ὑγιαίνειν μὲν ἄριστόν ἐστι, τὸ δὲ δεύτερον καλὸν γενέσθαι, τρίτον δέ, ὥς φησιν ὁ ποιητὴς τοῦ σκολιοῦ, τὸ πλουτεῖν ἀδόλως.

ΓΟΡ. Ἀκήκοα γάρ· ἀλλὰ πρὸς τί τοῦτο λέγεις;

ΣΩ. Ὅτι σοι αὐτίκ' ἂν πα*ρασταῖεν οἱ δημιουργοὶ τού- 452
των ὧν ἐπῄνεσεν ὁ τὸ σκολιὸν ποιήσας, ἰατρός τε καὶ

metica ars? respondeam illi, sicut tu modo: Una est de his quarum vis in oratione posita est; et si me porro roget: Quorsum spectat? dicam ipsi: Ad par et impar, quid sit utrumque. si rursus quaerat: Artem vero ratiocinandi quamnam dicis? respondeam: Etiam haec est in numero earum quae oratione omnia perficiunt; et si praeterea ex me quaerat: Quorsum spectat? dicam, sicut illi qui rationes ad populum consignant: In ceteris quidem quae ratiocinandi artis est ratio, eadem est arithmeticae; in eodem est enim occupata, in pari et impari, in hoc autem ab illa differt quod, quomodo impar et par ad se ipsa et inter se, quod ad summam spectat, se habeant, anquirit ars ratiocinandi. et si quis astronomiam interroget et, me dicente, hanc quoque oratione perficere omnia, quaerat: Orationes vero astronomiae quorsum spectant, Socrate? reponam: Ad astrorum cursum et solis et lunae, qua ferantur inter se celeritate.

Gor. Recte vero tu dicis, Socrate.

So. Age dum etiam tu, Gorgia: est nimirum rhetorica in numero artium oratione omnia peragentium atque efficientium; annon?

Gor. Est ita.

So. Iam dic quorsum spectet? quid est illud quod tractant orationes quibus rhetorica utitur?

Gor. Maximae id sunt humanarum rerum, Socrate, et optimae.

So. At, Gorgia, ambiguum etiam hoc dicis necdum perspicuum. arbitror enim te audivisse in compotationibus canentes homines scolium illud carmen, in quo bona enumerant canentes, prospera videlicet valitudine uti optimum esse, secundum pulchrum esse, tertium, ut dicit auctor scolii, divitias habere non dolose comparatas.

Gor. Audivi sane, sed quid hoc dicis?

So. Quod statim ad te venire possint opifices eorum, quae celebravit scolii carminis auctor, medicus et

παιδοτρίβης καὶ χρηματιστής, καὶ εἴποι πρῶτον μὲν ὁ ἰα-
τρὸς ὅτι Ὦ Σώκρατες, ἐξαπατᾷ σε Γοργίας· οὐ γάρ ἐστιν
ἡ τούτου τέχνη περὶ τὸ μέγιστον ἀγαθὸν τοῖς ἀνθρώποις,
ἀλλ' ἡ ἐμή. Εἰ οὖν αὐτὸν ἐγὼ ἐροίμην Σὺ δὲ τίς ὢν
ταῦτα λέγεις; εἴποι ἂν ἴσως ὅτι Ἰατρός. Τί οὖν λέγεις; ἢ
τὸ τῆς σῆς τέχνης ἔργον μέγιστόν ἐστιν ἀγαθόν; Πῶς γὰρ
οὔ, φαίη ἂν ἴσως, ὦ Σώκρατες, ὑγίεια; τί δ' ἐστὶ μεῖζον
ἀγαθὸν ἀν*θρώποις ὑγιείας; Εἰ δ' αὖ μετὰ τοῦτον ὁ παι- B
δοτρίβης εἴποι ὅτι Θαυμάζοιμί γ' ἄν, ὦ Σώκρατες, καὶ αὐ-
τός, εἴ σοι ἔχει Γοργίας μεῖζον ἀγαθὸν ἐπιδεῖξαι τῆς αὑτοῦ
τέχνης ἢ ἐγὼ τῆς ἐμῆς· εἴποιμ' ἂν αὖ καὶ πρὸς τοῦτον
Σὺ δὲ δὴ τίς εἶ, ὦ ἄνθρωπε, καὶ τί τὸ σὸν ἔργον; Παι-
δοτρίβης, φαίη ἄν, τὸ δ' ἔργον μού ἐστι καλούς τε καὶ
ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους τὰ σώματα. Μετὰ δὲ
τὸν παιδοτρίβην εἴποι ἂν ὁ χρηματιστής, ὡς ἐγᾦμαι, πάνυ
καταφρονῶν ἁπάντων, Σκό*πει δῆτα, ὦ Σώκρατες, ἐάν σοι C
πλούτου φανῇ τι μεῖζον ἀγαθὸν ὂν ἢ παρὰ Γοργίᾳ ἢ παρ'
ἄλλῳ ὁτῳοῦν. φαῖμεν ἂν οὖν πρὸς αὐτόν Τί δὲ δή; ἦ σὺ
τούτου δημιουργός; Φαίη ἄν. Τίς ὤν; Χρηματιστής. Τί
οὖν; κρίνεις σὺ μέγιστον ἀνθρώποις ἀγαθὸν εἶναι πλοῦ-
τον; φήσομεν. Πῶς γὰρ οὔκ; ἐρεῖ. Καὶ μὴν ἀμφισβητεῖ
γε Γοργίας ὅδε τὴν παρ' αὑτῷ τέχνην μείζονος ἀγαθοῦ
αἰτίαν εἶναι ἢ τὴν σήν, φαῖμεν ἂν ἡμεῖς. δῆλον οὖν ὅτι
τὸ μετὰ τοῦτο ἔροιτ' ἂν Καὶ τί ἐστι * τοῦτο τὸ ἀγαθόν; D
ἀποκρινάσθω Γοργίας. Ἴθι οὖν, νομίσας, ὦ Γοργία, ἐρω-
τᾶσθαι καὶ ὑπ' ἐκείνων καὶ ὑπ' ἐμοῦ, ἀπόκριναι, τί ἐστι
τοῦτο ὅ φῃς σὺ μέγιστον ἀγαθὸν εἶναι τοῖς ἀνθρώποις
καὶ σὲ δημιουργὸν εἶναι αὐτοῦ.

ΓΟΡ. Ὅπερ ἔστιν, ὦ Σώκρατες, τῇ ἀληθείᾳ μέγι-
στον ἀγαθὸν καὶ αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς
ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν τῇ αὑτοῦ πόλει
ἑκάστῳ.

ΣΩ. Τί οὖν δὴ τοῦτο λέγεις;

ΓΟΡ. Τὸ πείθειν ἔγωγ' οἷόν τ' εἶναι τοῖς * λόγοις καὶ E
ἐν δικαστηρίῳ δικαστὰς καὶ ἐν βουλευτηρίῳ βουλευτὰς καὶ ἐν

palaeſtrae magiſter et quaeſtus faciendi peritus, et primum dicat medicus O Socrate, decipit te Gorgias; neque enim huius ars verſatur in eo, quod maximum eſt hominibus bonum, ſed mea. Quodſi ex eo quaeram: Quisnam tu es qui haec dicis? ſubiiciat forſitan: Medicus. Quid igitur dicis? numquid tuae artis opus maximum eſt bonum? Quidni, dixerit fortaſſe, Socrate, ſanitas ſit? quodnam eſt maius bonum hominibus ſanitate? Ac ſi poſt hunc palaeſtrae magiſter dicat: Mirer profecto, Socrate, ipſe quoque, ſi tibi poſſit Gorgias maius bonum oſtendere ex ipſius arte proficiſcens, quam ego ex mea: dicam etiam huic: Tu vero quis es,h omo: et quodnam opus tuum? Palaeſtrae magiſter, reponat, opus vero meum eſt pulchros et validos efficere homines quod ad corpora ſpectat. Poſt palaeſtrae deinde magiſtrum dixerit quaeſtus faciendi peritus, ut opinor, omnino contemnens omnes: Conſidera, quaeſo, Socrate, num tibi divitiis reperiatur maius bonum vel apud Gorgiam vel apud alium quempiam. Tum reponamus ipſi: Quid tandem? tune eius opifex? Affirmet. Quisnam es? Quaeſtus faciendi peritus. Quid igitur? cenſesne maximum hominibus bonum eſſe divitias? dicemus. Quidni? reſpondebit. Iam vero contendit hic Gorgias ſuam artem maius bonum efficere quam tuam, reponemus ipſi, et patet ipſum deinde interrogaturum eſſe: Et quodnam eſt hoc bonum? reſpondeto Gorgias. Age igitur, Gorgia, exiſtimans te interrogari et ab illis et a me, reſponde, quid ſit illud quod tu ais maximum bonum eſſe hominibus teque ipſius eſſe opificem.

Gor. Id quod revera, Socrate, maximum eſt bonum et efficit, ut ſimul liberi ſint ipſi homines ſimulque ſua quisque in urbe aliis imperet.

So. Quid igitur hoc dicis?

Gor. Perſuadere equidem dico poſſe orationibus et in iudicio iudicibus et in ſenatu ſenatoribus et in con-

ἐκκλησίᾳ ἐκκλησιαστὰς καὶ ἐν ἄλλῳ ξυλλόγῳ παντὶ, ὅστις ἂν πολιτικὸς ξύλλογος γίγνηται. καίτοι ἐν ταύτῃ τῇ δυνάμει δοῦλον μὲν ἕξεις τὸν ἰατρόν, δοῦλον δὲ τὸν παιδοτρίβην, ὁ δὲ χρηματιστὴς οὗτος ἄλλῳ ἀναφανήσεται χρηματιζόμενος καὶ οὐχ αὑτῷ, ἀλλὰ σοὶ τῷ δυναμένῳ λέγειν καὶ πείθειν τὰ πλήθη.

ΣΩ. Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ Γοργία, ἐγγύτατα
τὴν ῥητορι*κὴν ἥντινα τέχνην ἡγεῖ εἶναι, καὶ εἴ τι ἐγὼ 453
ξυνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική,
καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ· ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι, ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν;

ΓΟΡ. Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι· ἔστι γὰρ τοῦτο τὸ κεφάλαιον αὐτῆς.

ΣΩ. Ἄκουσον δή, ὦ Γοργία. ἐγὼ γὰρ εὖ ἴσθ' ὅτι,
ὡς ἐμαυτὸν πείθω, εἴπερ * τις ἄλλος ἄλλῳ διαλέγεται βου- B
λόμενος εἰδέναι αὐτὸ τοῦτο περὶ ὅτου ὁ λόγος ἐστί, καὶ
ἐμὲ εἶναι τούτων ἕνα· ἀξιῶ δὲ καὶ σέ.

ΓΟΡ. Τί οὖν δή, ὦ Σώκρατες;

ΣΩ. Ἐγὼ ἐρῶ νῦν. ἐγὼ τὴν ἀπὸ τῆς ῥητορικῆς
πειθώ, ἥτις ποτ' ἐστὶν ἣν σὺ λέγεις καὶ περὶ ὧν τινῶν
πραγμάτων ἐστὶ πειθώ, σαφῶς μὲν εὖ ἴσθ' ὅτι οὐκ οἶδα,
οὐ μὴν ἀλλ' ὑποπτεύω γε, ἣν οἶμαί σε λέγειν καὶ πε-
ρὶ ὧν· οὐδὲν μέντοι ἧττον ἐρήσομαί σε, τίνα ποτὲ λέ-
γεις τὴν πειθὼ τὴν ἀπὸ τῆς ῥη*τορικῆς καὶ περὶ τίνων C
αὐτὴν εἶναι. Τοῦ οὖν ἕνεκα δὴ αὐτὸς ὑποπτεύων σὲ
ἐρήσομαι, ἀλλ' οὐκ αὐτὸς λέγω; οὐ σοῦ ἕνεκα, ἀλλὰ τοῦ
λόγου, ἵνα οὕτω προΐῃ, ὡς μάλιστ' ἂν ἡμῖν καταφανὲς
ποιοῖ περὶ ὅτου λέγεται. σκόπει γὰρ εἴ σοι δοκῶ δικαίως
ἀνερωτᾶν σε. ὥσπερ ἂν εἰ ἐτύγχανόν σε ἐρωτῶν Τίς ἐστι
τῶν ζωγράφων Ζεῦξις; εἴ μοι εἶπες ὅτι Ὁ τὰ ζῶα γρά-
φων, ἆρ' οὐκ ἂν δικαίως σε ἠρόμην Ὁ τὰ ποῖα τῶν ζώων
γράφων καὶ ποῦ;

ΓΟΡ. Πάνυ γε.

cione concionatoribus et in reliquis coetibus omnibus, quicumque sunt civiles coetus. hac vero instructus potestate servum habebis medicum, servum palaestrae magistrum, quaestus autem faciendi peritus ille alii reperietur quaestum faciens, non sibi, sed tibi qui potes dicere et persuadere multitudini.

So. Nunc mihi videris declarasse, Gorgia, proxime rhetoricam quamnam censeas artem esse, et si quid ego intelligo, dicis persuadendi opificem esse rhetoricam, et operam ipsius omnem atque summam huc spectare; an habes dicere plus rhetoricam posse, quam persuasionem audientium animis iniicere?

Gor. Minime vero, Socrate, sed satis mihi videris definire; est enim haec ipsius summa.

So. Audi igitur, Gorgia. etenim probe scias, si quisquam cum altero colloquatur ut cognoscat id ipsum quod agatur, me sane, ut mihi persuadeo, in horum esse numero; puto etiam te.

Gor. Quid igitur, Socrate?

So. Ego nunc dicam. persuasio illa a rhetorica proficiscens, quam dicis, quaenam sit in quibusque rebus versetur, probe scias me non dilucide intelligere; verumtamen suspicor fere, quam arbitrer te dicere et in quibus versantem. nihilo tamen minus quaeram ex te, quam tandem dicas persuasionem a rhetorica proficiscentem et in quibusnam rebus illam quidem versantem. Cur tandem ipse suspicans te rogabo, ac non ipse dico? Non tua causa, sed orationis gratia, quo ita procedat, ut quam maxime nobis perspicuum id faciat, de quo quaeritur. considera enim num tibi videar iure interrogare te. quemadmodum si ex te quaererem: Quis est in pictoribus Zeuxis? si mihi reponeres: Is qui animalia pingit, nonne iure te rogarem: Qualia animalia pingit et quorsum?

Gor. Sane quidem.

* ΣΩ. Ἆρα διὰ τοῦτο, ὅτι καὶ ἄλλοι εἰσὶ ζωγράφοι D
γράφοντες ἄλλα πολλὰ ζῶα;

ΓΟΡ. Ναί.

ΣΩ. Εἰ δέ γε μηδεὶς ἄλλος ἢ Ζεῦξις ἔγραφε, καλῶς
ἄν σοι ἀπεκέκριτο.

ΓΟΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἴθι δὴ καὶ περὶ τῆς ῥητορικῆς εἰπέ· Πότερόν
σοι δοκεῖ πειθὼ ποιεῖν ἡ ῥητορικὴ μόνη, ἢ καὶ ἄλλαι τέ-
χναι; λέγω δὲ τὸ τοιόνδε· ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα,
πότερον ὃ διδάσκει πείθει, ἢ οὔ;

ΓΟΡ. Οὐ δῆτα, ὦ Σώκρατες, ἀλλὰ πάντων μάλιστα πείθει.

* ΣΩ. Πάλιν δ᾽ εἰ ἐπὶ τῶν αὐτῶν τεχνῶν λέγομεν E
ὧνπερ νῦν δή, ἡ ἀριθμητικὴ οὐ διδάσκει ἡμᾶς, ὅσα ἐστὶ
τὰ τοῦ ἀριθμοῦ, καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ πείθει;

ΓΟΡ. Ναί.

ΣΩ. Πειθοῦς ἄρα δημιουργός ἐστι καὶ ἡ ἀριθμητική.

ΓΟΡ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ἐάν τις ἐρωτᾷ ἡμᾶς· Ποίας πειθοῦς καὶ
περὶ τί; ἀποκρινούμεθά που αὐτῷ ὅτι Τῆς διδασκαλικῆς
τῆς περὶ τὸ ἄρτιόν τε καὶ τὸ περιττὸν ὅσον ἐστί· * καὶ 45
τὰς ἄλλας ἃς νῦν δὴ ἐλέγομεν τέχνας ἁπάσας ἕξομεν ἀπο-
δεῖξαι πειθοῦς δημιουργοὺς οὔσας καὶ ἧστινος καὶ περὶ
ὅ τι· ἢ οὔ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστὶ δημιουργός.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἐπειδὴ τοίνυν οὐ μόνη ἀπεργάζεται τοῦτο τὸ
ἔργον, ἀλλὰ καὶ ἄλλαι, δικαίως, ὥσπερ περὶ τοῦ ζωγράφου,
μετὰ τοῦτο ἐπανεροίμεθ᾽ ἂν τὸν λέγοντα, Ποίας δὴ πει-
θοῦς καὶ τῆς περὶ τί πειθοῦς ἡ ῥητορική ἐστι τέχνη; ἢ
οὐ δοκεῖ σοι * δίκαιον εἶναι ἐπανερέσθαι; B

ΓΟΡ. Ἔμοιγε.

ΣΩ. Ἀπόκριναι δή, ὦ Γοργία, ἐπειδή γε καὶ σοὶ
δοκεῖ οὕτως.

So. Nonne propterea quod alii quoque ſunt pictores alia multa animalia pingentes?

Gor. Vero.

So. Quodſi nullus alius praeter Zeuxin pingeret, ita bene a te reſponſum eſſet.

Gor. Quidni?

So. Age dum etiam de rhetorica dic: Num tibi videtur perſuaſionem efficere rhetorica ſola, an etiam aliae artes? dico autem hoc: qui docet rem quampiam, num id quod docet perſuadet, necne?

Gor. Immo, Socrate, omnium maxime perſuadet.

So. Rurſum vero ſi de isdem artibus dicimus, de quibus ſupra, arithmetica nonne docet nos quaecumque ad numerum pertinent, et arithmeticus homo?

Gor. Sane quidem.

So. Nonne etiam perſuadet?

Gor. Vero.

So. Perſuadendi ergo opifex eſt etiam arithmetica.

Gor. Patet.

So. Nonne ſi quis quaerat ex nobis: Qualis perſuaſionis et quorſum ſpectantis? reſpondeamus ei: Illius quae nos docet par et impar quantum ſit; et ceteras quas ſupra memoravimus artes omnes poterimus demonſtrare perſuaſionis opifices eſſe, et cuiusnam quorſusque ſpectantis: nonne?

Gor. Ita.

So. Non igitur rhetorica ſola perſuadendi eſt opifex.

Gor. Vera dicis.

So. Quandoquidem igitur non ſola conficit hoc opus, ſed aliae quoque, iure, ſicut de pictore, deinde rogabimus dicentem: Qualis tandem perſuaſionis quorſusque ſpectantis ars eſt rhetorica? annon tibi videtur iure id quaeri?

Gor. Mihi vero.

So. Reſponde igitur, Gorgia, quandoquidem tibi quoque ita videtur.

ΓΟΡ. Ταύτης τοίνυν τῆς πειθοῦς λέγω, ὦ Σώκρατες, τῆς ἐν τοῖς δικαστηρίοις καὶ ἐν τοῖς ἄλλοις ὄχλοις, ὥςπερ καὶ ἄρτι ἔλεγον, καὶ περὶ τούτων ἅ ἐστι δίκαιά τε καὶ ἄδικα.

ΣΩ. Καὶ ἐγώ τοι ὑπώπτευον ταύτην σε λέγειν τὴν πειθὼ καὶ περὶ τούτων, ὦ Γοργία· ἀλλ' ἵνα μὴ θαυμάζῃς, ἐὰν ὀλίγον ὕστερον τοιοῦτόν τί σε ἀνέρωμαι, ὃ δοκεῖ * μὲν C δῆλον εἶναι, ἐγὼ δ' ἐπανερωτῶ, ὅπερ γὰρ λέγω, τοῦ ἑξῆς ἕνεκα περαίνεσθαι τὸν λόγον ἐρωτῶ, οὐ σοῦ ἕνεκα, ἀλλ' ἵνα μὴ ἐθιζώμεθα ὑπονοοῦντες προαρπάζειν ἀλλήλων τὰ λεγόμενα, ἀλλὰ σὺ τὰ σαυτοῦ κατὰ τὴν ὑπόθεσιν, ὅπως ἂν βούλῃ, περαίνῃς.

ΓΟΡ. Καὶ ὀρθῶς γέ μοι δοκεῖς ποιεῖν, ὦ Σώκρατες.

ΣΩ. Ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα. καλεῖς τι μεμαθηκέναι;

ΓΟΡ. Καλῶ.

ΣΩ. Τί δέ; πεπιστευκέναι;

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Πότερον * οὖν ταὐτὸν δοκεῖ σοι εἶναι μεμαθηκέ- D ναι καὶ πεπιστευκέναι καὶ μάθησις καὶ πίστις, ἢ ἄλλο τι;

ΓΟΡ. Οἴομαι μὲν ἔγωγε, ὦ Σώκρατες, ἄλλο.

ΣΩ. Καλῶς γὰρ οἴει· γνώσει δὲ ἐνθένδε. εἰ γάρ τίς σε ἔροιτο Ἆρ' ἔστι τις, ὦ Γοργία, πίστις ψευδὴς καὶ ἀληθής; φαίης ἄν, ὡς ἐγᾦμαι.

ΓΟΡ. Ναί.

ΣΩ. Τί δέ; ἐπιστήμη ἐστὶ ψευδὴς καὶ ἀληθής;

ΓΟΡ. Οὐδαμῶς.

ΣΩ. Δῆλον γὰρ οὖν ὅτι οὐ ταὐτόν ἐστιν.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλὰ μὴν οἵ τέ γε μεμαθηκότες πε*πεισμένοι E εἰσὶ καὶ οἱ πεπιστευκότες.

ΓΟΡ. Ἔστι ταῦτα.

ΣΩ. Βούλει οὖν δύο εἴδη θῶμεν πειθοῦς, τὸ μὲν πίστιν παρεχόμενον ἄνευ τοῦ εἰδέναι, τὸ δ' ἐπιστήμην;

Gor. Hanc vero persuasionem dico, Socrate, quae in iudiciis ceterisque hominum coetibus, quemadmodum supra iam dixi, efficitur, et illa quidem ad iusta et iniusta spectans.

So. Equidem ipse suspicatus sum hanc te dicere persuasionem et huc spectantem, Gorgia; sed ut ne mireris, si paullo post tale quid te interrogem, quod, licet videatur perspicuum esse, tamen rogo, hanc ob causam, quemadmodum dico, ut ordine perficiatur oratio, interrogo, non tua causa, ne videlicet assuescamus coniecturam capientes praeripere inter nos dicenda, sed tu id quod sentis secundum propositum, quomodocumque velis, perficias.

Gor. Et recte quidem mihi videris facere, Socrate.

So. Age dum etiam hoc anquiramus. dicisne aliquid percipere?

Gor. Dico.

So. Quid vero? num fidem habere?

Gor. Ego vero.

So. Utrum igitur idem videtur tibi esse percipere et fidem habere, perceptio et fides, an diversum?

Gor. Arbitror equidem, Socrate, diversum.

So. Pulchre vero arbitraris, cognosces autem hinc: etenim si quis ex te quaerat: Estne, Gorgia, fides aliqua falsa et vera? dicas, ut arbitror.

Gor. Vero.

So. Quid vero, scientiane est falsa et vera?

Gor. Minime vero.

So. Apparet igitur non esse idem.

Gor. Verum dicis.

So. Iam vero tum qui percipiunt persuasi sunt tum qui fidem habent.

Gor. Sunt ista.

So. Visne igitur duas species ponamus persuasionis, alteram quae fidem faciat sine scientia, alteram quae scientiam efficiat?

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Ποτέραν οὖν ἡ ῥητορικὴ πειθὼ ποιεῖ ἐν δικαστηρίοις τε καὶ τοῖς ἄλλοις ὄχλοις περὶ τῶν δικαίων τε καὶ ἀδίκων; ἐξ ἧς τὸ πιστεύειν γίγνεται ἄνευ τοῦ εἰδέναι, ἢ ἐξ ἧς τὸ εἰδέναι;

ΓΟΡ. Δῆλον δήπου, ὦ Σώκρατες, ὅτι ἐξ ἧς τὸ πιστεύειν.

ΣΩ. Ἡ ῥητορικὴ ἄρα, ὦ Γοργία, ὡς ἔοικε, πειθοῦς
*δημιουργός ἐστι πιστευτικῆς, ἀλλ' οὐ διδασκαλικῆς περὶ 465
τὸ δίκαιόν τε καὶ ἄδικον.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων δικαίων τε πέρι καὶ ἀδίκων, ἀλλὰ πιστικὸς μόνον· οὐ γὰρ δήπου ὄχλον γ' ἂν δύναιτο τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα.

ΓΟΡ. Οὐ δῆτα.

ΣΩ. Φέρε δή, ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ τῆς
ῥητορικῆς· ἐγὼ μὲν γάρ τοι οὐδ' * αὐτός πω δύναμαι κα- B
τανοῆσαι ὅ τι λέγω. ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει ξύλλογος ἢ περὶ ναυπηγῶν ἢ περὶ ἄλλου τινὸς δημιουργικοῦ ἔθνους, ἄλλο τι τότε ὁ ῥητορικὸς οὐ ξυμβουλεύσει; δῆλον γὰρ ὅτι ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι· οὐδ' ὅταν τειχῶν πέρι οἰκοδομήσεως ἢ λιμένων κατασκευῆς ἢ νεωρίων, ἀλλ' οἱ ἀρχιτέκτονες· οὐδ' αὖ ὅταν στρατηγῶν αἱρέσεως πέρι ἢ τάξεώς τινος πρὸς πολε-
μίους ἢ χωρίων καταλή*ψεως ξυμβουλὴ ᾖ, ἀλλ' οἱ στρατη- C
γικοὶ τότε ξυμβουλεύσουσιν, οἱ ῥητορικοὶ δὲ οὔ· ἢ πῶς λέγεις, ὦ Γοργία, τὰ τοιαῦτα; ἐπειδὴ γὰρ αὐτός τέ φης ῥήτωρ εἶναι καὶ ἄλλους ποιεῖν ῥητορικούς, εὖ ἔχει τὰ τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι· καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν· ἴσως γὰρ καὶ τυγχάνει τις τῶν ἔνδον ὄντων μαθητής σου βουλόμενος γενέσθαι· ὡς ἐγώ τινας σχεδὸν καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰ-
σχύνοιντ' ἂν σε ἀνερέσθαι. ὑπ' ἐμοῦ οὖν ἀνερω*τώμενος D
νόμισον καὶ ὑπ' ἐκείνων ἀνερωτᾶσθαι Τί ἡμῖν, ὦ

Gor. Sane quidem.

So. Utram igitur rhetorica perſuaſionem efficit in iudiciis ceterisque hominum coetibus de iuſtis et iniuſtis? eamne, ex qua fides exſiſtat ſine ſcientia, an eam, ex qua ſcientia?

Gor. Dubium non eſt, Socrate, quin eam ex qua fides efflore ſcat.

So. Rhetorica ergo, Gorgia, ut perſpicitur, perſuaſionis opiſex eſt fidem, non doctrinam efficientis de iuſto et iniuſto.

Gor. Ita.

So. Quocirca rhetor non docendi peritus eſt iudicia ceterosque coetus iuſta et iniuſta, ſed fidei tantum faciendae; neque enim coetum poterit tam magnum brevi tempore docere tantas res.

Gor. Minime vero.

So. Age dum, videamus quid tandem dicamus de rhetorica; nam ne ipſe quidem adhuc poſſum perſpicere id quod dico. quum de medicis creandis civilis eſt congregatio vel de fabris navalibus vel de alio quopiam opificum genere, nonne tum rhetor non conſulitur? patet enim in creatione artificioſiſſimum quemque creandum eſſe; neque quum de muris exſtruendis vel portibus navalibusve aedificandis conſultatur, ſed architecti conſuluntur; neque etiam, quando de ducibus creandis vel de acie inſtruenda adverſus hoſtes vel de caſtellis capiendis conſultatio eſt, ſed rei imperatoriae periti tum conſultabunt, non rhetores; an quomodo ſtatuis, Gorgia, de his? quandoquidem enim et te ipſum profiteris rhetorem eſſe et alios te reddere rhetoricae peritos, conſentaneum eſt quae tuae ſint artis ex te ſciſcitari; atque me exiſtimato nunc etiam tibi ſtudere. quippe forſitan quiſpiam eorum qui intus ſunt ſe cupiat diſcipulum tuum fieri; atque multos fere equidem animadverto qui haud dubie vereantur te rogare; quocirca ſi a me interrogaris, exiſtimato etiam ab illis te interrogari: Quid nobis,

Γοργία, ἔσται ἐάν σοι ξυνῶμεν; περὶ τίνων τῇ πόλει ξυμβουλεύειν οἷοί τ' ἐσόμεθα; πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου, ἢ καὶ περὶ ὧν νῦν δὴ Σωκράτης ἔλεγε; Πειρῶ οὖν αὐτοῖς ἀποκρίνεσθαι.

ΓΟΡ. *Ἀλλ' ἐγώ σοι πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι τὴν τῆς ῥητορικῆς δύναμιν ἅπασαν· αὐτὸς γὰρ καλῶς ὑφηγήσω. οἶσθα γὰρ δήπου ὅτι τὰ νεώρια ταῦτα καὶ τὰ τείχη τὰ τῶν *) * Ἀθηναίων καὶ ἡ τῶν λιμένων κατα-* E *σκευὴ ἐκ τῆς Θεμιστοκλέους ξυμβουλῆς γέγονε, τὰ δ' ἐκ τῆς Περικλέους, ἀλλ' οὐκ ἐκ τῆς **) τῶν δημιουργῶν.*

ΣΩ. *Λέγεται ταῦτα, ὦ Γοργία, περὶ Θεμιστοκλέους· Περικλέους δὲ καὶ αὐτὸς ἤκουον ὅτε ξυνεβούλευεν ἡμῖν περὶ τοῦ διὰ μέσου τείχους.*

ΓΟΡ. *Καὶ ὅταν γέ τις αἵρεσις ᾖ, ὧν δὴ * σὺ ἔλε-* 456 *γες, ὦ Σώκρατες, ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσιν οἱ ξυμβουλεύοντες καὶ οἱ νικῶντες τὰς γνώμας περὶ τούτων.*

ΣΩ. *Ταῦτα καὶ θαυμάζων, ὦ Γοργία, πάλαι ἐρωτῶ ἥτις ποτὲ ἡ δύναμίς ἐστι τῆς ῥητορικῆς· δαιμονία γάρ τις ἔμοιγε καταφαίνεται τὸ μέγεθος οὕτω σκοποῦντι.*

ΓΟΡ. *Εἰ πάντα γε εἰδείης, ὦ Σώκρατες, ὅτι, ὡς ἔπος εἰπεῖν, ἁπάσας τὰς δυνάμεις ξυλλαβοῦσα ὑφ' αὑτῇ ἔχει. μέγα δέ * σοι τεκμήριον ἐρῶ· πολλάκις γὰρ ἤδη ἔγωγε μετὰ τοῦ ἀδελφοῦ* B *καὶ μετὰ τῶν ἄλλων ἰατρῶν εἰσελθὼν παρά τινα τῶν καμνόντων οὐχὶ ἐθέλοντα ἢ φάρμακον πιεῖν ἢ τεμεῖν ἢ καῦσαι παρασχεῖν τῷ ἰατρῷ, οὐ δυναμένου τοῦ ἰατροῦ πεῖσαι, ἐγὼ ἔπεισα οὐκ ἄλλῃ τέχνῃ ἢ τῇ ῥητορικῇ. φημὶ δὲ καὶ εἰς πόλιν ὅπῃ ***) βούλει ἐλθόντα ῥητορικὸν ἄνδρα καὶ ἰατρόν, εἰ δέοι λόγῳ διαγωνίζεσθαι ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ ξυλλόγῳ, ὁπότερον δεῖ αἱρεθῆναι, ῥήτορα ἢ ἰα*τρόν, οὐδαμοῦ ἂν φανῆναι τὸν ἰα-* C *τρόν, ἀλλ' αἱρεθῆναι ἂν τὸν εἰπεῖν δυνατόν, εἰ βούλοιτο. καὶ εἰ πρὸς ἄλλον γε δημιουργὸν ὁντινοῦν ἀγωνίζοιτο, πείσειεν ἂν αὑτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστισοῦν· οὐ γάρ ἔστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικός, ἢ ἄλλος ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει. Ἡ μὲν οὖν δύναμις τοσαύτη ἐστὶ καὶ τοιαύτη τῆς τέχνης.*

---

*) γρ. τῶν Ἀθηναίων. ἄλλ. τὰ Ἀθηναίων.

) γρ. ἐκ τῶν δ. *) ἄλλ. ὅποι.

Gorgia, erit, ſi te utemur? de quibusnam rebus civitati conſulere poterimus? utrum de iuſto tantum et iniuſto, an etiam de iis quae Socrates modo memoravit? Conare igitur his reſpondere.

Gor. At ego tibi conabor, Socrate, manifeſto aperire rhetoricae vim univerſam; ipſe enim bene praeiviſti. ſcis videlicet haud dubie haec navalia et muros Athenienſium et portuum exſtructionem partim Themiſtoclis conſilio facta eſſe partim Periclis, non opificum.

So. Dicitur hoc, Gorgia, de Themiſtocle, Periclem vero ipſe etiam audivi, quum conſilium nobis daret de medio muro.

Gor. Et quando creandi ſunt illi, quos ſupra memoraſti, Socrate, vides rhetores eſſe, qui in conſilium adhibeantur quorumque ſententia vincat in his.

So. Hoc ipſum admirans, Gorgia, iamdudum interrogo quae tandem ſit vis rhetoricae; divina enim quadam mihi videtur magnitudine eſſe ita reputanti.

Gor. Sane ſi omnia ſcires, Socrate, prope omnes videlicet vires ipſam in ſe continere. magnum vero tibi argumentum afferam. etenim ſaepius iam cum fratre ceterisque medicis accedens ad aegrotantem aliquem, qui neque medicamentum bibere neque ad ſecandum vel urendum ſe dedere vellet medico, ſi perſuadere medicus non poſſet, ego perſuaſi nulla alia arte niſi rhetorica. aio etiam in urbem, quamcunque vis, ſi venerint rhetor et medicus verbisque disceptare debeant in concione vel alia quapiam congregatione, utrum oporteat creari, rhetorem an medicum, pro nihilo viſurum eſſe medicum, ſed creatum iri dicendi peritum, ſiquidem voluerit. et ſi cum alio opifice, quicumque eſt, decertet, perſuadeat ut ipſe creetur, rhetor magis quam alius ullus; nihil eſt enim, de quo non ad perſuadendum accommodatius dicat rhetor, quam alius ullus opificum apud populum. Vis igitur tanta eſt et talis huius artis.

δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι, ὥςπερ τῇ
ἄλλῃ πάσῃ ἀγωνίᾳ· καὶ γὰρ * τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα D
δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους· ὅτι ἔμαθέ τις πυκτεύ-
ειν τε καὶ παγκρατιάζειν καὶ ἐν ὅπλοις μάχεσθαι, ὥςτε κρείτ-
των εἶναι καὶ φίλων καὶ ἐχθρῶν, οὐδὲ τούτου ἕνεκα τοὺς φί-
λους δεῖ τύπτειν οὐδὲ κεντεῖν τε καὶ ἀποκτιννύναι· οὐδέ γε
μὰ Δί', ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα καὶ
πυκτικὸς γενόμενος, ἔπειτα τὸν πατέρα τύπτῃ καὶ τὴν μητέρα
ἤ ἄλλον τινὰ τῶν οἰκείων ἢ τῶν φίλων, οὐ * τούτου ἕνεκα δεῖ E
τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις διδάσκοντας μάχε-
σθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων· ἐκεῖνοι μὲν γὰρ
παρέδοσαν ἐπὶ τῷ δικαίως χρῆσθαι τούτοις πρὸς τοὺς πολεμί-
ους καὶ τοὺς ἀδικοῦντας, ἀμυνομένους, μὴ ὑπάρχοντας, οἱ
* δὲ μεταστρέψαντες χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. 457
οὔκουν οἱ διδάξαντες πονηροί, οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πο-
νηρὰ τούτου ἕνεκά ἐστιν, ἀλλ' οἱ μὴ χρώμενοι, οἶμαι, ὀρθῶς. Ὁ
αὐτὸς δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς
ἅπαντάς ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥςτε πιθανώ-
τερος εἶναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ ὅτου ἂν βούληται·
ἀλλ' οὐδέν τι * μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν B
δόξαν ἀφαιρεῖσθαι, ὅτι δύναιτο ἂν τοῦτο ποιῆσαι, οὔτε τοὺς
ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι,
ὥςπερ καὶ τῇ *) ἀγωνίᾳ. ἐὰν δέ, οἶμαι, ῥητορικὸς γενόμενός
τις κᾆτα ταύτῃ τῇ δυνάμει καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδά-
ξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων· ἐκεῖνος μὲν
γὰρ ἐπὶ δικαίᾳ χρείᾳ παρέδω*κεν, ὁ δ' ἐναντίως χρῆται. τὸν C
οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ
ἀποκτιννύναι, ἀλλ' οὐ τὸν διδάξαντα.

ΣΩ. Οἶμαι, ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολ-
λῶν λόγων καὶ καθεωρακέναι ἐν αὐτοῖς τὸ τοιόνδε, ὅτι
οὐ ῥᾳδίως δύνανται οἱ ἄνθρωποι, περὶ ὧν ἂν ἐπιχειρή-
σωσι διαλέγεσθαι, διορισάμενοι πρὸς ἀλλήλους καὶ μα-
θόντες καὶ διδάξαντες ἑαυτούς, οὕτω διαλύεσθαι τὰς ξυν-
ουσίας, * ἀλλ' ἐὰν περί του ἀμφισβητήσωσι καὶ μὴ φῇ D

*) ἴσ. τῇ ἄλλῃ.

oportet tamen, Socrate, ita uti rhetorica, ut reliquis artibus concertatoriis omnibus; nam reliquas quoque artes concertatorias non hanc ob caufam oportet omnibus adhiberi hominibus; fcilicet quod quis didicit pugnis certare, pancratium exercere et armis pugnare, ita ut fuperior fit et amicis et inimicis, neque iccirco amicos debet percutere vel vulnerare et interficere, neque per Iovem, fi quis, qui in palaeftram ventitando robuftus et pugil factus eft, patrem percutit et matrem vel alium quempiam familiarium aut amicorum, iccirco confentaneum eft palaeftrae magiftros eosque qui armis pugnandi artem docent odiffe et expellere ex urbibus; hi enim tradiderunt artem fuam eo confilio, ut iufte illi eam adhiberent adverfus hoftes et iniufte facientes, fefe defendentes, non adorientes; illi vero adhibent robur artemque non recte. itaque non qui docuerunt improbi funt, neque ars in culpa et improba iccirco eft, fed, ut opinor, qui non recte ea utuntur. Et eadem ratio eft rhetoricae. poteft enim apud omnes rhetor et de omnibus dicere, ita ut maxime perfuadeat multitudini quodcumque denique voluerit; nihilo tamen magis iccirco neque de medicorum debet neque de ceterorum opificum fama detrahere, quod hoc facere poffit, fed iufte etiam rhetoricam adhibere, ficut reliquas artes concertatorias. fi quis vero, opinor, rhetor factus eft et deinde hac vi et arte iniufte facit, non eum qui docuit convenit odiffe et expellere ex urbibus; hic enim ad iuftum ufum eam tradidit, ille vero contrario modo ea utitur. quocirca hunc qui non recte ea utitur, odiffe debemus et expellere et interficere, non eum qui docuit.

So. Arbitror, Gorgia, te quoque expertum effe multos fermones et animadvertiffe in iis hoc, non facile poffe homines, quum, de quibus inftituerint disferere, inter fe definierint, difcentes et fefe docentes, tum demum dimittere disputationem; fed fi de re quapiam ambigant

ὁ ἕτερος τὸν ἕτερον ὀρθῶς λέγειν ἢ μὴ σαφῶς, χαλεπαίνουσί τε καὶ κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν λέγειν, φιλονεικοῦντας, ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ· καὶ ἔνιοί γε τελευτῶντες αἴσχιστα ἀπαλλάττονται λοιδορηθέντες τε καὶ εἰπόντες καὶ ἀκούσαντες περὶ σφῶν αὐτῶν τοιαῦτα, οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι ὑπὲρ σφῶν αὐτῶν, ὅτι τοιούτων ἀνθρώπων ἠξίωσαν * ἀκροαταὶ γενέσθαι. Τοῦ δὴ ἕνεκα λέγω E ταῦτα; Ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν οὐδὲ ξύμφωνα οἷς τὸ πρῶτον ἔλεγες περὶ τῆς ῥητορικῆς· φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονεικοῦντα λέγειν, τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ. ἐγὼ οὖν, εἰ μὲν καὶ σὺ εἶ τῶν ἀνθρώπων, * ὧνπερ καὶ ἐγώ, 458 ἡδέως ἄν σε διερωτῴην, εἰ δὲ μή, ἐῴην ἄν. ἐγὼ δὲ τίνων εἰμί; τῶν ἡδέως μὲν ἂν ἐλεγχθέντων, εἴ τι μὴ ἀληθὲς λέγοιεν *), ἡδέως δ' ἂν ἐλεγξάντων, εἴ τίς τι μὴ ἀληθὲς λέγοι, οὐκ ἀηδέστερον μέντ' ἂν ἐλεγχθέντων, ἢ ἐλεγξάντων· μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσῳπερ μεῖζον ἀγαθόν ἐστιν αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου, ἢ ἄλλον ἀπαλλάξαι. οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, ὅσον δόξα * ψευδὴς περὶ ὧν B τυγχάνει νῦν ἡμῖν ὁ λόγος ὤν. εἰ μὲν οὖν καὶ σύ φῃς τοιοῦτος εἶναι, διαλεγώμεθα, εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν καὶ διαλύωμεν τὸν λόγον **).

ΓΟΡ. Ἀλλὰ φημὶ μὲν ἔγωγε, ὦ Σώκρατες, καὶ αὐτὸς τοιοῦτος εἶναι οἷον σὺ ὑφηγεῖ· ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων. πάλαι γάρτοι, πρὶν καὶ ὑμᾶς ἐλθεῖν, ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην, καὶ νῦν ἴσως πόῤῥω ἀποτενοῦμεν, ἢν δια*λεγώμεθα. σκοπεῖν οὖν χρὴ C καὶ τὸ τούτων, μή τινας αὐτῶν κατέχωμεν βουλομένους τι καὶ ἄλλο πράττειν.

ΧΑΙ. Τοῦ μὲν θορύβου, ὦ Γοργία τε καὶ Σώκρατες, αὐτοὶ ἀκούετε τούτων τῶν ἀνδρῶν, βουλομένων ἀκούειν ἐάν

*) γρ. λέγοιμι. ἄλλ. λέγω.
**) ἄλλ. ξύλλογον.

alterque neget alterum recte dicere aut non perſpicue eum dicere contendat, indignantur et ad invidiam ſibi faciendam alterum hoc dicere arbitrantur, ambitioſe contendentes, non quaerentes id quod propoſitum eſt ſermoni; quin etiam nonnulli turpiſſimis discedunt iactati conviciis, poſtquam et dixerunt et audiverunt de ſe ipſis eiusmodi res, ut etiam praesentes ſibi ipſi iraſcantur, quod huiusmodi homines dignos duxerint quos audirent. Quorſum tandem ſpectat quod dico? Huc quod nunc mihi videris tu non ſatis conſequentia dicere nec conſentanea iſtis quae primo dixiſti de rhetorica. iam vereor te redarguere, ne ſuſpiceris me non rei cauſa contendentem dicere, ut manifeſta fiat, ſed tua cauſa. itaque ego, ſi etiam tu in his es hominibus, in quibus ego, libenter te rogabo, ſin minus, ſinam. ego vero in quibusnam ſum? in his qui libenter ſe redargui patiantur, ſi quid dicant quod non ſit verum, libenter etiam redarguant, ſi quis quod non ſit verum dicat, non minus autem libenter redarguantur quam redarguant; tanto enim maius hoc bonum iudico, quanto maius bonum ſit ipſum liberari maximo malo, quam alterum liberare. etenim nullum cenſeo malum homini tantum eſſe, quantum iudicium falſum de iis, in quibus noſtra nunc verſatur oratio. quodſi tu quoque profiteris talem te eſſe, disſeramus, ſin autem videtur hoc omittendum eſſe, miſſum iam faciamus et dimittamus disputationem.

Gor. At profiteor equidem, Socrate, me ipſum quoque talem eſſe, qualem tu praeſcribis; fortaſſe tamen etiam praesentium ratio eſt habenda; iamdudum enim, priusquam vos veniſtis, ego praesentibus in multis me oſtentavi; nunc autem fortaſſe longius ſermonem producemus, ſi disſerere pergamus. reſpicere igitur oportet etiam ad hos, ne quos de iis detineamus, ſi quid aliud factum cupiant.

Chaer. Tumultum quidem, Gorgia et Socrate, ipſi auditis horum virorum cupientium audire ſi quid

τι λέγητε· ἐμοὶ δ' οὖν καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία, ὥςτε τοιούτων λόγων καὶ οὕτω λεγομένων ἀφεμένῳ προὐργιαίτερόν τι γενέσθαι ἄλλο πράττειν.

*ΚΑΛ. Νὴ τοὺς θεούς, ὦ Χαιρεφῶν, καὶ μὴν δὴ D
καὶ αὐτὸς πολλοῖς ἤδη λόγοις παραγενόμενος οὐκ οἶδ' εἰ πώποτε ἥσθην οὕτως, ὥςπερ νυνί, ὥςτ' ἔμοιγε, κἂν τὴν ἡμέραν ὅλην ἐθέλητε διαλέγεσθαι, χαριεῖσθε.

ΣΩ. Ἀλλὰ μήν, ὦ Καλλίκλεις, τό γ' ἐμὸν οὐδὲν κωλύει, εἴπερ ἐθέλει Γοργίας.

ΓΟΡ. Αἰσχρὸν δὴ τὸ λοιπόν, ὦ Σώκρατες, γίγνεται ἐμέ γε μὴ ἐθέλειν, καὶ ταῦτα αὐτὸν ἐπαγγειλάμενον ἐρωτᾶν
ὅ τί τις βούλεται. ἀλλ' εἰ δο*κεῖ τουτοισί, διαλέγου τε καὶ E
ἐρώτα ὅ τι βούλει.

ΣΩ. Ἄκουε δή, ὦ Γοργία, ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ· ἴσως γάρ τοι σοῦ ὀρθῶς λέγοντος ἐγὼ οὐκ ὀρθῶς ὑπολαμβάνω. ῥητορικόν φης ποιεῖν οἷός τ' εἶναι, ἐάν τις βούληται παρὰ σοῦ μανθάνειν;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν περὶ πάντων ὥςτ' ἐν ὄχλῳ πιθανὸν εἶναι, οὐ διδάσκοντα, ἀλλὰ πείθοντα;

*ΓΟΡ. Πάνυ μὲν οὖν. 459

ΣΩ. Ἔλεγες τοίνυν δὴ ὅτι καὶ περὶ τοῦ ὑγιεινοῦ τοῦ ἰατροῦ πιθανώτερος ἔσται ὁ ῥήτωρ.

ΓΟΡ. Καὶ γὰρ ἔλεγον, ἔν γε ὄχλῳ.

ΣΩ. Οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν, ἐν τοῖς μὴ εἰδόσιν; οὐ γὰρ δήπου ἔν γε τοῖς εἰδόσι τοῦ ἰατροῦ πιθανώτερος ἔσται.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὐκοῦν εἴπερ τοῦ ἰατροῦ πιθανώτερος ἔσται, τοῦ εἰδότος πιθανώτερος γίγνεται;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκ ἰατρός γε ὤν· ἦ γάρ;

*ΓΟΡ. Ναί. B

ΣΩ. Ὁ δὲ μὴ ἰατρός γε δήπου ἀνεπιστήμων, ὧν ὁ ἰατρὸς ἐπιστήμων.

ΓΟΡ. Δῆλον ὅτι.

dicatis; ipſe quoque numquam velim tanta distineri occupatione, ut, talibus et ita dictis poſthabitis ſermonibus, multo mihi praeſtet aliud quid facere.

Call. Per deos, Chaerephon, quin ipſe quoque, quum multis iam ſermonibus interfuerim, haud ſcio tamen an numquam ita delectatus ſim, ut nunc; quocirca mihi, etiamſi totum diem volueritis disſerere, gratiam facietis.

So. At vero, Callicle, equidem nihil impedio, dummodo velit Gorgias.

Gor. Turpe ſane in poſterum, Socrate, mihi erit, ſi non velim, et quidem quum ipſe denunciaverim ut quod quisque vellet rogaret. itaque ſi his videtur, disſere et roga quicquid vis.

So. Audi dum, Gorgia, quid admirer in iis quae a te dicta ſunt; enimvero fortaſſe te recte dicentem ego non recte intelligo. rhetoricum te profiteris efficere poſſe eum, qui velit a te diſcere?

Gor. Vero.

So. Num ita, ut de omnibus apud populum probabiliter dicat, non docens, ſed perſuadens?

Gor. Sane quidem.

So. Dicebas adeo, etiam de ſanitate medico probabilius dicturum eſſe rhetorem.

Gor. Dicebam vero, et quidem apud multitudinem.

So. Nonne apud multitudinem hoc eſt, apud inſcios? neque enim apud ſcientes medico probabilius dicet.

Gor. Vera dicis.

So. Nonne ſi medico probabilius dicet, ſciente probabilius loquetur?

Gor. Sane quidem.

So. Licet non ſit medicus; nonne?

Gor. Ita.

So. Is tamen qui non eſt medicus haud dubie inſcius eſt eorum, quorum medicus eſt ſciens.

Gor. Haud dubie.

ΣΩ. Ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδόσι
πιθανώτερος ἔσται, ὅταν ὁ ῥήτωρ τοῦ ἰατροῦ πιθανώτερος
ᾖ. τοῦτο ξυμβαίνει ἢ ἄλλο τι;

ΓΟΡ. Τοῦτο ἐνταῦθά γε ξυμβαίνει.

ΣΩ. Οὐκοῦν καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας ὡσαύτως
ἔχει ὁ ῥήτωρ καὶ ἡ ῥητορική· αὐτὰ μὲν τὰ πράγματα οὐδὲν δεῖ
αὐτὴν εἰδέναι ὅπως ἔχει, μη* χανὴν δέ τινα πειθοῦς εὑρηκέναι, C
ὥστε φαίνεσθαι τοῖς οὐκ εἰδόσι μᾶλλον εἰδέναι τῶν εἰδότων.

ΓΟΡ. Οὐκοῦν πολλὴ ῥᾳστώνη, ὦ Σώκρατες, γίγνεται,
μὴ μαθόντα τὰς ἄλλας τέχνας, ἀλλὰ μίαν ταύτην, μηδὲν
ἐλαττοῦσθαι τῶν δημιουργῶν;

ΣΩ. Εἰ μὲν ἐλαττοῦται ἢ μὴ ἐλαττοῦται ὁ ῥήτωρ τῶν
ἄλλων διὰ τὸ οὕτως ἔχειν, αὐτίκα ἐπισκεψόμεθα, ἐάν τι ἡμῖν
πρὸς λόγου ᾖ, νῦν δὲ τόδε πρότερον σκεψώμεθα, ἆρα * τυγ- D
χάνει περὶ τὸ δίκαιον καὶ τὸ ἄδικον καὶ τὸ αἰσχρὸν καὶ τὸ κα-
λὸν καὶ ἀγαθὸν καὶ κακὸν οὕτως ἔχων ὁ ῥητορικός, ὡς περὶ
τὸ ὑγιεινὸν καὶ περὶ τὰ ἄλλα ὧν αἱ ἄλλαι τέχναι, αὐτὰ μὲν οὐκ
εἰδώς, τί ἀγαθὸν ἢ τί κακόν ἐστιν ἢ τί καλὸν ἢ τί αἰσχρὸν ἢ
δίκαιον ἢ ἄδικον, πειθὼ δὲ περὶ αὐτῶν μεμηχανημένος, ὥστε
δοκεῖν εἰδέναι οὐκ εἰδὼς ἐν οὐκ εἰδόσι μᾶλλον τοῦ εἰδότος, ἢ
ἀνάγκη εἰδέναι, καὶ δεῖ * προεπιστάμενον ταῦτα ἀφικέσθαι E
παρὰ σὲ τὸν μέλλοντα μαθήσεσθαι τὴν ῥητορικήν, εἰ δὲ μή,
σὺ ὁ τῆς ῥητορικῆς διδάσκαλος τούτων μὲν οὐδὲν διδάξεις τὸν
ἀφικνούμενον (οὐ γὰρ σὸν ἔργον), ποιήσεις δ' ἐν τοῖς πολλοῖς
δοκεῖν εἰδέναι αὐτὸν τὰ τοιαῦτα οὐκ εἰδότα καὶ δοκεῖν ἀγα-
θὸν εἶναι οὐκ ὄντα· ἢ τὸ παράπαν οὐχ οἷός τε ἔσει διδάξαι
αὐτὸν τὴν ῥητορικήν, ἐὰν μὴ προειδῇ περὶ τούτων τὴν
ἀλήθειαν; ἢ πῶς τὰ τοιαῦτα ἔχει, ὦ Γοργία; * καὶ πρὸς 460
Διός, ὥσπερ ἄρτι εἶπες, ἀποκαλύψας τῆς ῥητορικῆς εἰπὲ
τίς ποθ' ἡ δύναμίς ἐστιν.

ΓΟΡ. Ἀλλ' ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, ἐὰν τύχῃ
μὴ εἰδώς, καὶ ταῦτα παρ' ἐμοῦ μαθήσεσθαι *).

ΣΩ. Ἔχε δή· καλῶς γὰρ λέγεις· ἐάνπερ ῥητορικόν σύ
τινα ποιήσῃς, ἀνάγκη αὐτὸν εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα
ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ.

---

*) ἄλλ. μαθήσεται.

So. Inſcius ergo ſciente apud inſcios probabilius dicet, ſi rhetor medico probabilius dicit. hocne conſequens eſt, an aliud quid?

Gor. Hoc ſane hac in cauſa conſequitur.

So. Itaque etiam in reliquis artibus omnibus eadem eſt ratio rhetoris et rhetoricae: ipſas quidem res nihil neceſſe eſt ei ſcire, quomodo habeant, artificium vero aliquod perſuaſionis eam oportet inveniſſe, ut videatur inſciis melius ſcire quam ſcientes.

Gor. Nonne magnae id eſt levaticni, Socrate, ſi quis, licet non didicerit ceteras artes, ſed unam hanc, nulla tamen re cedat opificibus?

So. Utrum cedat annon cedat rhetor ceteris hanc ob cauſam, ſtatim videbimus, ſi quid facit ad quaeſtionem noſtram; nunc hoc antea anquiramus, num in iuſto et iniuſto, turpi et pulchro, bono et malo ita ſe habeat rhetor, ut in ſano ceterisque ad quae ceterae artes ſpectant: ita videlicet ut res ipſas neſciat, quid bonum et malum ſit, quid pulchrum et turpe, quid iuſtum et iniuſtum, perſuaſionem vero de illis excogitaverit, qua efficiat ut videatur ſcire neſciens apud neſcientes melius quam ſciens, an neceſſe ſit ſcire et oporteat, his iam ante perceptis, ad te venire eum qui diſcere cupiat rhetoricam; ſin minus, tu rhetoricae magiſter horum quidem nihil docebis advenientem (non eſt enim tuum), facies autem ut apud multitudinem videatur ille ſcire haec et bonus eſſe, licet non ſit. an haudquaquam ipſum poteris docere rhetoricam, niſi veram illarum rerum naturam ante cognoverit? an quomodo haec ſe habent, Gorgia? et per Iovem, quemadmodum modo dixiſti, aperi, quaenam rhetoricae vis ſit.

Gor. Equidem arbitror, Socrate, ſi quis neſciat, etiam haec eum a me percepturum eſſe.

So. Age dum (pulchre enim dicis): ſi quem rhetorem tu efficis, neceſſe eſt hunc ſcire iuſta et iniuſta vel ante vel poſtea, diſcentem a te.

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Τί οὖν; ὁ τὰ * τεκτονικὰ μεμαθηκὼς τεκτονικός, ἢ οὔ; B

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ὁ τὰ μουσικὰ μουσικός;

ΓΟΡ. Ναί.

ΣΩ. Καὶ ὁ τὰ ἰατρικὰ ἰατρικός, καὶ τἄλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον, ὁ μεμαθηκὼς ἕκαστα τοιοῦτός ἐστιν, οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπεργάζεται;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος;

ΓΟΡ. Πάντως δήπου.

ΣΩ. Ὁ δὲ δίκαιος δίκαιά που πράττει.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν ἀνάγκη * [τὸν ῥητορικὸν δίκαιον εἶναι] C τὸν [δὲ] δίκαιον βούλεσθαι δίκαια πράττειν;

ΓΟΡ. Φαίνεταί γε.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὅ γε δίκαιος ἀδικεῖν.

ΓΟΡ. Ἀνάγκη.

ΣΩ. Τὸν δὲ ῥητορικὸν ἀνάγκη ἐκ τοῦ λόγου δίκαιον εἶναι.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὁ ῥητορικὸς ἀδικεῖν.

ΓΟΡ. Οὐ φαίνεταί γε.

ΣΩ. Μέμνησαι οὖν λέγων ὀλίγῳ πρότερον ὅτι * οὐ D δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων, ἐὰν ὁ πύκτης τῇ πυκτικῇ μὴ καλῶς χρῆται καὶ ἀδικῇ; ὡσαύτως δὲ οὕτω καὶ ἐὰν ὁ ῥήτωρ τῇ ῥητορικῇ ἀδίκως χρῆται, μὴ τῷ διδάξαντι ἐγκαλεῖν μηδὲ ἐξελαύνειν ἐκ τῆς πόλεως, ἀλλὰ τῷ ἀδικοῦντι καὶ οὐκ ὀρθῶς χρωμένῳ τῇ ῥητορικῇ; ἐῤῥήθη ταῦτα, ἢ οὔ;

ΓΟΡ. Ἐῤῥήθη.

Gor. Sane quidem.

So. Quid? qui artem tignariam didicit, num faber tignarius est, necne?

Gor. Vero.

So. Nonne etiam, qui musicam percepit, musicus?

Gor. Ita.

So. Et, qui medicinam, medicus, et cetera eodem se modo habent, ut, quamcumque quisque artem didicit, is talis sit, qualem quemque scientia efficit?

Gor. Sane quidem.

So. Nonne hac ratione etiam, qui iusta didicit, iustus est?

Gor. Prorsus ita.

So. Iustus vero iusta sine dubio faciet.

Gor. Ita.

So. Nonne necesse est iusto propositum esse iusta facere?

Gor. Patet id quidem.

So. Numquam igitur propositum erit iusto iniuste facere.

Gor. Necesse est.

So. Rhetorem autem necesse est ex hac disputatione iustum esse.

Gor. Ita.

So. Numquam igitur propositum erit rhetori iniuste facere.

Gor. Haud sane videtur.

So. Iamne recordaris te dixisse paullo ante, non esse consentaneum palaestrae magistris hoc ut probrum obiicere eosque expellere ex urbibus, si pugil pugilatione non pulchre uteretur et iniuste faceret? eadem etiam ratione si rhetor rhetorica iniuste uteretur, non ei qui illum docuisset hoc ut probrum obiiciendum eumque ex urbe eiiciendum esse, sed iniuste facientem nec recte utentem rhetorica? dictane haec sunt, annon?

Gor. Dicta vero sunt.

ΣΩ. Νῦν δέ γε ὁ αὐτὸς οὗτος φαίνεται ὁ * ῥητορι- E
κὸς οὐκ ἄν ποτε ἀδικήσας· ἢ οὔ;

ΓΟΡ. Φαίνεται.

ΣΩ. Καὶ ἐν τοῖς πρώτοις γε, ὦ Γοργία, λόγοις ἐλέγετο ὅτι ἡ ῥητορικὴ περὶ λόγους εἴη οὐ τοὺς τοῦ ἀρτίου καὶ περιττοῦ, ἀλλὰ τοὺς τοῦ δικαίου καὶ ἀδίκου· ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Ἐγὼ τοίνυν σοῦ τότε ταῦτα λέγοντος ὑπέλαβον ὡς οὐδέποτ᾽ ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα, ὅ γ᾽ ἀεὶ περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται· ἐπειδὴ δὲ ὀλίγον ὕστερον
ἔλεγες ὅτι ὁ ῥήτωρ τῇ ῥητορικῇ κἂν ἀδίκως χρῷτο, * οὕτω 4
θαυμάσας καὶ ἡγησάμενος οὐ ξυνᾴδειν τὰ λεγόμενα ἐκείνους εἶπον τοὺς λόγους, ὅτι, εἰ μὲν κέρδος ἡγοῖο εἶναι τὸ ἐλέγχεσθαι ὥσπερ ἐγώ, ἄξιον εἴη διαλέγεσθαι, εἰ δὲ μή, ἐᾶν χαίρειν. ὕστερον δὲ ἡμῶν ἐπισκοπουμένων ὁρᾷς δὴ καὶ αὐτὸς ὅτι αὖ ὁμολογεῖται, τὸν ῥητορικὸν ἀδύνατον εἶναι ἀδίκως χρῆσθαι τῇ ῥητορικῇ καὶ ἐθέλειν ἀδικεῖν. ταῦτα οὖν
ὅπῃ ποτὲ ἔχει, μὰ τὸν κύνα, ὦ Γοργία, οὐκ ὀλίγης ξυνου- B
σίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι.

ΠΩΛ. Τί δαί, ὦ Σώκρατες; οὕτω καὶ σὺ περὶ τῆς ῥητορικῆς δοξάζεις ὥσπερ νῦν λέγεις; ἢ οἴει *) ὅτι Γοργίας ᾐσχύνθη σοι μὴ προσομολογῆσαι τὸν ῥητορικὸν ἄνδρα μὴ οὐχὶ καὶ τὰ δίκαια εἰδέναι καὶ τὰ καλὰ καὶ τἀγαθά, καὶ ἐὰν μὴ ἔλθῃ ταῦτα εἰδὼς παρ᾽ αὐτόν, αὐτὸς διδάξειν; ἔπειτα ἐκ ταύτης
ἴσως * τῆς ὁμολογίας ἐναντίον τι ξυνέβη ἐν τοῖς λόγοις, τοῦθ᾽ C
ὃ δὴ ἀγαπᾷς, αὐτὸς ἄγων ἐπὶ τοιαῦτα ἐρωτήματα. ἐπεὶ τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; ἀλλ᾽ εἰς τὰ τοιαῦτα ἄγειν πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους.

ΣΩ. Ὦ κάλλιστε Πῶλε, ἀλλά τοι ἐξεπίτηδες κτώμεθα ἑταίρους καὶ υἱεῖς, ἵνα, ἐπειδὰν αὐτοὶ πρεσβύτεροι γιγνόμενοι σφαλλώμεθα, παρόντες ὑμεῖς οἱ νεώτεροι ἐπανορθῶτε ἡμῶν
τὸν βίον * καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. καὶ νῦν εἴ τι ἐγὼ καὶ D
Γοργίας ἐν τοῖς λόγοις σφαλλόμεθα, σὺ παρὼν ἐπανόρθου·

---

*) ἴσ. ἢ οὐκ οἴει.

So. Nunc autem eundem hunc patet rhetorem numquam iniuſte facturum eſſe; annon?

Gor. Patet vero.

So. Quin etiam in priori, Gorgia, ſermone ponebatur rhetoricam in orationibus verſari non de pari et impari, ſed de iuſto et iniuſto; nonne?

Gor. Ita.

So. Ego ſane, quum tu haec diceres, arbitrabar numquam rhetoricam fore rem iniuſtam, quippe quae ſemper de iuſtitia verba faceret; poſtquam vero paullo poſt dixeras, rhetorem rhetorica etiam iniuſte poſſe uti, tum admirans et cenſens inter ſe non concinere dicta, illud declaravi, ſi tu in lucro poneres redargui, ſicut ego, operae pretium eſſe disſerere, ſin minus, miſſum id eſſe faciendum. poſtea autem quum anquireremus, vides ſcilicet ipſe rurſum inter nos conveniſſe, fieri non poſſe ut rhetor iniuſte uteretur rhetorica eique propoſitum eſſet iniuſte facere. haec igitur quomodo tandem habeant, per canem, Gorgia, haud exigui eſt ſermonis ſatis diſpicere.

Pol. Quid ais, Socrate? itane etiam tu de rhetorica iudicas, ut nunc dicis? annon arbitraris Gorgiam turpe duxisse tibi non concedere virum rhetoricum etiam iuſta ſcire et pulchra et bona, et ſi quis ad ipſum veniſſet illorum ignarus, ipſum ea docturum eſſe? deinde ex hoc, ni fallor, quod conceſſit contrarium aliquid exſtitit in ſermone, quod quidem tu amas, ipſe deflectens ad eiusmodi interrogationes; nam quem putas negaturum eſſe ſe et ipſum ſcire iuſta et alios docere poſſe? at ad tale quid deflectere ſermonem multae eſt ruſticitatis.

So. Pulcherrime Pole, hoc ipſo tamen conſilio nobis comparamus amicos et filios, ut, quando ipſi ſeniores facti erramus, praesentes vos iuniores erigatis vitam noſtram et re et verbis. etiam nunc, ſi qua ego et Gorgias in ſermonibus labimur, tu praeſens erige; par

δίκαιος δ' εἶ· καὶ ἐγὼ ἐθέλω τῶν ὡμολογημένων, εἴ τί σοι δοκεῖ μὴ καλῶς ὡμολογῆσθαι, ἀναθέσθαι ὅ τι ἂν σὺ βούλῃ, ἐάν μοι ἓν μόνον φυλάττῃς.

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Τὴν μακρολογίαν, ὦ Πῶλε, ἣν καθείρξῃς, ᾗ τὸ πρῶτον ἐπεχείρησας χρῆσθαι.

ΠΩΛ. Τί δέ; οὐκ ἐξέσται μοι λέγειν, ὁπόσα ἂν βούλωμαι;

* ΣΩ. Δεινὰ μέντ' ἂν πάθοις, ὦ βέλτιστε, εἰ Ἀθήναζε E
ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν, ἔπειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις. ἀλλὰ ἀντίθες τό, σοῦ μακρὰ λέγοντος καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, οὐ δείν' ἂν αὖ ἐγὼ πάθοιμι, εἰ μὴ ἐξέσται μοι ἀπιέναι καὶ μὴ ἀκούειν σου; * Ἀλλ' εἴ τι κήδει τοῦ λό- 46
γου τοῦ εἰρημένου καὶ ἐπανορθώσασθαι αὐτὸν βούλει, ὥσπερ νῦν δὴ ἔλεγον, ἀναθέμενος ὅ τί σοι δοκεῖ, ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος, ὥσπερ ἐγώ τε καὶ Γοργίας, ἔλεγχέ τε καὶ ἐλέγχου· φῂς γὰρ δήπου καὶ σὺ ἐπίστασθαι ἅπερ Γοργίας· ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ σὺ κελεύεις σαυτὸν ἐρωτᾶν ἑκάστοτε ὅ τι ἄν τις βούληται, ὡς ἐπιστάμενος ἀποκρίνεσθαι;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ νῦν δὴ τούτων ὁ*πότερον βούλει ποίει, B
ἐρώτα ἢ ἀποκρίνου.

ΠΩΛ. Ἀλλὰ ποιήσω ταῦτα, καί μοι ἀπόκριναι, ὦ Σώκρατες· ἐπειδὴ Γοργίας ἀπορεῖν σοι δοκεῖ περὶ τῆς ῥητορικῆς, σὺ αὐτὴν τίνα φῂς εἶναι;

ΣΩ. Ἆρα ἐρωτᾷς ἥν τινα τέχνην φημὶ εἶναι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐδεμία ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι.

ΠΩΛ. Ἀλλὰ τί σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

ΣΩ. Πρᾶγμα ὃ φῂς σὺ ποιῆσαι τέχνην ἐν τῷ ξυγγράμματι, ὃ ἐγὼ ἔναγχος * ἀνέγνων.

ΠΩΛ. Τί τοῦτο λέγεις;

eſt te hoc facere; et ego volo de iis quae conceſſa ſunt, ſi quid tibi videtur non recte conceſſum eſſe, retractare quicquid volueris, dummodo mihi unum ſolum caveas.

Pol. Quid eſt quod dicis?

So. Orationum longitudinem, Pole, dum cohibeas, qua primo inſtituiſti uti.

Pol. Quid vero? non licebit mihi dicere quantum voluerim?

So. Indigna ſane patiaris, optime, ſi Athenas profectus, ubi maxima ad reliquam Graeciam licentia eſt dicendi, hîc tamen tu ſolus ea careas. at oppone hoc: te copioſe dicente et nolente ad interrogatum reſpondere, nonne indigna ego quoque patiar, ſi mihi non liceat diſcedere nec te audire? Itaque ſi quid cordi tibi ſermo eſt quem habuimus eumque vis emendare, id quod modo dixi, mutato eo, quod tibi viſum fuerit, alternis interrogans et interrogatus, ſicut ego et Gorgias, redargue et redargui te ſine; profiteris enim haud dubie etiam tu, ea te ſcire quae Gorgias; nonne?

Pol. Ego vero.

So. Nonne tu quoque iubes tè interrogari, quodcumque quisque voluerit, utpote ſciens reſpondere?

Pol. Maxime.

So. Itaque nunc ex his utrum velis fac: interroga aut reſponde.

Pol. Sane hoc faciam, et reſponde mihi, Socrate: quoniam Gorgias haeſitare mihi videtur de rhetorica, tu ipſam quamnam dicis eſſe?

So. Num rogas quamnam artem dicam eſſe?

Pol. Rogo vero.

So. Nulla mihi quidem videtur, Pole, ut tibi verum dicam.

Pol. At quid tibi videtur rhetorica eſſe?

So. Illud quod tu dicis effeciſſe artem in libro quem nuper legi.

Pol. Quid hoc dicis?

ΣΩ. Ἐμπειρίαν ἔγωγέ τινα.

ΠΩΛ. Ἐμπειρία ἄρα σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

ΣΩ. Ἔμοιγε, εἰ μή τι σὺ ἄλλο λέγεις.

ΠΩΛ. Τίνος ἐμπειρία;

ΣΩ. Χάριτός τινος καὶ ἡδονῆς ἀπεργασίας.

ΠΩΛ. Οὐκοῦν καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι, χαρίζεσθαι οἷόν τ' εἶναι ἀνθρώποις;

ΣΩ. Τί δέ, ὦ Πῶλε; ἤδη πέπυσαι παρ' ἐμοῦ ὅ τί
φημι αὐτὴν εἶναι, ὥστε τὸ με*τὰ τοῦτο ἐρωτᾷς, εἰ οὐ κα- D
λή μοι δοκεῖ εἶναι;

ΠΩΛ. Οὐ γὰρ πέπυσμαι ὅτι ἐμπειρίαν τινὰ αὐτήν φῃς εἶναι;

ΣΩ. Βούλει οὖν, ἐπειδὴ τιμᾷς τὸ χαρίζεσθαι, σμικρόν τί μοι χαρίσασθαι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Ἐροῦ νῦν με, ὀψοποιΐα ἥτις μοι δοκεῖ τέχνη εἶναι.

ΠΩΛ. Ἐρωτῶ δή· Τίς τέχνη ὀψοποιΐα;

ΣΩ. Οὐδεμία, ὦ Πῶλε.

ΠΩΛ. Ἀλλὰ τί; φαθί.

ΣΩ. Φημὶ δή, ἐμπειρία τις.

ΠΩΛ. Τίνος; φαθί.

ΣΩ. Φημὶ δή, χάριτος καὶ ἡδο*νῆς ἀπεργασίας, ὦ E
Πῶλε.

ΠΩΛ. Ταὐτὸν ἄρ' ἐστὶν ὀψοποιΐα καὶ ῥητορική;

ΣΩ. Οὐδαμῶς γε, ἀλλὰ τῆς αὐτῆς ἐπιτηδεύσεως μόριον.

ΠΩΛ. Τίνος λέγεις ταύτης;

ΣΩ. Μὴ ἀγροικότερον ᾖ τὸ ἀληθὲς εἰπεῖν·
ὀκνῶ γὰρ Γοργίου ἕνεκα λέγειν, μὴ οἴηταί με διακω-
μῳδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα. ἐγὼ δέ, εἰ μὲν τοῦτό
ἐστιν ἡ ῥητορικὴ ἣν * Γοργίας ἐπιτηδεύει, οὐκ οἶδα· 463
καὶ γὰρ ἄρτι ἐκ τοῦ λόγου οὐδὲν ἡμῖν καταφανὲς
ἐγένετο, τί ποτε οὗτος ἡγεῖται· ὃ δ' ἐγὼ καλῶ τὴν

So. Peritiam equidem dico quandam.

Pol. Peritia ergo tibi videtur rhetorica esse?

So. Mihi vero, nisi quid aliud tu dicis.

Pol. Cuiusnam rei peritia?

So. Gratiae cuiusdam et voluptatis conciliandae.

Pol. Nonne pulchra tibi videtur rhetorica esse, quod gratificari potest hominibus?

So. Quid vero, Pole? iamne comperisti ex me quid dicam eam esse, quum, id quod deinde sequitur, roges, annon pulchra mihi videatur esse?

Pol. Nonne comperi peritiam quandam eam te dicere esse?

So. Visne, quoniam magni aestimas gratificari, paullum quid mihi gratificari?

Pol. Ego sane.

So. Quaere nunc ex me, opsoniorum apparatio quaenam mihi videatur ars esse.

Pol. Rogo igitur: Quaenam ars est opsoniorum apparatio?

So. Nulla, Pole.

Pol. Quid tandem? dic.

So. Dico vero, peritia quaedam est.

Pol. Cuiusnam rei? dic.

So. Dico, gratiae et voluptatis conciliandae, Pole.

Pol. Idem igitur est opsoniorum apparatio et rhetorica?

So. Minime id quidem, at eiusdem instituti particula.

Pol. Cuiusnam huius dicis?

So. Dummodo ne rusticius sit verum dicere; vereor enim propter Gorgiam dicere, ne opinetur me facetiis perstringere ipsius studium. ego videlicet, num rhetorica id sit, cui Gorgias studet, nescio; etenim sermo quem modo habuimus minime nobis declaravit, quid tandem hic existimet; quod autem ego dico rheto-

ῥητορικήν, πράγματός τινός ἐστι μόριον οὐδενὸς τῶν καλῶν.

ΓΟΡ. Τίνος, ὦ Σώκρατες; εἰπέ, μηδὲν ἐμὲ αἰσχυνθείς.

ΣΩ. Δοκεῖ τοίνυν μοι, ὦ Γοργία, εἶναί τι ἐπιτήδευμα τεχνικὸν μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις· καλῶ δὲ
αὐτοῦ ἐ*γὼ τὸ κεφάλαιον κολακείαν. ταύτης μοι δοκεῖ B
τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ἡ ὀψοποιϊκή, ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δὲ ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ' ἐμπειρία καὶ τριβή. ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ καὶ τήν γε
κομμωτικὴν καὶ τὴν σοφιστικήν, τέττα*ρα ταῦτα μόρια ἐπὶ C
τέτταρσι πράγμασιν. Εἰ οὖν βούλεται Πῶλος πυνθάνεσθαι, πυνθανέσθω· οὐ γάρ πω πέπυσται ὁποῖόν φημι ἐγὼ τῆς κολακείας μόριον εἶναι τὴν ῥητορικήν, ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκεκριμένος, ὁ δὲ ἐπανερωτᾷ εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι· ἐγὼ δὲ αὐτῷ οὐκ ἀποκρινοῦμαι πρότερον, εἴτε καλὸν εἴτε αἰσχρὸν ἡγοῦμαι εἶναι τὴν ῥητορικήν, πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅ τί ἐστιν· οὐ γὰρ δίκαιον, ὦ Πῶλε· ἀλλ' εἴπερ βούλει πυθέσθαι, ἐρώτα, ὁποῖον μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν.

ΠΩΛ. Ἐρωτῶ δὴ καὶ ἀπόκριναι, ὁποῖον μόριον.

*ΣΩ. Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου; ἔστι γὰρ D
ἡ ῥητορικὴ κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον.

ΠΩΛ. Τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι;

ΣΩ. Αἰσχρὸν ἔγωγε· τὰ γὰρ κακὰ αἰσχρὰ ἐγὼ καλῶ· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι, ὡς ἤδη εἰδότι ἃ ἐγὼ λέγω.

ΓΟΡ. Μὰ τὸν Δί', ὦ Σώκρατες, ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς ξυνίημι ὅ τι λέγεις.

ΣΩ. Εἰκότως γε, ὦ Γοργία· οὐ*δὲν γάρ πω σαφὲς E
λέγω, Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς.

ricam, id rei alicuius particula eſt nec eius in pulchras referendae.

Gor. Cuiusnam, Socrate? dic, nihil me reverens.

So. Videtur mihi, Gorgia, inſtitutum quoddam eſſe non artificioſum, ſed animi ſagacis et fortis et naturâ pollentis ad tractandos homines; appello autem eius ſummam adulationem. huius mihi videntur inſtituti multae aliae particulae eſſe, una vero artificium coquinarium, quod videtur quidem ars eſſe, at, ut mea declarat oratio, non ars eſt, ſed peritia et exercitatio. huius particulam etiam rhetoricam dico et comendi artificium et ſophiſticam, quatuor eas quidem particulas ad quatuor res ſpectantes. Quodſi vult Polus ſciſcitari, ſciſcitator; nondum enim ſciſcitatus eſt qualem ego dicam adulationis partem eſſe rhetoricam, ſed latuit ipſum me nondum reſpondiſſe, et tamen interrogat, annon pulchram arbitrer eam eſſe; ego vero ipſi non prius reſpondebo, pulchram an turpem cenſeam rhetoricam eſſe, quam primum reſpondero, quid ſit; non enim convenit, Pole; itaque ſi vis ſciſcitari, roga, qualem particulam adulationis dicam eſſe rhetoricam.

Pol. Rogo igitur et reſponde, qualem eam particulam habeas.

So. Num vero me intelliges reſpondentem? eſt enim rhetorica ex mea oratione civilis rationis particulae ſimulacrum.

Pol. Quid igitur? pulchram an turpem dicis eam eſſe?

So. Turpem equidem; mala enim turpia ego appello, quandoquidem tibi reſpondendum eſt ut iam ſcienti quae dico.

Gor. Per Iovem vero, Socrate, ne ipſe quidem perſpicio quid dicas.

So. Neque id mirum, Gorgia; nihil enim adhuc dilucide dico, Polus vero hic iuvenis eſt atque acutus.

ΓΟΡ. Ἀλλὰ τοῦτον μὲν ἔα, ἐμοὶ δ' εἰπέ, πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν.

ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ τυγχάνει ὂν τοῦτο, Πῶλος ὅδε ἐλέγξει. Σῶμά που καλεῖς τι καὶ ψυχήν.

ΓΟΡ. Πῶς γὰρ οὔ; 464

ΣΩ. Οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν;

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Τί δέ; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ' οὔ; οἷον τοιόνδε λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις ὅτι οὐκ εὖ ἔχουσιν, ἄλλος ἢ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶναι καὶ ἐν ψυχῇ, ὅ τι ποιεῖ δοκεῖν μὲν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ οὐδὲν μᾶλλον.

ΓΟΡ. Ἔστι * ταῦτα. B

ΣΩ. Φέρε δή σοι, ἐὰν δύνωμαι, σαφέστερον ἐπιδείξω ὃ λέγω. Δυεῖν ὄντοιν πραγμάτοιν δύο λέγω τέχνας, καὶ τὴν μὲν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ τῷ σώματι μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι, μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν· τῆς δὲ πολιτικῆς ἀντίστροφον μὲν τῆς γυμναστικῆς *) τὴν νομοθετικήν, ἀντίστροφον δὲ τῆς ἰατρικῆς **) τὴν δικαστικήν. * ἐπικοινωνοῦσι μὲν δὴ C ἀλλήλαις, ἅτε περὶ τὸ αὐτὸ οὖσαι, ἑκάτεραι τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαστικὴ τῇ νομοθετικῇ· ὅμως δὲ διαφέρουσί τι ἀλλήλων. Τεττάρων δὴ τούτων οὐσῶν καὶ ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν τῶν μὲν τὸ σῶμα, τῶν δὲ τὴν ψυχήν, ἡ κολακευτικὴ αἰσθομένη, οὐ γνοῦσα λέγω, ἀλλὰ στοχασαμένη, τέτραχα ἑαυτὴν διανείμασα, ὑποδῦσα ὑπὸ ἕκαστον τῶν μορίων, προσποιεῖται εἶναι * τοῦτο D

*) γρ. τῇ γυμναστικῇ.

**) γρ. τῇ ἰατρικῇ.

Gor. Hunc tamen ſine, mihi vero explica, quomodo dicas rationis civilis particulae ſimulacrum eſſe rhetoricam.

So. Hoc ſane conabor explanare, quid mihi videatur eſſe rhetorica; ſi id non eſt, Polus hic redarguet. Corpus videlicet aliquid dicis et animum.

Gor. Quidni?

So. Nonne etiam utriusque quendam eſſe bonum habitum?

Gor. Ego vero.

So. Quid vero, habitum bonum qui videatur, non ſit? veluti hoc dico: multi videntur valido eſſe corpore, quos non facile quisquam ſentiat non valido eſſe corpore praeter medicum et palaeſtritarum aliquem.

Gor. Vera dicis.

So. Idem dico et in corpore et in animo ineſſe, quod efficiat ut videatur quis valere corpore et animo, licet nihilo magis valeat.

Gor. Sunt iſta.

So. Age dum, ſi potuero, clarius tibi oſtendam quid dicam. Quum duae ſint res, duas dico artes, et eam quae ad animum ſpectat civilem appello, illam vero quae ad corpus pertinet unam ſic nominare non poſſum, ſed corporis curationis, quae una eſt, duas particulas pono, gymnaſticam artem unam, alteram medicinam; civilis vero rationis unam partem legum ſcribendarum artem dico, reſpondentem ex altera parte gymnaſticae, alteram iudicialem ſcientiam, reſpondentem illam quidem medicinae. commune quidem aliquid habent inter ſe, quia utraque in eadem re verſatur, medicina cum gymnaſtica arte et iudicialis ſcientia cum legum ſcribendarum ratione, eſt tamen quod differat inter ipſas. Quattuor igitur has, quae ſemper quam optime curant illae corpus, hae animum, adulandi artificium animadvertens, non intelligendo dico, ſed coniiciendo, quadrifariam ſe dividens ſubrepit ſub unamquamque parti-

ὅ περ ὑπέδυ, καὶ τοῦ μὲν βελτίστου οὐδὲν φροντίζει, τῷ δὲ
ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ, ὥςτε δοκεῖ
πλείστου ἀξία εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιϊκὴ
ὑποδέδυκε, καὶ προςποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰ-
δέναι, ὥςτ', εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ
ἰατρὸν ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις, ὥςπερ οἱ παῖδες, πότε-
ρος ἐπαΐει περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν, ὁ ἰατρὸς ἢ
ὁ ὀψοποιός, λι*μῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν. Κολακείαν μὲν E
οὖν αὐτὸ καλῶ, καὶ αἰσχρόν φημι εἶναι τὸ τοιοῦ*τον, ὦ Πῶ- 465
λε (τοῦτο γὰρ πρὸς σὲ λέγω), ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ
τοῦ βελτίστου· τέχνην δὲ αὐτὸ οὔ φημι εἶναι, ἀλλ' ἐμπειρίαν,
ὅτι οὐκ ἔχει λόγον οὐδένα ὧν προςφέρει, ὁποῖ' ἄττα τὴν φύ-
σιν ἐστίν, ὥςτε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰπεῖν· ἐγὼ δὲ τέ-
χνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. τούτων δὲ πέρι εἰ ἀμ-
φιςβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον. Τῇ μὲν οὖν ἰατρικῇ, ὥς-
περ λέγω, ἡ * ὀψοποιϊκὴ κολακεία ὑπόκειται, τῇ δὲ γυμνα- B
στικῇ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἡ κομμωτική, κα-
κοῦργός τε οὖσα καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος,
σχήμασι καὶ χρώμασι καὶ λειότητι καὶ αἰσθήσει *) ἀπατῶσα,
ὥςτε ποιεῖν ἀλλότριον κάλλος ἐφελκομένους τοῦ οἰκείου τοῦ
διὰ τῆς γυμναστικῆς ἀμελεῖν. Ἵν' οὖν μὴ μακρολογῶ, ἐθέ-
λω σοι εἰπεῖν, ὥςπερ οἱ γεωμέτραι (ἤδη γὰρ ἂν ἴσως ἀκο-
λουθήσαις), ὅτι ὃ κομμωτικὴ πρὸς γυμναστικήν, * τοῦτο C
ὀψοποιϊκὴ πρὸς ἰατρικήν· μᾶλλον δὲ ὧδε, ὅτι ὃ κομμωτικὴ
πρὸς γυμναστικήν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν,
καὶ ὅτι ὃ ὀψοποιϊκὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ
πρὸς δικαστικήν. ὅπερ μέντοι λέγω, διέστηκε μὲν οὕτω
φύσει, ἅτε δ' ἐγγὺς ὄντων φύρονται ἐν τῷ αὐτῷ καὶ πε-
ρὶ ταὐτὰ σοφισταὶ **) καὶ ῥήτορες, καὶ οὐκ ἔχουσιν ὅ τι
χρήσονται οὔτε αὐτοὶ ἑαυτοῖς οὔτε οἱ ἄλλοι ἄνθρωποι τού-
τοις. καὶ γὰρ ἂν εἰ μὴ ἡ ψυχὴ τῷ σώματι ἐπε*στάτει, D
ἀλλ' αὐτὸ αὑτῷ, καὶ μὴ ὑπὸ ταύτης κατεθεωρεῖτο καὶ διε-
κρίνετο ἥ τε ὀψοποιϊκὴ καὶ ἡ ἰατρική, ἀλλ' αὐτὸ τὸ σῶ-
μα ἔκρινε σταθμώμενον ταῖς χάρισι ταῖς πρὸς αὑτό, τὸ

*) ἄλλ. λειότησι καὶ ἐσθῆσιν.
**) ἴσ. δικασταί.

culam, et ſimulat ſe hanc eſſe, ſub quam ſubrepſit, de optimo autem minime ſollicitum ſuaviſſimo quoque captat amentiam atque decipit, ut plurimi videatur faciendum eſſe. ſub medicinam igitur coquinarium artificium ſubrepit ſimulatque optimos ſe cibos corpori ſcire: ut, ſi apud pueros decertandum ſit coco et medico vel apud viros tam amentes, quam pueri ſunt, uter intelligat cibos utiles et nocituros, medicus an cocus, fame periturus ſit medicus. Adulationem vero id voco et turpe dico eſſe tale, Pole (hoc enim tibi dico), quia ad ſuave tendit, optimo neglecto; artem autem illud nego eſſe, ſed peritiam dico, quia nullam habet cognitionem eorum quae adhibet, qualia naturâ ſint, adeo ut cuiusque rationem non poſſit dicere; ego vero artem non appello, quod ratione caret. de his autem ſi dubitas, volo reddere rationem. Medicinae igitur, ut dico, coquinaria adulatio ſubiecta est, gymnaſticae vero eadem ratione comendi artificium, quod peſtiferum et fraudulentum et ignobile et illiberale eſt, geſtibus et coloribus et laevitate et ſpecie decipiens, quo efficit ut homines alienam pulchritudinem mutuantes propriam, quae arte gymnaſtica acquiritur, negligant. Ne igitur multus ſim, volo tibi dicere, ſicut geometrae (iam enim forſitan aſſequaris), quod comendi artificium ad gymnaſticam artem ſit, id coquinariam peritiam ad medicinam eſſe, potius vero ita: quod comendi artificium ad gymnaſticam artem ſit, id ſophiſticam ad legum ſcribendarum rationem, et quod coquinaria ad medicinam ſit, id rhetoricam eſſe ad iudicialem rationem. quemadmodum dixi, diſtant quidem ita inter ſe haec genera naturâ, ſed quia propinqua ſunt, commiſcentur in unum îsdemque in rebus iudices et rhetores, neque ipſi ſciunt quid ſibi faciant, neque ceteri homines quomodo cum illis agant. itidem enim niſi animus corpori praeeſſet, ſed hoc ſibi ipſum, nec ab illo perſpicerentur ac diſcernerentur coquinaria peritia et medicina, ſed ipſum corpus iudicaret ponderans eas vo-

τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν, ὦ φίλε Πῶλε (σὺ γὰρ τούτων ἔμπειρος), ὁμοῦ ἂν πάντα χρήματα ἐφύρετο ἐν τῷ αὐτῷ, ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποιϊκῶν. Ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι,
ἀκήκοας, ἀντίστροφον ὀψοποιΐας ἐν ψυχῇ, ὡς ἐκεῖ*νο ἐν E
σώματι. Ἴσως μὲν οὖν ἄτοπον πεποίηκα, ὅτι σε οὐκ ἐῶν μακροὺς λόγους λέγειν αὐτὸς συχνὸν λόγον ἀποτέτακα. ἄξιον μὲν οὖν ἐμοὶ ξυγγνώμην ἔχειν ἐστί· λέγοντος γάρ μου βραχέα οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀποκρίσει ἥν σοι ἀπεκρινάμην οὐδὲν οἷός τ' ἦσθα, ἀλλ' ἐδέου διηγήσεως. ἐὰν μὲν οὖν καὶ ἐγὼ σοῦ ἀποκρινομένου μὴ ἔχω
ὅ τι χρήσο*μαι, ἀπότεινε καὶ σὺ λόγον, ἐὰν δὲ ἔχω, ἔα με 466
χρῆσθαι· δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει εἴ τι ἔχεις χρῆσθαι, χρῶ.

ΠΩΛ. Τί οὖν φῄς; κολακεία δοκεῖ σοι εἶναι ἡ ῥητορική;

ΣΩ. Κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον· ἀλλ' οὐ μνημονεύεις τηλικοῦτος ὤν, ὦ Πῶλε; τί τάχα δράσεις πρεσβύτης γενόμενος;

ΠΩΛ. Ἆρ' οὖν δοκοῦσί σοι ὡς κόλακες ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι οἱ ἀγαθοὶ ῥήτορες;

*ΣΩ. Ἐρώτημα τοῦτ' ἐρωτᾷς, ἢ λόγου τινὸς ἀρχὴν B
λέγεις;

ΠΩΛ. Ἐρωτῶ ἔγωγε.

ΣΩ. Οὐδὲ νομίζεσθαι ἔμοιγε δοκοῦσιν.

ΠΩΛ. Πῶς οὐ νομίζεσθαι; οὐ μέγιστον δύνανται ἐν ταῖς πόλεσιν;

ΣΩ. Οὔκ, εἰ τὸ δύνασθαί γε λέγεις ἀγαθόν τι εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ λέγω γε.

ΣΩ. Ἐλάχιστον τοίνυν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες.

ΠΩΛ. Τί δ'; οὐχ, ὥσπερ * οἱ τύραννοι, ἀπο- C
κτιννύασί τε ὃν ἂν βούλωνται, καὶ ἀφαιροῦνται χρήματα καὶ ἐκβάλλουσιν ἐκ τῶν πόλεων, ὃν ἂν δοκῇ αὐτοῖς;

luptatibus suis, Anaxagoreum illud latissime pateret, o care Pole (tu enim harum rerum peritus es), simul videlicet omnia commiscerentur in unum, quia discreta non essent medica, salubria et coquinaria. Iam quid equidem dicam rhetoricam esse, audivisti, respondentem scilicet ex altera parte coquinariae peritiae idemque in animo, quod illa in corpore. Fortasse autem inepte feci, quod te non sinens longas orationes habere, ipse longam extendi orationem; sed par est mihi veniam dare; nam quum dicerem breviter, non intellexisti nec responso quod tibi dedi quid faceres scivisti, sed desiderasti expositionem. quodsi ego quoque te respondente nescio quid faciam, extende tu quoque orationem, sin scio, sine me facere; ita enim par est. nunc igitur hoc responso, si quid facias scis, fac.

Pol. Iam quid dicis? adulatio videtur tibi esse rhetorica?

So. Adulationis equidem dixi particulam; at tu non meministi tam iuvenis? quid tandem facies senior factus?

Pol. Num vero videntur tibi ut adulatores in civitatibus viles existimari boni rhetores?

So. Interrogationum hoc est quod quaeris, an orationis exordium profers?

Pol. Interrogo equidem.

So. Ne existimatione quidem mihi videntur esse.

Pol. Quomodo nulla sint existimatione? nonne plurimum possunt in civitatibus?

So. Non, siquidem potestatem dicis bonum aliquid esse ei qui possit.

Pol. Enimvero ita dico.

So. Minimum igitur mihi videntur ex omnibus qui in civitate sunt posse rhetores

Pol. Quid vero? nonne, sicut tyranni, interficiunt, quemcunque volunt, spoliant facultatibus et expellunt ex urbibus quemcunque ipsis videtur?

ΣΩ. Νὴ τὸν κύνα ἀμφιγνοῶ μέντοι, ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις, πότερον αὐτὸς ταῦτα λέγεις καὶ γνώμην σαυτοῦ ἀποφαίνει, ἢ ἐμὲ ἐρωτᾷς.

ΠΩΛ. Ἀλλ' ἔγωγε σὲ ἐρωτῶ.

ΣΩ. Εἶεν, ὦ φίλε, ἔπειτα δύο ἅμα με ἐρωτᾷς.

ΠΩΛ. Πῶς δύο;

ΣΩ. Οὐκ ἄρτι οὕτω πως ἔλεγες, ὅτι ἀποκτιν*νύασιν οἱ ῥή- D
τορες οὓς ἂν βούλωνται, ὥσπερ οἱ τύραννοι, καὶ χρήματα ἀφαιροῦνται καὶ ἐξελαύνουσιν ἐκ τῶν πόλεων, ὃν ἂν δοκῇ αὐτοῖς;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Λέγω τοίνυν σοι ὅτι δύο ταῦτ' ἐστὶ τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν * ὧν βούλονται, ὡς ἔπος εἰπεῖν· E
ποιεῖν μέντοι, ὅ τι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι.

ΠΩΛ. Οὐκοῦν τοῦτό ἐστι τὸ μέγα δύνασθαι;

ΣΩ. Οὔχ, ὥς γέ φησι Πῶλος.

ΠΩΛ. Ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε.

ΣΩ. Μὰ τὸν οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Φημὶ γὰρ οὖν.

ΣΩ. Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων; καὶ τοῦτο καλεῖς μέγα δύνασθαι;

ΠΩΛ. Οὐκ ἔγωγε.

ΣΩ. Οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ τέχνην τὴν ῥητορικήν, ἀλλὰ * μὴ κολακείαν, ἐμὲ ἐξελέγ- 467
ξας· εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται. ἡ δὲ *) δύναμίς ἐστιν, ὡς σύ φης, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι· ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ

*) ἴσ. δή.

So. At per canem dubito, Pole, de unoquoque quod dicis, num ipse hoc dicas et tuam ipse sententiam declares, an me interroges.

Pol. Equidem te interrogo.

So. Iam, amice, itane duo simul me interrogas?

Pol. Quomodo duo?

So. Nonne modo ita fere dixisti, interficere rhetores quoscunque vellent, sicut tyrannos, et facultatibus spoliare et eiicere ex urbibus, quemcumque ipsis videretur?

Pol. Ego vero.

So. Dico tamen tibi, duas esse has interrogationes, et respondebo tibi ad utramque. aio enim, Pole, ego et rhetores et tyrannos posse quidem in civitatibus minimum, quemadmodum modo dixi; nihil enim propemodum eorum ipsos facere, quae velint, facere tamen quod ipsis visum sit optimum.

Pol. Nonne hoc est multum posse?

So. Non, ut scilicet dicit Polus.

Pol. Egone ut non dicam? dico vero equidem.

So. Per Iovem tu quidem non, quia multum posse dixisti bonum esse ei qui posset.

Pol. Aio sane.

So. Bonumne censes esse, si quis faciat haec quae videantur ipsi optima esse, isque insipiens? et hoc dicis multum posse?

Pol. Minime ego.

So. Itaque demonstra rhetores prudentes et artem esse rhetoricam, non adulationem, me redarguens; sin me non redargueris, rhetores facientes in civitatibus quae sibi videntur et tyranni nihil boni inde nanciscentur. potestas videlicet, ut tu ais, bona est, facere autem sine ratione quae videntur tu quoque fateris malum esse; nonne?

Pol. Ego vero.

So. Quomodo igitur rhetores multum poterunt

τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου, ὅτι ποιοῦσιν ἃ βούλονται;

* ΠΩΛ. Οὗτος ἀνήρ! B

ΣΩ. Οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε.

ΠΩΛ. Οὐκ ἄρτι *) ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι τούτου πρόσθεν;

ΣΩ. Καὶ γὰρ νῦν ὁμολογῶ.

ΠΩΛ. Οὐκοῦν ποιοῦσιν ἃ βούλονται.

ΣΩ. Οὔ φημι.

ΠΩΛ. Ποιοῦντες δὲ ἃ δοκεῖ αὐτοῖς;

ΣΩ. Φημί.

ΠΩΛ. Σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ, ὦ Σώκρατες.

ΣΩ. Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε, ἵνα προςείπω σε κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, * ἐπίδειξον ὅτι ψεύδομαι, εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. C

ΠΩΛ. Ἀλλ' ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅ τι λέγεις.

ΣΩ. Πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο οὗ ἕνεκα πράττουσι τοῦθ' ὃ πράττουσιν; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν πότερόν σοι δοκοῦσι τοῦτο βούλεσθαι ὅπερ ποιοῦσι, πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν, ἢ ἐκεῖνο τὸ ὑγιαίνειν, οὗ * ἕνεκα πίνουσιν; D

ΠΩΛ. Δῆλον ὅτι τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσιν.

ΣΩ. Οὐκοῦν καὶ οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτό ἐστιν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε· τίς γὰρ βούλεται πλεῖν τε καὶ κινδυνεύειν καὶ πράγματ' ἔχειν; ἀλλ' ἐκεῖνο, οἶμαι, οὗ ἕνεκα πλέουσι, πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσιν.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν οὕτω καὶ περὶ πάντων; ἐάν τίς τι πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα πράττει;

---

*) ἴσ. ἄρα.

vel tyranni in civitatibus, nisi Socrates redarguetur a Polo et docebitur, illos facere quae velint?

Pol. Ecce virum!

So. Nego illos facere quae velint; age redargue me.

Pol. Nonne igitur concessisti, eos facere quae sibi viderentur optima esse, paullo ante?

So. Etiam nunc concedo.

Pol. Nonne faciunt quae volunt?

So. Nego.

Pol. Et faciunt tamen quae sibi videntur?

So. Aio.

Pol. Indigna profecto dicis et mirum quam absurda, Socrate.

So. Ne me accuses, o bone Pole, ut tuo te more appellem; sed si habes quod me interroges, ostende me mentiri, sin minus, ipse responde.

Pol. Volo sane respondere, ut videlicet sciam quid dicas.

So. Utrum igitur tibi videntur homines hoc velle quod quisque facit, an illud ob quod faciunt id quod faciunt? veluti qui medicamenta bibunt a medicis accepta num tibi videntur hoc velle quod faciunt, bibere medicamentum et dolore angi, an illud, propter quod bibunt, prospera uti valitudine?

Pol. Dubium non est quin prospera uti valitudine velint, quamobrem bibant.

So. Itaque etiam qui navigant ceterosque quaestus faciunt non hoc volunt quod quisque facit: quis enim vult navigare et periclitari et negotium habere? sed illud, opinor, propter quod navigant, se ditare; divitiarum enim causa navigant.

Pol. Sane quidem.

So. Nonne igitur ita etiam in omnibus habet? si quis aliquid facit propter aliud quid, non hoc vult quod facit, sed illud, propter quod facit?

* ΠΩΛ. Ναί. E

ΣΩ. Ἆρ' οὖν ἔστι τι τῶν ὄντων ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων, οὔτε ἀγαθὸν οὔτε κακόν;

ΠΩΛ. Πολλὴ ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν λέγεις εἶναι ἀγαθὸν μὲν σοφίαν τε καὶ ὑγίειαν καὶ πλοῦτον καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τἀναντία τούτων;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, * ἐνίοτε δὲ οὐδετέρου; οἷον καθῆσθαι καὶ βαδίζειν 468
καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ λίθους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα· οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά;

ΠΩΛ. Οὔκ, ἀλλὰ ταῦτα.

ΣΩ. Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ;

ΠΩΛ. Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν.

ΣΩ. Τὸ ἀγαθὸν * ἄρα διώκοντες καὶ βαδίζομεν, B
ὅταν βαδίζωμεν, οἰόμενοι βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕσταμεν, ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ· ἢ οὔ;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἀποκτίννυμεν, εἴ τινα ἀποκτίννυμεν *), καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν ἢ μή;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἕνεκ' ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες.

ΠΩΛ. Φημί.

ΣΩ. Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, * μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα ταῦτα C
ποιοῦμεν;

ΠΩΛ. Μάλιστα.

ΣΩ. Οὐκ ἄρα σφάττειν βουλόμεθα οὐδ' ἐκβάλλειν ἐκ

---

*) ἴσ. ὅταν ἀποκτείνωμεν.

Pol. Vero.

So. Iamne quicquam eſt quod non ſit vel bonum vel malum vel medium inter utrumque, neque bonum neque malum?

Pol. Omnino ita neceſſe eſt, Socrate.

So. Nonne dicis bonam eſſe ſapientiam et ſanitatem et divitias et cetera id genus, mala vero horum contraria?

Pol. Ego ſane.

So. Eane vero quae neque bona neque mala ſint haec dicis, quae nonnumquam coniuncta ſint cum bono, nonnumquam cum malo, nonnumquam vero cum neutro? veluti ſedere, vadere, currere et navigare, veluti etiam lapides, ligna ceteraque generis eiusdem; nonne haec dicis? an alia quaepiam dicis neque bona neque mala?

Pol. Non alia, ſed haec.

So. Num igitur ea quae media ſunt homines bonorum cauſa faciunt, ut faciant, an bona mediorum cauſa?

Pol. Media ſane bonorum cauſa.

So. Bonum igitur ſectantes et vadimus, ut vadamus, exiſtimantes melius eſſe, et contra ſtamus, ut ſtemus, eandem ob cauſam, propter bonum; nonne?

Pol. Ita.

So. Nonne etiam interficimus, ut interficiamus, et expellimus et ſpoliamus facultatibus, exiſtimantes melius eſſe nobis haec facere quam non facere?

Pol. Sane quidem.

So. Boni ergo cauſa omnia haec faciunt ii qui faciunt.

Pol. Aio.

So. Nonne confeſſi ſumus, nos non ea, quae alius rei cauſa faceremus, velle, ſed id, propter quod illa faceremus?

Pol. Maxime.

So. Non igitur mactare volumus nec expellere ex

τῶν πόλεων οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως, ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δὲ ὄντα οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φῂς σύ, τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βουλόμεθα, οὐδὲ τὰ κακά· ἦ γάρ; ἀληθῆ σοι δοκῶ λέγειν, ὦ Πῶλε, ἢ οὔ; — Τί οὐκ ἀποκρίνει; D

ΠΩΛ. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον, οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ· ἦ γάρ;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; — Τί οὐκ ἀποκρίνει;

ΠΩΛ. Ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται.

ΣΩ. Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται * ἐν τῇ πόλει ταύτῃ *), εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν; E

ΠΩΛ. Οὐκ ἔστιν.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι μηδὲ ποιεῖν ἃ βούλεται.

ΠΩΛ. Ὡς δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον ἢ μή, οὐδὲ ζηλοῖς, ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμενον χρήματα ἢ δήσαντα.

ΣΩ. Δικαίως λέγεις ἢ ἀδίκως;

ΠΩΛ. Ὁπότερ' * ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; 469

ΣΩ. Εὐφήμει, ὦ Πῶλε.

ΠΩΛ. Τί δή;

ΣΩ. Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν.

---

*) ἴσ. τοιαύτῃ.

urbibus nec facultatibus ſpoliare ſic ſimpliciter, ſed, ſi utilia ſint haec, volumus ea facere, ſin nocitura, nolumus. bona videlicet volumus, ut ais tu, non ea, quae neque bona neque mala ſunt, nec mala volumus; annon? num vera tibi videor dicere, Pole, nonne? — Cur non reſpondes?

Pol. Vera.

So. His vero conceſſis, ſi quis alterum interficit vel expellit ex urbe vel ſpoliat facultatibus, ſive tyrannus eſt ſive rhetor, exiſtimans melius eſſe ſibi, quum tamen ſit peius, his ſane facit quod ipſi videtur; annon?

Pol. Ita.

So. Num etiam facit quae vult, ſiquidem haec mala ſunt? — Cur non reſpondes?

Pol. Nequaquam mihi videtur facere quae vult.

So. Num igitur fieri poteſt ut talis homo multum poſſit in tali civitate, ſiquidem multum poſſe boni quid eſt e tua conceſſione?

Pol. Nequit fieri.

So. Vera igitur dixi dicens fieri poſſe, ut homo faciens in civitate quae ſibi viderentur non multum poſſet nec facere quae vellet.

Pol. Tu ſcilicet, Socrate, non malueris licere tibi facere quod tibi videatur in civitate, quam non licere, nec felicem iudicaveris, ſi quem videris vel interficientem, quem ipſi viſum foret, vel ſpoliantem facultatibus vel vincientem.

So. Iuſte dicis an iniuſte?

Pol. Utrocumque modo facit, nonne utroque modo felix eſt iudicandum?

So. Dii meliora! Pole.

Pol. Quid, quaeſo?

So. Quia non convenit neque invidia indignis invidere neque miſeris, ſed eorum miſereri.

ΠΩΛ. Τί δαί; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων;

ΣΩ. Πῶς γὰρ οὔ;

ΠΩΛ. Ὅστις οὖν ἀποκτίννυσιν ὃν ἂν δόξῃ αὐτῷ, δικαίως ἀποκτιννύς, ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεινός;

ΣΩ. Οὐκ ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός.

ΠΩΛ. Οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι;

ΣΩ. Τὸν ἀδίκως γε, ὦ ἑταῖρε, ἀποκτεί*ναντα, καὶ B ἐλεινόν γε πρός, τὸν δὲ δικαίως ἀζήλωτον.

ΠΩΛ. Ἦ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεινός τε καὶ ἄθλιός ἐστιν.

ΣΩ. Ἧττον ἢ ὁ ἀποκτιννύς, ὦ Πῶλε, καὶ ἧττον ἢ ὁ δικαίως ἀποθνήσκων.

ΠΩΛ. Πῶς δῆτα, ὦ Σώκρατες;

ΣΩ. Οὕτως ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν.

ΠΩΛ. Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον;

ΣΩ. Ἥκιστά γε.

ΠΩΛ. Σὺ ἄρα βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν;

ΣΩ. Βου*λοίμην μὲν ἂν ἔγωγε οὐδέτερα, εἰ δ' ἀναγ- C καῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

ΠΩΛ. Σὺ ἄρα τυραννεῖν οὐκ ἂν δέξαιο;

ΣΩ. Οὔκ, εἰ τὸ τυραννεῖν γε λέγεις ὅπερ ἐγώ.

ΠΩΛ. Ἀλλ' ἔγωγε τοῦτο λέγω ὅπερ ἄρτι, ἐξεῖναι ἐν τῇ πόλει, ὃ ἂν δοκῇ αὐτῷ, ποιεῖν τοῦτο, καὶ ἀποκτιννύντι καὶ ἐκβάλλοντι καὶ πάντα πράττοντι κατὰ τὴν αὐτοῦ δόξαν.

ΣΩ. Ὦ μακάριε, ἐμοῦ δὴ λέγοντος τῷ λόγῳ *) ἐπιλαβοῦ. εἰ γὰρ * ἐγὼ ἐν ἀγορᾷ πληθούσῃ λαβὼν ὑπὸ μάλης ἐγ- D χειρίδιον λέγοιμι πρός σε ὅτι Ὦ Πῶλε, ἐμοὶ δύναμίς τις καὶ τυραννὶς θαυμασία ἄρτι προσγέγονεν· ἐὰν γὰρ ἄρα ἐμοὶ δόξῃ τινὰ τουτωνὶ τῶν ἀνθρώπων ὧν σὺ ὁρᾷς αὐτίκα μάλα δεῖν τεθνάναι, τεθνήξει οὗτος ὃν ἂν δόξῃ, κἄν τινα δόξῃ μοι τῆς

*) ἴσ. τὸν λόγον.

Pol. Ain tandem? haec tibi videtur causa esse eorum quos dico hominum?

So. Quidni?

Pol. Ergo qui interficit quem ipsi videtur, iuste interficiens, infelix videtur tibi esse atque miserandus?

So. Non mihi quidem videtur, nec tamen invidia dignus.

Pol. Nonne modo miserum dixisti eum esse?

So. Iniuste quidem, amice, interficientem, quin etiam hunc miserandum dico, iuste vero id facientem nulla invidia dignum.

Pol. Profecto tamen qui moritur iniuste est miserandus et infelix.

So. Minus quam qui interficit, Pole, etiam minus quam qui iuste moritur.

Pol. Quid ita, Socrate?

So. Quia maximum malorum est iniuste facere.

Pol. Hocne ut maximum sit? nonne iniuriam pati maius?

So. Minime vero.

Pol. Tu igitur malis iniuriam pati quam facere?

So. Velim equidem neutrum; sin necesse sit iniuriam vel inferre vel pati, praeoptem iniuriam pati quam inferre.

Pol. Tu igitur nolis te tyrannum esse?

So. Nolo, siquidem tyrannum esse id dicis quod ego.

Pol. At ego hoc dico, quod supra, potestatem habere in civitate quodcumque videatur faciendi, et interficiendi et expellendi omniaque faciendi ex sua sententia.

So. O egregie, me hoc dicentem redargue dum. si enim ego in foro maxime frequenti sumpto sub brachium pugione tibi dicam: Mihi, Pole, potestas et tyrannis mirum quanta modo obtigit; nam si mihi placet, ut aliquis de hisce quos conspicis hominibus extemplo morti obiiciatur, morietur hic, quem visum est; si mihi

κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα μάλα, κἂν θοιμάτιον διεσχίσθαι, διεσχισμένον ἔσται· οὕτω μέγα ἐγὼ δύναμαι ἐν τῇ*δε τῇ πόλει. εἰ οὖν ἀπιστοῦντί σοι δείξαιμι τὸ E ἐγχειρίδιον, ἴσως ἂν εἴποις ἰδὼν ὅτι Ὦ Σώκρατες, οὕτω μὲν πάντες ἂν μέγα δύναιντο, ἐπεὶ κἂν ἐμπρησθείη οἰκία τούτῳ τῷ τρόπῳ, ἥντινα ἄν σοι δοκῇ, καὶ τά γε Ἀθηναίων νεώρια καὶ αἱ τριήρεις καὶ τὰ πλοῖα πάντα καὶ τὰ δημόσια καὶ τὰ ἴδια. ἀλλ' οὐκ ἄρα τοῦτ' ἔστι τὸ μέγα δύνασθαι τὸ ποιεῖν ἃ δοκεῖ αὐτῷ· ἢ δοκεῖ σοι;

ΠΩΛ. Οὐ δῆτα οὕτω γε.

*ΣΩ. Ἔχεις οὖν εἰπεῖν, διότι μέμφει τὴν τοιαύτην 47 δύναμιν;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τί δή; λέγε.

ΠΩΛ. Ὅτι ἀναγκαῖον τὸν οὕτω πράττοντα ζημιοῦσθαί ἐστιν.

ΣΩ. Τὸ δὲ ζημιοῦσθαι οὐ κακόν;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν, ὦ θαυμάσιε, τὸ μέγα δύνασθαι πάλιν αὖ σοι φαίνεται, ἐὰν μὲν πράττοντι ἃ δοκεῖ ἕπηται τὸ ὠφελίμως πράττειν, ἀγαθόν τε εἶναι, καὶ τοῦτο, ὡς ἔοικεν, ἐστὶ τὸ μέγα δύνασθαι, εἰ δὲ μή, κακὸν καὶ σμικρὸν δύνασθαι. * Σκεψώ- B μεθα δὲ καὶ τόδε. ἄλλο τι ἢ ὁμολογοῦμεν ἐνίοτε μὲν ἄμεινον εἶναι ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐλέγομεν, ἀποκτιννύναι τε καὶ ἐξελαύνειν ἀνθρώπους καὶ ἀφαιρεῖσθαι χρήματα, ἐνίοτε δὲ οὔ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμολογεῖται.

ΠΩΛ. Ναί.

ΣΩ. Πότε οὖν σύ φῃς ἄμεινον εἶναι ταῦτα ποιεῖν; εἰπὲ τίνα ὅρον ὁρίζει.

ΠΩΛ. Σὺ μὲν οὖν, ὦ Σώκρατες, ἀπόκριναι ταὐτὸ *) τοῦτο.

ΣΩ. Ἐγὼ μὲν * τοίνυν φημί, ὦ Πῶλε, εἴ σοι παρ' C ἐμοῦ ἥδιόν ἐστιν ἀκούειν, ὅταν μὲν δικαίως τις ταῦτα ποιῇ, ἄμεινον εἶναι, ὅταν δὲ ἀδίκως, κάκιον.

---

*) ἴσ. αὐτό.

placet, ut alicuius horum caput frangatur, fractum erit extemplo; et si placet, ut vestis discindatur, discissa erit: tantum ego possum in hac urbe. quodsi fidem tibi non habenti ostendam pugionem, forsitan dixeris eum conspiciens: Ita quidem, Socrate, omnes multum possint; nam incendi etiam possit domus hac ratione, quamcunque tibi visum fuerit, quin etiam Atheniensium navalia, triremes et navigia omnia tam publica quam privata. at non hoc est multum posse, si quis facit quae ipsi videntur; an tu censes?

Pol. Haudquaquam hoc modo.

So. Habesne dicere, cur vituperes huiusmodi potestatem?

Pol. Habeo vero.

So. Cur tandem? dic.

Pol. Quia fieri nequit quin qui ita faciat puniatur.

So. Puniri vero nonne malum est?

Pol. Sane quidem.

So. Itaque, o praestantissime, multum posse rursum tibi videtur, si is qui faciat quae ipsi videantur utiliter faciat, bonumque id esse — et hoc, ut perspicitur, est multum posse — sin minus, malum esse et parum posse. Consideremus etiam hoc: nonne concedimus nonnumquam melius esse haec facere quae modo diximus, interficere et expellere homines et spoliare facultatibus, nonnumquam vero non esse melius?

Pol. Sane quidem.

So. Hoc igitur, ut patet, et a te et a me conceditur.

Pol. Ita.

So. Quando tu iam ais melius esse haec facere? dic quem terminum constituas.

Pol. Tu vero, Socrate, responde ad hoc ipsum.

So. Equidem dico, Pole, si mavis a me audire, quando iuste quis haec faciat, melius esse, quando autem iniuste, peius.

ΠΩΛ. Χαλεπόν γέ σε ἐλέγξαι, ὦ Σώκρατες! ἀλλ' οὐχὶ κἂν παῖς σε ἐλέγξειεν ὅτι οὐκ ἀληθῆ λέγεις;

ΣΩ. Πολλὴν ἄρα ἐγὼ τῷ παιδὶ χάριν ἕξω, ἴσην δὲ καὶ σοί, ἐάν με ἐλέγξῃς καὶ ἀπαλλάξῃς φλυαρίας. ἀλλὰ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν, ἀλλ' ἔλεγχε.

ΠΩΛ. Ἀλλὰ μήν, ὦ Σώκρατες, οὐδέν γέ σε δεῖ πα-
*λαιοῖς πράγμασιν ἐλέγχειν· τὰ γὰρ ἐχθὲς καὶ πρώην γεγο- D
νότα ταῦτα ἱκανά σε ἐξελέγξαι ἐστὶ καὶ ἀποδεῖξαι, ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαιμονές εἰσιν.

ΣΩ. Τὰ ποῖα ταῦτα;

ΠΩΛ. Ἀρχέλαον δήπου τοῦτον τὸν Περδίκκου ὁρᾷς ἄρχοντα Μακεδονίας;

ΣΩ. Εἰ δὲ μή, ἀλλ' ἀκούω γε.

ΠΩΛ. Εὐδαίμων οὖν σοι δοκεῖ εἶναι, ἢ ἄθλιος;

ΣΩ. Οὐκ οἶδα, ὦ Πῶλε· οὐ γάρ πω ξυγγέγονα τῷ ἀνδρί.

ΠΩΛ. Τί δαί; ξυγγενόμενος ἂν * γνοίης, ἄλλως δὲ E
αὐτόθεν οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ;

ΣΩ. Μὰ Δί' οὐ δῆτα.

ΠΩΛ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαίμονα ὄντα.

ΣΩ. Καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης.

ΠΩΛ. Τί δαί; ἐν τούτῳ πᾶσα ἡ εὐδαιμονία ἐστίν;

ΣΩ. Ὥς γε ἐγὼ λέγω, ὦ Πῶλε· τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον.

* ΠΩΛ. Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος κατὰ 471
τὸν σὸν λόγον;

ΣΩ. Εἴπερ γε, ὦ φίλε, ἄδικος.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ πῶς οὐκ ἄδικος, ᾧ γε προσῆκε μὲν τῆς ἀρχῆς οὐδὲν ἣν νῦν ἔχει, ὄντι ἐκ γυναικὸς ἣ ἦν δούλη Ἀλκέτου τοῦ Περδίκκου ἀδελφοῦ, καὶ κατὰ μὲν τὸ δίκαιον δοῦλος ἦν Ἀλκέτου, καὶ εἰ ἐβούλετο τὰ δίκαια ποιεῖν, ἐδούλευεν ἂν Ἀλκέτῃ καὶ ἦν εὐδαίμων κατά γε τὸν σὸν λόγον;

Pol. Difficile scilicet est te refellere, Socrate! quin te nonne vel puer refellat, te non vera dicere probans?

So. Magnam igitur puero gratiam habebo, aequalem vero tibi quoque, si me redargueris et a nugis dicendis liberaveris. at ne graveris viro amico bene facere; itaque refelle.

Pol. Iam vero, Socrate, nihil opus est rebus te antiquitus gestis refellere; etenim non ita pridem facta illa satis sunt ad te refellendum atque hoc probandum, multos iniuste facientes homines felices esse.

So. Quaenam haec sunt?

Pol. Archelaum videlicet illum Perdiccae filium videsne imperantem Macedoniae?

So. Nisi hoc, certe audio.

Pol. Beatus tibi videtur esse, an miser?

So. Haud scio, Pole; nondum enim colloquutus sum cum viro.

Pol. Ain tu? colloquens cognoscas, aliter per te ipse non cognoscis eum beatum esse?

So. Per Iovem nullo modo.

Pol. Ut patet igitur, Socrate, ne magnum quidem regem te scire dices beatum esse.

So. Et vera quidem dicam; haud enim scio quo sit animi cultu, quaque iustitia.

Pol. Quid tandem? in hoc sita est vita beata?

So. Ut equidem dico, Pole; honestum enim et bonum virum ac feminam existimo beatum, iniustum vero et improbum miserum.

Pol. Miser ergo hic est Archelaus ex tua oratione?

So. Certe, amice, si iniustus.

Pol. At quî non sit iniustus, ad quem imperii nihil pertinuerit quod nunc tenet, utpote muliere natum, quae serva fuerat Alcetae Perdiccae fratris: ut iure ac lege servus fuerit Alcetae et, si iuste facere voluisset, Alcetae servisset beatusque fuisset ex tua certe oratione?

νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν, ἐπεὶ τὰ μέγιστα ἠδίκηκεν· ὅς γε πρῶτον * μὲν τοῦτον αὐτὸν τὸν δεσπότην καὶ θεῖον B μεταπεμψάμενος ὡς ἀποδώσων τὴν ἀρχήν, ἣν Περδίκκας αὐτὸν ἀφείλετο, ξενίσας καὶ καταμεθύσας αὐτόν τε καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, ἀνεψιὸν αὐτοῦ, σχεδὸν ἡλικιώτην, ἐμβαλὼν εἰς ἅμαξαν, νύκτωρ ἐξαγαγὼν ἀπέσφαξέ τε καὶ ἠφάνισεν ἀμφοτέρους. καὶ ταῦτ' ἀδικήσας ἔλαθεν ἑαυτὸν ἀθλιώτατος γενόμενος καὶ οὐ μετεμέλησεν αὐτῷ, ἀλλ' ὀλίγον ὕστερον τὸν ἀδελφὸν τὸν γνήσιον, τὸν Περδίκκου * υἱόν, παῖδα ὡς ἑπτέ- C τη *), οὗ ἡ ἀρχὴ ἐγίγνετο κατὰ τὸ δίκαιον, οὐκ ἐβουλήθη εὐδαίμων γενέσθαι δικαίως ἐκθρέψας καὶ ἀποδοὺς τὴν ἀρχὴν ἐκείνῳ, ἀλλ' εἰς φρέαρ ἐμβαλὼν καὶ ἀποπνίξας πρὸς τὴν μητέρα αὐτοῦ Κλεοπάτραν χῆνα ἔφη διώκοντα ἐμπεσεῖν καὶ ἀποθανεῖν. τοιγάρτοι νῦν, ἅτε μέγιστα ἠδικηκὼς τῶν ἐν Μακεδονίᾳ, ἀθλιώτατός ἐστι πάντων τῶν Μακεδόνων, ἀλλ' οὐκ εὐδαιμονέστατος, καὶ ἴσως ἔστιν ὅςτις Ἀθηναίων ἀπὸ σοῦ ἀρξάμενος δέξαιτ' ἂν * ἄλλος ὁςτισοῦν Μακεδόνων γενέσθαι D μᾶλλον ἢ Ἀρχέλαος.

ΣΩ. Καὶ κατ' ἀρχὰς τῶν λόγων, ὦ Πῶλε, ἔγωγέ σε ἐπῄνεσα, ὅτι μοι δοκεῖς εὖ πρὸς τὴν ῥητορικὴν πεπαιδεῦσθαι, τοῦ δὲ διαλέγεσθαι ἠμεληκέναι· καὶ νῦν ἄλλο τι οὗτός ἐστιν ὁ λόγος, ᾧ με καὶ ἂν παῖς ἐξελέγξειε, καὶ ἐγὼ ὑπὸ σοῦ νῦν, ὡς σὺ οἴει, ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ, φάσκων τὸν ἀδικοῦντα οὐκ εὐδαίμονα εἶναι; πόθεν, ὦ 'γαθέ; καὶ μὴν οὐδέν γέ σοι τούτων ὁμολογῶ ὧν σύ φῂς.

ΠΩΛ. Οὐ γὰρ ἐθέλεις,* ἐπεὶ δοκεῖ γέ σοι ὡς ἐγὼ λέγω. E

ΣΩ. Ὦ μακάριε, ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν, ὥσπερ οἱ ἐν τοῖς δικαστηρίοις ἡγούμενοι ἐλέγχειν· καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέρους δοκοῦσιν ἐλέγχειν, ἐπειδὰν τῶν λόγων ὧν ἂν λέγωσι μάρτυρας πολλοὺς παρέχωνται καὶ εὐδοκίμους, ὁ δὲ τἀναντία λέγων ἕνα τινὰ παρέχηται ἢ μηδένα. οὗτος δὲ ὁ ἔλεγχος οὐδενὸς ἄξιός ἐστι πρὸς τὴν * ἀλήθειαν· 472

---

*) γρ. ἑπταετῆ.

nunc autem mirum quam miser exstitit, quia iniustissime fecit; qui videlicet primum, quum hunc ipsum herum suum et patruum accersivisset, simulans se imperium esse redditurum, quo Perdiccas ipsum spoliasset, hospitio excepit ebriumque reddidit ipsum ipsiusque filium Alexandrum, fratrem suum patruelem, fere aequalem, eosque in plaustrum coniectos et noctu absportatos iugulavit et de medio sustulit utrumque. et hac iniuria illata insciens ipse miserrimus factus est, nec ipsum eius poenituit, sed non ita multo post fratrem suum legitimum, Perdiccae filium, puerum admodum septennem, cuius imperium erat lege, noluit beatum reddere iuste ipsum educando imperioque reddendo, sed, quum in puteum eum coniecisset ac suffocasset, matri ipsius Cleopatrae nunciavit eum, quum anserem persequeretur, incidisse et mortuum esse. iccirco nunc, quod iniustissime fecit ex omnibus qui in Macedonia sunt miserrimus est omnium Macedonum, non beatissimus. et fortasse sunt in Atheniensibus, te non excepto, qui alium quemvis se malint Macedonum esse quam Archelaum.

So. Iam initio sermonis, Pole, equidem te laudavi, quod mihi viderere bene ad rhetoricam institutus esse, artem disserendi licet neglexisses: atque nunc num haec est oratio, qua me vel puer refellat, et ego a te nunc, ut tu opinaris, refutatus sum hac oratione, quod dixerim iniuste facientem non esse beatum? unde enim, o bone? certe nihil tibi horum concedo quae tu ponis.

Pol. Non vis scilicet, nam certe tibi videtur ita ut dico.

So. O praestantissime, rhetorice videlicet me instituis refellere, sicut isti qui in iudiciis sibi videntur refellere; nam ibi quoque alter alterum putat refellere, si eorum quae dicit testes multos adhibet atque nobiles, adversarius vero unum aliquem adhibet aut nullum. haec tamen refutatio nihili facienda est ad veritatem;

ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη τις ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι. καὶ νῦν περὶ ὧν σὺ λέγεις ὀλίγου σοι πάντες ξυμφήσουσι ταῦτα Ἀθηναῖοι καὶ οἱ ξένοι, καὶ ἐὰν βούλῃ κατ' ἐμοῦ μάρτυρας παρασχέσθαι ὡς οὐκ ἀληθῆ λέγω, μαρτυρήσουσί σοι, ἐὰν μὲν βούλῃ, Νικίας ὁ Νικηράτου καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ, ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές εἰσιν ἐν τῷ Διονυσίῳ, ἐὰν δὲ βούλῃ, Ἀριστοκράτης ὁ Σκελλίου, οὗ αὖ ἐστὶν ἐν Πυθοῖ *) τοῦτο τὸ κα*λὸν ἀνάθημα, ἐὰν δὲ βούλῃ, B ἡ Περικλέους ὅλη οἰκία ἢ ἄλλη ξυγγένεια, ἥντιν' ἂν βούλῃ τῶν ἐνθένδε ἐκλέξασθαι. ἀλλ' ἐγώ σοι εἷς ὢν οὐχ ὁμολογῶ· οὐ γάρ με σὺ ἀναγκάζεις, ἀλλὰ ψευδομάρτυρας κατ' ἐμοῦ πολλοὺς παρασχόμενος ἐπιχειρεῖς ἐκβάλλειν με ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς. ἐγὼ δ' ἐὰν μὴ σὲ αὐτὸν ἕνα ὄντα μάρτυρα παράσχωμαι ὁμολογοῦντα περὶ ὧν λέγω, οὐδὲν οἶμαι ἄξιον λόγου μοι πεπεράνθαι περὶ * ὧν ἂν ἡμῖν ὁ λόγος C ᾖ, οἶμαι δὲ οὐδὲ σοί, ἐὰν μὴ ἐγώ σοι μαρτυρῶ εἷς ὢν μόνος, τοὺς δ' ἄλλους πάντας τούτους χαίρειν ἐᾷς. Ἔστι μὲν οὖν οὗτός τις τρόπος ἐλέγχου, ὡς σύ τε οἴει καὶ ἄλλοι πολλοί, ἔστι δὲ καὶ ἄλλος, ὃν ἐγὼ αὖ οἶμαι. παραβάλλοντες οὖν παρ' ἀλλήλους σκεψώμεθα εἴ τι διοίσουσιν ἀλλήλων· καὶ γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ ὄντα, ἀλλὰ σχεδόν τι ταῦτα, περὶ ὧν εἰδέναι τε κάλλιστον μὴ εἰδέναι τε αἴσχιστον· τὸ γὰρ κεφάλαιον αὐτῶν ἐστὶν ἢ γιγνώσκειν ἢ ἀγνοεῖν, ὅστις τε εὐδαίμων ἐστὶ καὶ ὅστις *μή. αὐτίκα πρῶτον, περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἡγεῖ D οἷόν τε εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον ὄντα, εἴπερ Ἀρχέλαον ἄδικον μὲν ἡγεῖ εἶναι, εὐδαίμονα δέ· ἄλλο τι ὡς οὕτω σου νομίζοντος διανοώμεθα;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἐγὼ δέ φημι ἀδύνατον. ἓν μὲν τουτὶ ἀμφισβητοῦμεν. εἶεν, ἀδικῶν δὲ δὴ εὐδαίμων ἔσται ἆρ', ἐὰν τυγχάνῃ δίκης τε καὶ τιμωρίας;

ΠΩΛ. Ἥκιστά γε, ἐπεὶ οὕτω γ' ἂν ἀθλιώτατος εἴη.

---

*) ἄλλ. Πυθίου (ἴσ. Πυθίῳ).

nonnumquam enim etiam opprimi aliquis poteſt falſo teſtimonio multorum et eorum quidem qui videntur eſſe aliquid. atque nunc iſta quae dicis paene omnes tibi aſſentientur Athenienſes et externi, et, ſi velis teſtibus convincere me non vera dicere, teſtes tibi erunt, ſi vis, Nicias Nicerati filius et una eius fratres, qui tripodas illos donarunt deinceps ſtantes in Bacchi templo, ſin mavis, Ariſtocrates Scellii filius, qui pariter Delphis pulchrum illud donarium dedicavit, vel ſi vis, univerſa Periclis domus vel alia familia, quamcunque volueris ex iis quae hic ſunt eligere. at ego, qui unus ſum, tibi non concedo; neque enim argumentis me convincis, ſed multos contra me falſos teſtes excitans conaris me eiicere e facultatibus et vero. ego contra niſi te ipſum, qui unus es, teſtem adhibuerim conſentientem haec quae dicam, nihil arbitror inſigne a me perfici poſſe, de quacumque re disferamus, puto autem nec a te, niſi ego tibi teſtis ſim unus ſolus ceterosque omnes illos miſſos facias. Eſt quidem aliqua refutationis ratio illa, quam tu iudicas et alii multi, eſt vero etiam alia, quam ego contra iudico. comparantes igitur has inter ſe videamus quid differat inter utramque; ſunt enim etiam ea, de quibus ambigimus, haud plane levia quaedam, ſed profecto haec, quae ſcire pulcherrimum eſt, neſcire turpiſſimum; nam ſumma eorum conſiſtit in hoc, ut vel cognoſcamus vel ignoremus, quis beatus ſit, quis non ſit. exempli cauſa primum de quo nunc agitur, tu arbitraris poſſe virum qui iniuſte faciat et iniuſtus ſit beatum eſſe, ſiquidem Archelaum iniuſtum quidem, at beatum eſſe cenſes; itane te ſentire exiſtimemus?

Pol. Sane quidem.

So. Ego autem dico hoc fieri non poſſe. de hoc uno igitur ambigimus. iam vero qui iniuſte facit num beatus erit, ſi ſupplicium et poena in eum conſtituantur?

Pol. Minime vero; nam ita ſane miſerrimus erit.

ΣΩ. Ἀλλ' ἐὰν ἄρα μὴ τυγχάνῃ * δίκης ἀδικῶν, E
κατὰ τὸν σὸν λόγον εὐδαίμων ἔσται;

ΠΩΛ. Φημί.

ΣΩ. Κατὰ δέ γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

* ΠΩΛ. Ἄτοπά γε, ὦ Σώκρατες, ἐπιχειρεῖς λέγειν. 473

ΣΩ. Πειράσομαι δέ γε καὶ σὲ ποιῆσαι, ὦ ἑταῖρε, ταὐτὰ ἐμοὶ λέγειν· φίλον γάρ σε ἡγοῦμαι. νῦν μὲν οὖν ἃ διαφερόμεθα, ταῦτ' ἐστί· σκόπει δὲ καὶ σύ. Εἶπον ἐγώ που ἐν τοῖς ἔμπροσθεν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον εἶναι.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Σὺ δὲ τὸ ἀδικεῖσθαι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ τοὺς ἀδικοῦντας ἀθλίους ἔφην εἶναι ἐγώ, καὶ ἐξηλέγχθην ὑπὸ σοῦ.

ΠΩΛ. Ναὶ μὰ Δία.

ΣΩ. Ὡς * σύ γε οἴει, ὦ Πῶλε. B

ΠΩΛ. Ἀληθῆ γε οἰόμενος ἴσως.

ΣΩ. Σὺ δέ γε εὐδαίμονας αὖ τοὺς ἀδικοῦντας, ἐὰν μὴ διδῶσι δίκην.

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἐγὼ δὲ αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς δὲ διδόντας δίκην ἧττον. βούλει καὶ τοῦτο ἐλέγχειν;

ΠΩΛ. Ἀλλ' ἔτι τοῦτ' ἐκείνου χαλεπώτερόν ἐστιν, ὦ Σώκρατες, ἐξελέγξαι.

ΣΩ. Οὐ δῆτα, ὦ Πῶλε, ἀλλ' ἀδύνατον· τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

ΠΩΛ. Πῶς λέγεις; ἐὰν ἀδικῶν ἄνθρωπος ληφθῇ
τυ*ραννίδι ἐπιβουλεύων, καὶ ληφθεὶς στρεβλῶται καὶ ἐκτέ- C
μνηται καὶ τοὺς ὀφθαλμοὺς ἐκκάηται *), καὶ ἄλλας πολλὰς καὶ μεγάλας καὶ παντοδαπὰς λώβας αὐτός τε λωβηθεὶς

*) ἴσ. ἐκτέμνηται τοὺς ὀφθαλμοὺς καὶ ἐκκάηται.

So. At ſi non ad ſupplicium ducatur qui iniuſte facit, ex tua oratione beatus erit?

Pol. Aio.

So. Ex mea vero ſententia, Pole, qui iniuſte facit et iniuſtus eſt omnino miſer eſt, miſerior tamen, ſi poenas non det nec ad ſupplicium ducatur iniuſte faciens, minus vero miſer, ſi poenas det ſuppliciumque in eum conſtituatur et a diis et ab hominibus.

Pol. Abſurda ſane, Socrate, inſtituis dicere.

So. Conabor tamen efficere, ut etiam tu, o care, eadem quae ego dicas; amicum enim te exiſtimo. nunc igitur, quo inter nos disſentimus, hoc eſt; conſidera tu quoque. Dixi videlicet ego in praegreſſis iniuriam facere peius eſſe quam accipere.

Pol. Sane quidem.

So. Tu vero iniuriam accipere.

Pol. Ita.

So. Et iniuſte facientes miſeros dicebam eſſe et refutabar a te.

Pol. Ita per Iovem.

So. Ut tu ſcilicet arbitraris, Pole.

Pol. Et recte quidem haud dubie arbitrans.

So. Tu autem beatos dicebas iniuſte facientes, ſi nullas darent poenas.

Pol. Sane quidem.

So. Ego vero eos miſerrimos dico, poenas autem dantes minus miſeros. visne etiam hoc refellere?

Pol. Hoc nimirum etiam difficilius eſt quam illud, Socrate, ad refellendum.

So. Non hoc, Pole, ſed ne poteſt quidem refelli; verum enim numquam refellitur.

Pol. Quomodo dicis? ſi homo iniuſte faciens comprehendatur, quod tyrannidem affectet, comprehenſusque torqueatur, oculis excisſis uratur et, quum alios multos magnos variosque cruciatus et ipſe perpeſſus ſit

καὶ τοὺς αὑτοῦ ἐπιδὼν παῖδάς τε καὶ γυναῖκα τὸ ἔσχατον ἀνασταυρωθῇ ἢ καταπιττωθῇ, οὗτος εὐδαιμονέστερος ἔσται, ἢ ἐὰν διαφυγὼν τύραννος καταστῇ καὶ ἄρχων ἐν τῇ πόλει διαβιῷ ποιῶν ὅ τι ἂν βούληται, ζηλωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν * ἄλλων ξένων; ταῦτα λέγεις ἀδύνατον εἶναι ἐξελέγ- D
χειν;

ΣΩ. Μορμολύττει αὖ, ὦ γενναῖε Πῶλε, καὶ οὐκ ἐλέγχεις [ἄρτι δὲ ἐμαρτύρου]· ὅμως δὲ ὑπόμνησόν με σμικρόν· ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννίδι, εἶπες;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Εὐδαιμονέστερος μὲν τοίνυν οὐδέποτε ἔσται οὐδέτερος αὐτῶν, οὔτε ὁ κατειργασμένος τὴν τυραννίδα ἀδίκως οὔτε ὁ δίκην διδούς· δυεῖν γὰρ ἀθλίοιν εὐδαιμονέστερος μὲν οὐκ ἂν εἴη, ἀθλιώτερος μέντοι ὁ δια*φυγὼν καὶ E
τυραννεύσας. Τί τοῦτο, ὦ Πῶλε; γελᾷς; ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου ἐστίν, ἐπειδάν τίς τι εἴπῃ, καταγελᾶν, ἐλέγχειν δὲ μή;

ΠΩΛ. Οὐκ οἴει ἐξεληλέγχθαι, ὦ Σώκρατες, ὅταν τοιαῦτα λέγῃς, ἃ οὐδεὶς ἂν φήσειεν ἀνθρώπων; ἐπεὶ ἐροῦ τινὰ τουτωνί.

ΣΩ. Ὦ Πῶλε, οὐκ εἰμὶ τῶν πολιτικῶν, καὶ πέρυσι βουλεύειν λαχών, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα παρεῖχον * καὶ οὐκ ἠπιστάμην ἐπιψη- 474
φίζειν. μὴ οὖν μηδὲ νῦν με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας, ἀλλ' εἰ μὴ ἔχεις τούτων βελτίω ἔλεγχον, ὅπερ νῦν δὴ ἐγὼ ἔλεγον, ἐμοὶ ἐν τῷ μέρει παράδος καὶ πείρασαι τοῦ ἐλέγχου, οἷον ἐγὼ οἶμαι δεῖν εἶναι. ἐγὼ γὰρ ὧν ἂν λέγω ἕνα μὲν παρασχέσθαι μάρτυρα ἐπίσταμαι, αὐτὸν πρὸς ὃν ἄν μοι ὁ λόγος ᾖ, τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν, καὶ ἕνα ἐπιψηφίζειν ἐπίσταμαι, τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι. ὅρα οὖν εἰ ἐθελή*σεις ἐν τῷ μέρει δι- B
δόναι ἔλεγχον ἀποκρινόμενος τὰ ἐρωτώμενα. ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ

et ſuos ipſe liberos uxoremque perpetientes conſpexerit, ad extremum cruci ſuffigatur vel pice oblinatur, hic igitur beatior erit, quam ſi effugiens tyrannus exſiſtat et imperium in civitate teneat faciens quodcumque voluerit, imitatione dignus et felix iudicatus non ſolum a civibus, verum etiam ab externis? haec dicis non poſſe redargui?

So. Terres iam, o generoſe Pole, non refellis [ante vero teſtes adhibuiſti]; tamen me admone paullulum: ſi iniuſte affectet tyrannidem, dixiſti?

Pol. Ego vero.

So. Beatior quidem neuter eorum umquam erit, neque qui potitus eſt dominatu iniuſte neque qui poenas dat; duorum enim miſerorum beatior quidem neutiquam, at miſerior erit qui effugit et dominatum occupavit. Quid hoc, Pole? rides? aliudne hoc rurſum genus refutationis eſt, ſi quis aliquid dixerit, ridere ac non refellere?

Pol. Nonne putas te iam refutatum eſſe, Socrate, ſi talia proferas quae nemo dixerit hominum? nam interroga aliquem de his.

So. O Pole, non ſum virorum civilium, et anno ſuperiore in ſenatum ſortito lectus, quum tribus rem publicam adminiſtraret meque oporteret populum in ſuffragium mittere, riſum concitavi neſciens ſententias perrogare. ne igitur nunc quoque me iubeas in ſuffragium mittere praesentes, ſed ſi meliorem hac nullam tenes refutationem, id quod modo dixi, mihi viciſſim refellendi poteſtatem concede et noſce, qualem ego cenſeam eſſe debere refutationem. ego enim eorum quae dico unum excitare teſtem ſcio, hunc quicum ſermonem confero, multitudinem vero valere iubeo, et unum in ſuffragium mittere ſcio, cum multitudine vero ne colloquor quidem. iam vide num velis viciſſim mihi refellendi poteſtatem facere reſpondens ad ea quae interrogaverim. ego enim exiſtimo et me et te et reliquos ho-

ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

ΠΩΛ. Ἐγὼ δέ γε οὔτ' ἐμὲ οὔτ' ἄλλον ἀνθρώπων οὐδένα· ἐπεὶ σὺ δέξαι' ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν;

ΣΩ. Καὶ σύ γ' ἂν καὶ οἱ ἄλλοι πάντες.

ΠΩΛ. Πολλοῦ γε δεῖ, ἀλλ' οὔτ' ἐγὼ οὔτε σὺ οὔτ' ἄλλος οὐδείς.

ΣΩ. Οὐκοῦν * ἀποκρινεῖ; C

ΠΩΛ. Πάνυ μὲν οὖν· καὶ γὰρ ἐπιθυμῶ εἰδέναι ὅ τί ποτ' ἐρεῖς.

ΣΩ. Λέγε δή μοι, ἵν' εἰδῇς, ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς σε ἠρώτων· πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκιον εἶναι τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι;

ΠΩΛ. Τὸ ἀδικεῖσθαι ἔμοιγε.

ΣΩ. Τί δὲ δή; αἴσχιον πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; Ἀποκρίνου.

ΠΩΛ. Τὸ ἀδικεῖν.

ΣΩ. Οὐκοῦν καὶ κάκιον, εἴπερ αἴσχιον;

ΠΩΛ. Ἥκιστά γε.

ΣΩ. Μανθάνω· οὐ ταὐτὸν ἡγεῖ σύ, ὡς ἔοικας, καλόν τε καὶ * ἀγαθὸν καὶ κακὸν καὶ αἰσχρόν. D

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Τί δὲ τόδε; τὰ καλὰ πάντα, οἷον καὶ σώματα καὶ χρώματα καὶ σχήματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα, εἰς οὐδὲν ἀποβλέπων καλεῖς ἑκάστοτε καλά; οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ τὴν χρείαν λέγεις καλὰ εἶναι, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο, ἢ κατὰ ἡδονήν τινα, ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας; ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος * κάλλους; E

ΠΩΛ. Οὐκ ἔχω.

ΣΩ. Οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφέλειαν ἢ δι' ἀμφότερα καλὰ προσαγορεύεις;

mines iniuriam facere peius ducere quam iniuriam accipere et nullas dare poenas peius quam dare.

Pol. Ego tamen existimo neque me neque alium quempiam hominum ita statuere; nam tune ut malis iniuriam pati quam facere?

So. Et tu sane et ceteri omnes.

Pol. Multum vero abest; quin neque ego neque tu neque alius quispiam.

So. Num igitur respondebis?

Pol. Sane quidem; etenim aveo scire quid tandem dicturus sis.

So. Dic igitur mihi, ut scias, quasi te ab initio rogem: utrum videtur tibi, Pole, peius esse iniuriam facere an iniuriam accipere?

Pol. Iniuriam accipere mihi quidem videtur.

So. Quid vero? turpius utrum iniuriam facere an accipere? Responde.

Pol. Iniuriam facere.

So. Nonne etiam peius, siquidem turpius?

Pol. Minime vero.

So. Intelligo: non idem existimas esse, ut patet, pulchrum et bonum, malum et turpe.

Pol. Nullo pacto.

So. Quid vero hoc? omnia pulchra, veluti corpora, colores, gestus, voces et instituta, num ad nihil spectans dicis horum quidque pulchrum? veluti primum corpora pulchra nonne vel propter usum dicis pulchra esse, ad quod videlicet quidque utile est, vel propter voluptatem aliquam, si eorum adspectus oblectat spectantes: habesne quid praeter haec dicere de corporis pulchritudine?

Pol. Non habeo.

So. Nonne etiam reliqua omnia hac ratione et gestus et colores vel propter voluptatem aliquam vel propter utilitatem vel propter utrumque pulchra nuncupas?

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν πάντα ὡσαύτως;

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ μὴν τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα οὐ δήπου ἐκτὸς τούτων ἐστὶ τὰ καλὰ τοῦ ἢ ὠφέλιμα εἶναι ἢ ἡδέα ἢ ἀμφότερα.

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν καὶ * τὸ τῶν μαθημάτων κάλλος ὡς- 475
αύτως;

ΠΩΛ. Πάνυ γε· καὶ καλῶς γε νῦν ὁρίζει, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ ὁριζόμενος τὸ καλόν.

ΣΩ. Οὐκοῦν τὸ αἰσχρὸν τῷ ἐναντίῳ, λύπῃ τε καὶ κακῷ;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ὅταν ἄρα δυεῖν καλοῖν θάτερον κάλλιον ᾖ, ἢ τῷ ἑτέρῳ τούτοιν ἢ ἀμφοτέροις ὑπερβάλλον κάλλιόν ἐστιν, ἤτοι ἡδονῇ ἢ ὠφελείᾳ ἢ ἀμφοτέροις.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Καὶ ὅταν δὲ δὴ δυεῖν αἰσχροῖν τὸ ἕτερον αἴ-
σχιον * ᾖ, ἤτοι λύπῃ ἢ κακῷ ὑπερβάλλον αἴσχιον ἔσται· B
ἢ οὐκ ἀνάγκη;

ΠΩΛ. Ναί.

ΣΩ. Φέρε δή, πῶς ἐλέγετο νῦν δὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι; οὐκ ἔλεγες τὸ μὲν ἀδικεῖσθαι κάκιον εἶναι, τὸ δὲ ἀδικεῖν αἴσχιον;

ΠΩΛ. Ἔλεγον.

ΣΩ. Οὐκοῦν, εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν ἐστι καὶ λύπῃ ὑπερβάλλον αἴσχιον ἂν εἴη, ἢ κακῷ ἢ ἀμφοτέροις· οὐ καὶ τοῦτο ἀνάγκη;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Πρῶτον μὲν δὴ σκεψώμεθα· ἆρα λύ*πῃ ὑπερ- C
βάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, καὶ ἀλγοῦσι μᾶλλον οἱ ἀδικοῦντες ἢ οἱ ἀδικούμενοι;

ΠΩΛ. Οὐδαμῶς, ὦ Σώκρατες, τοῦτό γε.

ΣΩ. Οὐκ ἄρα λύπῃ γε ὑπερέχει.

Pol. Ego ſane.

So. Nonne etiam voces omniaque ad muſiçam ſpectantia ſimiliter?

Pol. Ita.

So. Iam vero in legibus et inſtitutis quae pulchra ſunt nullam aliam ob cauſam, ut videtur, ſunt pulchra, niſi quod vel utilia ſunt vel iucunda vel utrumque.

Pol. Nullam aliam ob cauſam mihi quidem videntur.

So. Nonne etiam diſciplinarum pulchritudinis eadem eſt ratio?

Pol. Sane quidem, et pulchre profecto nunc definis, Socrate, voluptate et bono definiens pulchrum.

So. Nonne turpe contrario, dolore et malo?

Pol. Neceſſe eſt.

So. Quodſi igitur duorum pulchrorum alterum pulchrius eſt, aut alterutro horum aut utrisque ſuperans pulchrius eſt, aut voluptate aut utilitate aut utrisque.

Pol. Sane quidem.

So. Si vero duorum turpium alterum turpius eſt, aut dolore aut malo ſuperans turpius erit; annon neceſſe eſt?

Pol. Ita.

So. Iam, quaeſo, quomodo dictum eſt modo de iniuria facienda et accipienda? nonne dixti iniuriam accipere peius eſſe, iniuriam autem facere turpius?

Pol. Dixi vero.

So. Itaque, ſiquidem turpius iniuriam facere quam accipere, vel triſtius eſt et dolore ſuperans turpius erat, vel malo vel utroque; nonne hoc quoque neceſſe eſt?

Pol. Quidni?

So. Primum igitur ſpectemus: num dolore ſuperat iniuriam facere magisque dolent iniuſte facientes quam iniuriam accipientes?

Pol. Minime id quidem, Socrate.

So. Non igitur dolore quidem ſuperat.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν, εἰ μὴ λύπῃ, ἀμφοτέροις μὲν οὐκ ἂν ἔτι ὑπερβάλλοι.

ΠΩΛ. Οὐ φαίνεται.

ΣΩ. Οὐκοῦν τῷ ἑτέρῳ λείπεται.

ΠΩΛ. Ναί.

ΣΩ. Τῷ κακῷ.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὐκοῦν κακῷ ὑπερβάλλον τὸ ἀδικεῖν κάκιον ἂν εἴη τοῦ ἀδικεῖσθαι.

ΠΩΛ. Δῆλον δὴ * ὅτι. D

ΣΩ. Ἄλλο τι οὖν ὑπὸ μὲν τῶν πολλῶν ἀνθρώπων καὶ ὑπὸ σοῦ ὡμολογεῖτο ἡμῖν ἐν τῷ ἔμπροσθεν χρόνῳ αἴσχιον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Νῦν δέ γε κάκιον ἐφάνη.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Δέξαιο ἂν οὖν σὺ μᾶλλον τὸ κάκιον καὶ τὸ αἴσχιον ἀντὶ τοῦ ἧττον; Μὴ ὄκνει ἀποκρίνασθαι, ὦ Πῶλε (οὐδὲν γὰρ βλαβήσει), ἀλλὰ γενναίως τῷ λόγῳ ὥσπερ ἰατρῷ παρέχων ἀποκρίνου, καὶ * ἢ φαθὶ ἢ μὴ ἃ E ἐρωτῶ.

ΠΩΛ. Ἀλλ' οὐκ ἂν δεξαίμην, ὦ Σώκρατες.

ΣΩ. Ἄλλος δέ τις ἀνθρώπων;

ΠΩΛ. Οὔ μοι δοκεῖ κατά γε τοῦτον τὸν λόγον.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, ὅτι οὔτ' ἂν ἐγὼ οὔτ' ἂν σὺ οὔτ' ἄλλος οὐδεὶς ἀνθρώπων δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖσθαι· κάκιον γὰρ τυγχάνει ὄν.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ὁρᾷς οὖν, ὦ Πῶλε, ὁ ἔλεγχος παρὰ τὸν ἔλεγχον παραβαλλόμενος ὅτι οὐδὲν ἔοικεν, ἀλλὰ σοὶ μὲν οἱ ἄλλοι πάντες ὁμολογοῦσι πλὴν ἐμοῦ, ἐμοὶ δὲ σὺ ἐξαρκεῖς εἷς ὢν μόνος καὶ ὁμολογῶν καὶ μαρτυρῶν, * καὶ 476 ἐγὼ σὲ μόνον ἐπιψηφίζων τοὺς ἄλλους ἐῶ χαίρειν. Καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω· μετὰ τοῦτο δέ, περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν, σκεψώμεθα, τὸ ἀδικοῦντα

Pol. Nullo modo.

So. Itaque, fi dolore non fuperat, iam utroque non fuperabit.

Pol. Non videtur.

So. Reliquum eft igitur ut altero fuperet.

Pol. Ita.

So. Malo.

Pol. Patet.

So. Itaque, malo fi fuperat iniuriam facere, peius erit quam iniuriam accipere.

Pol. Haud dubium eft.

So. Nonne igitur a plerisque hominibus et a te conceffum eft nobis ante turpius effe iniuriam facere quam accipere?

Pol. Ita.

So. Nunc vero peius vifum eft.

Pol. Patet.

So. Num igitur tu malueris peius et turpius quam minus malum ac turpe? Ne verearo refpondere, Pole (nihil enim damni contrahes), fed ftrenue orationi tamquam medico te dedens refponde, et aut dic aut nega quae rogo.

Pol. Equidem non maluerim, Socrate.

So. An alius quis hominum?

Pol. Non mihi videtur ex hac quidem oratione.

So. Vera ergo dixi, neque me neque te neque alium quempiam hominum praeoptaturum effe iniuriam facere quam accipere; peius eft enim illud.

Pol. Apparet.

So. Vides igitur, Pole, refutationes inter fe comparatas nequaquam inter fe fimiles effe, fed tibi ceteros omnes concedere me excepto, mihi autem te unum folum fatis effe et concedentem et teftificantem, et me, te folum in fuffragium mittentem, ceteros miffos facere. Et hoc quidem nobis ita habeto; deinde vero, de quo fecundo loco ambigebamus, videamus, male factorum

διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστίν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾤμην. σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα ἆρα τὸ αὐτὸ καλεῖς;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Ἔχεις * οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστι, καθ' ὅσον δίκαια; καὶ διασκεψάμενος εἰπέ. B

ΠΩΛ. Ἀλλά μοι δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τίς τι ποιεῖ, ἀνάγκη τι εἶναι καὶ πάσχον ὑπὸ τούτου τοῦ ποιοῦντος;

ΠΩΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἆρα τοῦτο πάσχον ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον οἷον ποιεῖ τὸ ποιοῦν; λέγω δὲ τὸ τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι.

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ * τυπτόμενον τύπτεσθαι. C

ΠΩΛ. Ναί.

ΣΩ. Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστίν, οἷον ἂν τὸ τύπτον ποιῇ.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ κάει τις *), ἀνάγκη τι κάεσθαι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ εἰ σφόδρα γε κάει ἢ ἀλγεινῶς, οὕτω κάεσθαι τὸ καόμενον, ὡς ἂν τὸ κᾶον κάῃ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ τέμνει τι, ὁ αὐτὸς λόγος; τέμνεται γάρ τι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆ*μα τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει. D

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ξυλλήβδην δὴ ὅρα, εἰ ὁμολογεῖς ὃ ἄρτι ἔλε-

---

*) ἴσ. τι.

poenas dare num maximum ſit malorum, ut tu arbitrabaris, an maius ſit nullas dare, ut ego contra arbitrabar. conſideremus vero ita: poenas dare et iuſte caſtigari, ſi iniuſte feceris, num idem dicis?

Pol. Ego vero.

So. Potesne iam dicere, non pulchra eſſe omnia iuſta, quatenus iuſta ſint? age tecum reputa et dic.

Pol. Mihi ſane ita videtur, Socrate.

So. Perpende etiam hoc: num, ſi quis aliquid facit, neceſſe eſt aliquid eſſe etiam patiens ab hoc qui facit?

Pol. Mihi ſane videtur.

So. Et nonne hoc patitur quod faciens facit, et tale quale facit faciens? dico autem, ut exemplo utar, hoc: ſi quis percutit, neceſſe eſt aliquid percutiatur.

Pol. Neceſſe eſt.

So. Et ſi vehementer percutit vel celeriter is qui percutit, ita etiam quod percutitur percutiatur.

Pol. Ita.

So. Tale igitur patitur id quod percutitur, quale facit is qui percutit.

Pol. Sane quidem.

So. Nonne etiam ſi quid urit, neceſſe eſt aliquid uratur?

Pol. Quidni?

So. Et ſi vehementer urit vel acerbe, ita uratur quoque id quod uritur, quemadmodum videlicet urens urat?

Pol Sane quidem.

So. Nonne etiam ſi quid ſecat, eadem eſt ratio? ſecatur enim aliquid?

Pol. Ita.

So. Et ſi magna vel alta ſectio eſt vel acerba, tali ſectione ſecatur id quod ſecatur, quali ſecans ſecat.

Pol. Patet.

So. In univerſum igitur vide, num concedas id

γον περὶ πάντων· οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν.

ΠΩΛ. Ἀλλ' ὁμολογῶ.

ΣΩ. Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν;

ΠΩΛ. Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν.

ΣΩ. Οὐκοῦν ὑπό τινος ποιοῦντος;

ΠΩΛ. Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος.

ΣΩ. Ὁ δὲ ὀρθῶς κολάζων δικαίως * κολάζει; E

ΠΩΛ. Ναί.

ΣΩ. Δίκαια ποιῶν ἢ οὔ;

ΠΩΛ. Δίκαια.

ΣΩ. Οὐκοῦν ὁ κολαζόμενος δίκην διδοὺς δίκαια πάσχει;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει ὁ κολαζόμενος.

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν εἴπερ καλά, ἀγα*θά; ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα. 477

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ὠφελεῖται ἄρα.

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν; βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται;

ΠΩΛ. Εἰκός γε.

ΣΩ. Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς.

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρα οὖν τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ; Ὧδε δὲ σκόπει· ἐν χρημάτων * κατασκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἐνορᾷς ἢ πενίαν; B

ΠΩΛ. Οὔκ, ἀλλὰ πενίαν.

quod modo dixi de omnibus: qualecumque faciat faciens, tale patiens pati.

Pol. Concedo sane.

So. His iam concessis, poenas dare num pati aliquid est an facere?

Pol. Necessario, Socrate, pati.

So. Nonne ab aliquo faciente?

Pol. Quidni? et quidem a castigante.

So. Recte vero castigans iuste castigat?

Pol. Ita.

So. Iusta faciens necne?

Pol. Iusta.

So. Nonne qui castigatur poenas dans iusta patitur?

Pol. Apparet.

So. Iusta vero pulchra esse concessimus.

Pol. Sane quidem.

So. Horum ergo unus facit pulchra, alter vero patitur, is qui castigatur.

Pol. Vero.

So. Nonne si pulchra, bona? nam vel iucunda vel utilia.

Pol. Necesse est.

So. Bona igitur patitur qui poenas dat.

Pol. Patet.

So. Utilitatem ergo inde capit.

Pol. Ita.

So. Num hanc quam ego intelligo utilitatem? ut videlicet meliorem recipiat animum, siquidem iuste castigetur?

Pol. Consentaneum id quidem est.

So. Pravitate igitur animi liberatur qui poenas dat.

Pol. Ita.

So. Nonne igitur maximo liberatur malo? Ita vero perpende: in facultatum conditione num aliam hominis conspicis pravitatem praeter paupertatem?

Pol. Nullam aliam, nisi paupertatem.

ΣΩ. Τί δ' ἐν σώματος κατασκευῇ; κακίαν ἂν φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγεῖ τινὰ εἶναι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴ*ρηκας πονηρίας, πενίαν, νόσον, ἀδι- C
κίαν;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς οὖν τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ ξυλλήβδην ἡ τῆς ψυχῆς πονηρία;

ΠΩΛ. Πολύ γε.

ΣΩ. Εἰ δὲ αἰσχίστη, καὶ κακίστη;

ΠΩΛ. Πῶς, ὦ Σώκρατες, λέγεις;

ΣΩ. Ὡδί· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερα αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν.

ΠΩΛ. Μάλιστα.

ΣΩ. Αἴσχιστον δὲ ἀδικία καὶ ξύμπασα ψυχῆς πονηρία * νῦν δὴ ὡμολόγηται ἡμῖν. D

ΠΩΛ. Ὡμολόγηται γάρ.

ΣΩ. Οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστίν, ἢ βλάβῃ ἢ ἀμφότερα;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἆρ' οὖν ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀμαθῆ;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπὸ τούτων γε.

ΣΩ. Ὑπερφυεῖ τινὶ ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ

So. Quid vero in corporis conditione, pravitatem nonne dices imbecillitatem esse et morbum et deformitatem et quae talia sunt?

Pol. Ego vero.

So. Nonne etiam in animo improbitatem censes aliquam inesse?

Pol. Quî aliter?

So. Hanc vero nonne iniustitiam appellas et inscientiam et timiditatem et quae alia sunt id genus?

Pol. Prorsus ita appello.

So. Nonne facultatum, corporis et animi, quae tria sunt, tris nominasti pravitates, paupertatem, morbum, iniustitiam?

Pol. Ita.

So. Quae vero harum pravitatum turpissima? nonne iniustitia et in universum animi pravitas?

Pol. Longe quidem est turpissima.

So. Si vero turpissima, etiam pessima?

Pol. Quomodo, Socrate, istud dicis?

So. Ita: turpissimum quodque vel dolorem maximum afferendo vel damnum vel utrumque turpissimum est, ex iis quae concessimus supra.

Pol. Maxime.

So. Turpissimam autem esse iniustitiam et universam animi pravitatem modo concessimus.

Pol. Concessimus vero.

So. Nonne igitur haec vel acerbissima et propterea quod dolore superat turpissima est, vel propter damnum vel propter utrumque?

Pol. Necesse est.

So. Num vero maiorem facit dolorem paupertate et aegrotatione iniustum esse et incontinentem et timidum et inscium?

Pol. Non mihi videtur, Socrate, ex his quidem.

So. Mirum ergo quanto damno et malo incredibili

θαυμασίῳ ὑπερβάλλουσα τἄλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχι*στόν ἐστι πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε, ὡς ὁ σὸς E
λόγος.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ἀλλὰ μήν που τό γε μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων.

ΠΩΛ. Ναί.

ΣΩ. Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη τῆς ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς δὲ νόσου; οὐκ ἰατρική;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Τίς δὲ πονηρίας καὶ * ἀδικίας; Εἰ μὴ οὕτως 478
εὐπορεῖς, ὧδε σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα;

ΠΩΛ. Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες.

ΣΩ. Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολασταίνοντας;

ΠΩΛ. Παρὰ τοὺς δικαστάς. [λέγεις;]

ΣΩ. Οὐκοῦν δίκην δώσοντας;

ΠΩΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες;

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ * δὲ νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. B

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τί οὖν τούτων κάλλιστόν ἐστιν;

ΠΩΛ. Τίνων λέγεις;

ΣΩ. Χρηματιστικῆς, ἰατρικῆς, δίκης.

ΠΩΛ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη.

cetera ſuperans animi pravitas turpiſſima eſt omnium, quandoquidem dolore non ſuperat, ut tua eſt oratio.

Pol. Patet.

So. Iam vero, quod maximo damno ſuperat, maximum ſane malum erit omnium quae ſunt.

Pol. Ita.

So. Iniuſtitia ergo et incontinentia et reliquae animi pravitates maximum omnium ſunt malorum.

Pol. Patet.

So. Quae iam ars a paupertate vindicat? nonne ars quaeſtus faciendi?

Pol. Ita.

So. Quaenam a morbo? nonne medicina?

Pol. Neceſſe eſt.

So. Quae porro ab improbitate et iniuſtitia? Si ita tibi non eſt in promptu quod reſpondeas, ſic conſidera: quonam ducimus et ad quos eos qui aegroto ſunt corpore?

Pol. Ad medicos, Socrate.

So. Quo vero eos qui iniuſte faciunt et incontinentes ſunt?

Pol. Ad iudices.

So. Nonne ut poenas dent?

Pol. Aio.

So. Anne iuſtitiam quandam adhibentes caſtigant qui recte caſtigant?

Pol. Dubium non eſt.

So. Quaeſtus igitur faciendi ars a paupertate vindicat, medicina a morbo, et ſcientia iudiciaria ab incontinentia et iniuſtitia.

Pol. Apparet.

So. Quaenam harum pulcherrima eſt?

Pol. Quas dicis?

So. Quaeſtus faciendi artem, medicinam, ſcientiam iudicialem.

Pol. Longe praeſtat, Socrate, ſcientia iudicialis.

ΣΩ. Οὐκοῦν αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφέλειαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Ἀλλ' ὠφέλιμόν γε· ἢ γάρ;

* ΠΩΛ. Ναί. C

ΣΩ. Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, ὥςτε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιεῖ εἶναι.

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὗτος *) ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη ὁ ἰατρευόμενος, ἢ ὁ μηδὲ κάμνων ἀρχήν;

ΠΩΛ. Δῆλον ὅτι ὁ μηδὲ κάμνων.

ΣΩ. Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις.

ΠΩΛ. Ἔστι ταῦτα.

ΣΩ. Τί δέ; ἀθλιώτερος πότερος δυεῖν ἐχόντοιν * κακὸν εἴτ' ἐν σώματι εἴτ' ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ D ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ;

ΠΩΛ. Φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος.

ΣΩ. Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας;

ΠΩΛ. Ἦν γάρ.

ΣΩ. Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ, καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη.

ΠΩΛ. Ναί.

ΣΩ. Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων * κακίαν E ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη.

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Δεύτερος δὲ δήπου ὁ ἀπαλλαττόμενος.

ΠΩΛ. Ἔοικεν.

---

*) ἄλλ. οὕτως.

So. Nonne etiam aut voluptatem plurimam affert aut utilitatem aut utrumque, fiquidem pulcherrima eft?

Pol. Ita.

So. Num vero fanandum fe curare iucundum eft et gaudent qui fe fanandos curant?

Pol. Mihi quidem non ita videtur.

So. At utile fane eft, nonne?

Pol. Ita.

So. Magno enim malo liberatur, ut profit fustinere dolorem et ad fanitatem redire.

Pol. Quî aliter?

So. Num vero hicce, quod ad corpus fpectat, beatiffimus erit homo, qui fe fanandum curat, an is qui omnino non aegrotat?

Pol. Dubium non eft quin is qui ne aegrotet quidem.

So. Neque enim in hoc, ut videtur, fita eft vita beata, ut a malo vindicemur, fed ut illud omnino non habeamus.

Pol. Eft ita.

So. Quid vero? miferior uter eft duorum habentium malum five in corpore five in animo, is qui fe fanandum curat et vindicatur a malo, an is qui non fefe fanandum curat, fed habet?

Pol. Videtur mihi is qui fefe non curat fanandum.

So. Et nonne poenas dare maximo eft liberari malo, improbitate?

Pol. Ita.

So. Ad fanitatem enim id reducit et iuftiores efficit, medicinaque improbitatis eft fcientia iudicialis.

Pol. Etiam.

So. Beatiffimus eft igitur qui nullam habet pravitatem in animo, quoniam hoc maximum malorum reperitur.

Pol. Sine dubio id quidem.

So. Secundus vero eft qui vindicatur.

Pol. Patet.

ΣΩ. Οὗτος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς.

ΠΩΛ. Ναί.

ΣΩ. Κάκιστα ἄρα ζῇ ὁ ἔχων ἀδικίαν καὶ μὴ ἀπαλλαττόμενος.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν οὗτος τυγχάνει ὤν, ὃς ἂν τὰ μέγιστα ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε νουθετεῖσθαι * μήτε κολάζεσθαι μήτε δίκην διδόναι, 479
ὥςπερ σύ φης Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτορας καὶ δυνάστας;

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Σχεδὸν γάρ που οὗτοι, ὦ ἄριστε, τὸ αὐτὸ διαπεπραγμένοι εἰσίν, ὥςπερ ἂν εἴ τις τοῖς μεγίστοις νοσήμασι ξυνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι, φοβούμενος, ὡςπερανεὶ παῖς, τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι
*ἀλγεινόν· ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως; B

ΠΩΛ. Ἔμοιγε.

ΣΩ. Ἀγνοῶν γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ σώματος. κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν καὶ ἀγνοεῖν, ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ ξυνοικεῖν,
ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ· ὅθεν καὶ πᾶν * ποι- C
οῦσιν ὥςτε δίκην μὴ διδόναι μηδ' ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν. Εἰ δὲ ἡμεῖς ἀληθῆ ὡμολογήκαμεν, ὦ Πῶλε, ἆρ' αἰσθάνει τὰ ξυμβαίνοντα ἐκ τοῦ λόγου; ἢ βούλει ξυλλογισώμεθα αὐτά;

ΠΩΛ. Εἰ μὴ σοί γε ἄλλως δοκεῖ.

ΣΩ. Ἆρ' οὖν ξυμβαίνει μέγιστον κακὸν ἡ ἀδικία καὶ τὸ ἀδικεῖν;

ΠΩΛ. Φαίνεταί γε.

So. Et hic eſt qui monetur et increpatur et poenas dat.

Pol. Vero.

So. Peſſime ergo vivit qui habet pravitatem nec ab ea vindicatur.

Pol. Apparet.

So. Nonne hic eſt ipſe, qui iniuſtiſſime faciens utensque maxima iniuſtitia impetravit ut neque moneatur neque caſtigetur neque poena teneatur, quemadmodum tu ais Archelaum eſſe comparatum ceterosque tyrannos et rhetores et dominatores?

Pol. Patet.

So. Propemodum enim hi, mi optime, idem impetrarunt, ac ſi quis maximis morbis conflictans impetret, ut corporis peccatorum poenas non solvat medicis nec ſeſe ſanandum curet, metuens, ſicut puer, uſtionem et ſectionem, quod dolorem faciant; annon tibi quoque ita videtur?

Pol. Mihi vero.

So. Ignorat ſcilicet, ut perſpicitur, qualis ſit ſanitas virtusque corporis. atque, ut ex iis colligitur quae nunc conceſſimus, tale quid propemodum faciunt etiam qui ſcientiam iudicialem effugiunt, Pole: dolorem reſpiciunt, ad utilitatem vero caeci ſunt atque ignorant, quanto miſerius ſit corpore non ſano cum animo habitare haud ſano, ſed vitioſo et iniuſto et impio; unde etiam omni ſtudio id agunt, ut neque poenas dent nec liberentur maximo malo, et opes ſibi comparantes et amicos et facultatem dicendi maxime probabiliter. Quodſi nos vera conceſſimus, Pole, num intelligis quae conſequentia ſint orationi? an vis ea concludamus?

Pol. Sane quidem, niſi quid tibi videtur ſecus.

So. Nonne conſequitur maximum malum eſſe iniuſtitiam et iniuſte facere?

Pol. Videtur ſane.

ΣΩ. Καὶ * μὴν ἀπαλλαγή γε ἐφάνη τούτου τοῦ κακοῦ τὸ δίκην διδόναι. D

ΠΩΛ. Κινδυνεύει.

ΣΩ. Τὸ δέ γε μὴ διδόναι ἐμμονὴ τοῦ κακοῦ.

ΠΩΛ. Ναί.

ΣΩ. Δεύτερον ἄρα ἐστὶ τῶν κακῶν μεγέθει τὸ ἀδικεῖν, τὸ δὲ ἀδικοῦντα μὴ διδόναι δίκην πάντων μέγιστόν τε καὶ πρῶτον κακῶν πέφυκεν.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ἆρ' οὖν οὐ περὶ τούτου, ὦ φίλε, ἠμφισβητήσαμεν, σὺ μὲν τὸν Ἀρχέλαον εὐδαιμονίζων τὸν τὰ μέγιστα ἀδικοῦντα καὶ δίκην οὐδεμίαν διδόντα, ἐγὼ δὲ τοὐν-
*αντίον οἰόμενος, εἴτ' Ἀρχέλαος εἴτ' ἄλλος ἀνθρώπων E
ὁστισοῦν μὴ δίδωσι δίκην ἀδικῶν, τούτῳ προσήκειν ἀθλίῳ εἶναι διαφερόντως τῶν ἄλλων ἀνθρώπων, καὶ ἀεὶ τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀθλιώτερον εἶναι καὶ τὸν μὴ διδόντα δίκην τοῦ διδόντος; Οὐ ταῦτ' ἦν τὰ ὑπ' ἐμοῦ λεγόμενα;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν ἀποδέδεικται ὅτι ἀληθῆ ἐλέγετο;

ΠΩΛ. Φαίνεται.

*ΣΩ. Εἶεν, εἰ οὖν δὴ ταῦτα ἀληθῆ, ὦ Πῶλε, τίς 480
ἡ μεγάλη χρεία ἐστὶ τῆς ῥητορικῆς; Δεῖ μὲν γὰρ δὴ ἐκ τῶν νῦν ὡμολογημένων αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν, ὅπως μὴ ἀδικήσει, ὡς ἱκανὸν κακὸν ἕξοντα· οὐ γάρ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἐὰν δέ γε ἀδικήσῃ ἢ αὐτὸς ἢ ἄλλος τις ὧν ἂν κήδηται, αὐτὸν ἑκόντα ἰέναι ἐκεῖσε, ὅπου ὡς τάχιστα δώσει δίκην, παρὰ τὸν δικαστήν, ὥσπερ παρὰ τὸν ἰατρόν, σπεύδοντα ὅπως μὴ ἐγχρονισθὲν τὸ * νόσημα τῆς ἀδικίας ὕπου- B
λον τὴν ψυχὴν ποιήσει καὶ ἀνίατον· ἢ πῶς λέγομεν *), ὦ Πῶλε, εἴπερ τὰ πρότερον μένει ἡμῖν ὁμολογήματα;

---

*) ἄλλ. λέγωμεν.

So. Iam vero liberationem apparuit huius mali esse poenas dare.

Pol. Ita fere est.

So. Poenas autem nullas dare esse in malo perse verare.

Pol. Ita.

So. Secundum igitur malorum, si ad magnitudinem spectas, est iniuste facere, iniuste autem factorum nullas dare poenas omnium maximum et primum malorum est.

Pol. Patet.

So. Nonne de hoc, o amice, ambigebamus, tu quidem Archelaum ducens beatum iniustissime facientem nullasque poenas dantem, ego contra existimans, sive Archelaus sive alius quispiam hominum poenas non daret iniuste factorum, hunc consentaneum esse miserrimum fore omnium hominum, et iniuste facientem quemque eo, qui iniuriam acciperet, miseriorem esse poenasque non dantem eo, qui daret. Nonne haec sunt a me dicta?

Pol. Vero.

So. Et demonstratum est me vera dixisse?

Pol. Apparet.

So. Age dum, si haec nimirum vera sunt, Pole, quaenam erit magna utilitas rhetoricae? Oportet videlicet ex iis quae nunc concessimus maxime quemque cavere ne iniuste faciat, quia satis magnum habebit malum; nonne?

Pol. Sane quidem.

So. Si vero iniuste fecerit vel ipse vel alius quis eorum, de quibus ipsi curae est, ultro ire illuc, ubi quam primum poenas sit daturus, ad iudicem, tamquam ad medicum, operam dantem ne inveteratus iniustitiae morbus exulceratum animum efficiat atque insanabilem; an quomodo iudicamus, Pole, siquidem in iis quae prius inter nos convenerunt manemus? nonne

οὐκ ἀνάγκη ταῦτα ἐκείνοις οὕτω μὲν ξυμφωνεῖν, ἄλλως δὲ μή;

ΠΩΛ. Τί γὰρ δὴ φῶμεν, ὦ Σώκρατες;

ΣΩ. Ἐπὶ μὲν ἄρα τὸ ἀπολογεῖσθαι ὑπὲρ τῆς ἀδικίας τῆς αὑτοῦ ἢ γονέων ἢ ἑταίρων ἢ παίδων ἢ πατρίδος ἀδικούσης οὐ χρήσιμος οὐδὲν ἡ ῥητορικὴ ἡμῖν, ὦ Πῶλε, εἰ μὴ εἴ τις ὑπολάβοι ἐπὶ τοὐ*ναντίον, κατηγορεῖν δεῖν μά- C λιστα μὲν ἑαυτοῦ, ἔπειτα δὲ καὶ τῶν οἰκείων καὶ τῶν ἄλλων, ὃς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν, καὶ μὴ ἀποκρύπτεσθαι, ἀλλ' εἰς τὸ φανερὸν ἄγειν τὸ ἀδίκημα, ἵνα δῷ δίκην καὶ ὑγιὴς γένηται, ἀναγκάζειν τε καὶ αὑτὸν καὶ τοὺς ἄλλους μὴ ἀποδειλιᾶν; ἀλλὰ παρέχειν μύσαντα καὶ ἀνδρείως, ὥσπερ τέμνειν καὶ κάειν ἰατρῷ, τὸ ἀγαθὸν καὶ καλὸν διώκοντα, μὴ ὑπολογιζόμενον τὸ ἀλγεινόν, ἐὰν μέν γε πληγῶν ἄξια ἠ*δικηκὼς ᾖ, τύπτειν παρέχοντα, ἐὰν δὲ δεσμοῦ, D δεῖν, ἐὰν δὲ ζημίας, ἀποτίνοντα, ἐὰν δὲ φυγῆς, φεύγοντα, ἐὰν δὲ θανάτου, ἀποθνήσκοντα, αὐτὸν πρῶτον ὄντα κατήγορον καὶ αὑτοῦ καὶ τῶν ἄλλων οἰκείων, καὶ μὴ φειδόμενον, ἀλλ' ἐπὶ τούτῳ χρώμενον τῇ ῥητορικῇ, ὅπως ἂν καταδήλων τῶν ἀδικημάτων γιγνομένων ἀπαλλάττωνται τοῦ μεγίστου κακοῦ, ἀδικίας. Φῶμεν οὕτως ἢ μὴ φῶμεν, ὦ Πῶλε;

ΠΩΛ. Ἄτοπα μέν, ὦ Σώ*κρατες, ἔμοιγε δοκεῖ, τοῖς E μέντοι ἔμπροσθεν ἴσως σοι ὁμολογεῖται.

ΣΩ. Οὐκοῦν ἢ κἀκεῖνα λυτέον ἢ τάδε ἀνάγκη ξυμβαίνειν;

ΠΩΛ. Ναί, τοῦτό γε οὕτως ἔχει.

ΣΩ. Τοὐναντίον δέ γε αὖ μεταβαλόντα εἰ ἄρα δεῖ τινὰ κακῶς ποιεῖν, εἴτ' ἐχθρὸν εἴτε ὁντινοῦν, ἐὰν μόνον μὴ αὐτὸς ἀδικῆται ὑπὸ τοῦ ἐχθροῦ· τοῦτο μὲν γὰρ εὐλαβητέον· ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός, παντὶ τρόπῳ παρασκευαστέον καὶ πράττοντα καὶ λέγοντα,* ὅπως μὴ δῷ δίκην 481 μηδὲ ἔλθῃ παρὰ τὸν δικαστήν· ἐὰν δὲ ἔλθῃ, μηχανητέον ὅπως ἂν διαφύγῃ καὶ μὴ δῷ δίκην ὁ ἐχθρός, ἀλλ' ἐάν τε χρυσίον ἡρπακὼς ᾖ πολύ, μὴ ἀποδιδῷ τοῦτο, ἀλλ' ἔχων ἀναλίσκηται καὶ εἰς ἑαυτὸν καὶ εἰς τοὺς ἑαυτοῦ ἀδι-

neceſſario haec cum illis ita concinunt, aliter vero nullo pacto?

Pol. Qui aliter iudicemus, Socrate?

So. Ad defendendam igitur iniuriam vel ſuam vel parentum vel amicorum vel liberorum vel patriae iniuſte facientis minime utilis eſt rhetorica, Pole, niſi quis arbitretur ad contrarium, oportere videlicet quemvis accuſare potiſſimum ſe ipſum, deinde etiam familiaris ceterosque, quicumque amicorum iniuſte fecerit, nec occultare, ſed in lucem proferre malefactum, ut poenas det ſanusque exſiſtat, cogere etiam et ceteros et ſe ipſum, ut non ignavum ſe praebeat, ſed ſeſe dedat clauſis oculis ac fortiter, quaſi ad ſecandum et urendum medico, bonum ac pulchrum ſectans, nullam vero rationem habens doloris: ut ſi quid fecerit plagis digni, ad percutiendum ſe dedat, ſin vinculis, ad vinciendum, ſin poena, ad ſolvendam hanc, ſin exſilio, ad exſulandum, ſin morte, ad moriendum, ipſe primus accuſator et ſui ipſius et ceterorum familiarium, nec parcens, ſed ad hoc utens rhetorica, ut patefactis criminibus liberetur maximo malo, iniuſtitia. Dicamus ita, annon, Pole?

Pol. Abſurda quidem, Socrate, mihi haec videntur, praegreſſis tamen haud dubie tibi conveniunt.

So. Itaque vel illa evertenda ſunt vel haec conſequantur neceſſe eſt.

Pol. Sane ſic ſe habet.

So. Contra ſi oportet alicui te male facere ſive inimico ſive cuipiam, modo ne is qui faciat ipſe iniuriam accipiat ab inimico (hoc enim cavendum), vel ſi alii iniuriam infert inimicus, omni modo efficiendum eſt et agendo et dicendo, ut ne poenas det nec veniat ad iudicem; ſin venerit, elaborandum quo effugiat nec poenas det inimicus, verum, ſi auri rapuerit multum, ut non reddat hoc, ſed retineat et inſumat quum in ſe tum

κως καὶ ἀθλίως, ἐάν τε αὖ θανάτου ἄξια ἠδικηκὼς ᾖ, ὅπως μὴ ἀποθανεῖται μάλιστα μὲν μηδέποτε, ἀλλ' ἀθάνατος ἔσται πονηρὸς ὤν, εἰ δὲ μή, * ὅπως ὡς πλεῖστον χρόνον βιώ- B
σεται τοιοῦτος ὤν. Ἐπὶ τὰ τοιαῦτα ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ἡ ῥητορικὴ χρήσιμος εἶναι, ἐπεὶ τῷ γε μὴ μέλλοντι ἀδικεῖν οὐ μεγάλη τίς μοι δοκεῖ ἡ χρεία αὐτῆς εἶναι, εἰ δὴ καὶ ἔστι τις χρεία, ὡς ἔν γε τοῖς πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα.

ΚΑΛ. Εἰπέ μοι, ὦ Χαιρεφῶν, σπουδάζει ταῦτα Σωκράτης ἢ παίζει;

ΧΑΙ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Καλλίκλεις, ὑπερφυῶς σπουδάζειν· οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρωτᾶν.

* ΚΑΛ. Νὴ τοὺς θεούς, ἀλλ' ἐπιθυμῶ. Εἰπέ μοι, ὦ C
Σώκρατες, πότερόν σε φῶμεν νυνὶ σπουδάζοντα ἢ παίζοντα; εἰ μὲν γὰρ σπουδάζεις τε καὶ τυγχάνει ταῦτα ἀληθῆ ὄντα ἃ λέγεις, ἄλλο τι ἡμῶν ὁ βίος ἀνατετραμμένος ἂν εἴη τῶν ἀνθρώπων καὶ πάντα τἀναντία πράττομεν, ὡς ἔοικεν, ἢ ἃ δεῖ;

ΣΩ. Ὦ Καλλίκλεις, εἰ μή τι ἦν τοῖς ἀνθρώποις πάθος, τοῖς μὲν ἄλλο τι, τοῖς δὲ ἄλλο τι, τὸ αὐτό, ἀλλά τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος * ἢ οἱ ἄλλοι, οὐκ ἂν ἦν ῥᾴ- D
διον ἐνδείξασθαι τῷ ἑτέρῳ τὸ ἑαυτοῦ πάθημα. λέγω δ' ἐννοήσας ὅτι ἐγώ τε καὶ σὺ νῦν τυγχάνομεν ταὐτόν τι πεπονθότε, ἐρῶντε δύο ὄντε δυεῖν ἑκάτερος, ἐγὼ μὲν Ἀλκιβιάδου τε τοῦ Κλεινίου καὶ φιλοσοφίας, σὺ δὲ τοῦ τε Ἀθηναίων δήμου καὶ τοῦ Πυριλάμπους. αἰσθάνομαι οὖν σου ἑκάστοτε, καίπερ ὄντος δεινοῦ, ὅ τι ἂν ἀντιφῇ *) σου τὰ παιδικὰ καὶ ὅπως ἂν φῇ ἔχειν, οὐ δυναμένου ἀντι*λέγειν, ἀλλ' E
ἄνω καὶ κάτω μεταβαλλομένου. ἔν τε γὰρ τῇ ἐκκλησίᾳ, ἐάν τι σοῦ λέγοντος ὁ δῆμος ὁ Ἀθηναίων μὴ φῇ οὕτως ἔχειν, μεταβαλλόμενος λέγεις ἃ ἐκεῖνος βούλεται, καὶ πρὸς τὸν Πυριλάμπους νεανίαν τὸν καλὸν τοῦτον τοιαῦτα ἕτερα πέπονθας· τοῖς γὰρ τῶν παιδικῶν βουλεύμασί τε καὶ λόγοις οὐχ οἷός τ' εἶ ἐναντιοῦσθαι· ὥστε, εἴ τίς σου λέγοντος ἑκάστοτε ἃ διὰ τούτους λέγεις θαυμάζοι

*) γρ. ὅτι ὅπως ἂν ἀντιφῇ. ἄλλ. ὅτι ὁπόσ' ἂν φῇ.

in ſuos iniuſte atque impie, ſin iniuriam morte dignam fecerit, non moriatur, potiſſimum quidem numquam, ita ut immortalis ſit improbus ille, ſin minus, ut quam plurimum temporis vivat ita comparatus. Ad talia mihi quidem videtur, Pole, rhetorica utilis eſſe; huic enim, cui iniuſte facere non eſt propoſitum, haud magna ſane mihi videtur eius utilitas eſſe, ſi modo eſt ulla utilitas, quum in praegreſſis quidem nulla omnino apparuerit.

Cal. Dic mihi, Chaerephon, ſerione haec loquitur Socrates an iocatur?

Chaer. Mihi quidem videtur, Callicle, mirum quam ſerio loqui; optimum tamen erit ipſum interrogare.

Cal. Immo, per deos, aveo. Dic mihi, Socrate, utrum te exiſtimemus nunc ſeria dicere an iocari? nam ſi ſeria dicis et haec vera ſunt quae ponis, nonne nobis everſa erit vita hominum et omnia, ut patet, contraria facimus, atque oportet?

So. O Callicles, niſi communis eſſet hominibus, aliis alia, affectio, ſed quisquam noſtrum diverſam quandam haberet a ceteris, haud facile eſſet oſtendere alteri ſuam ipſius affectionem. dico autem hoc quoniam animadverti, me et te nunc ſimiliter affectos eſſe: duo enim ſumus duosque uterque amat, ego quidem Alcibiadem Cliniae filium et philoſophiam, tu vero et Athenienſium et Pyrilampis Demum. iam novi te, licet acri ſis ingenio, quodcumque contra dicant deliciae tuae et quomodocumque dicant aliquid ſe habere, numquam poſſe obloqui, ſed ſurſum et deorſum te convertere. etenim in concione ſi quid te dicente populus Athenienſis negat ſic ſe habere, mutata ſententia dicis, quae ille vult, et erga Pyrilampis iuvenem formoſum illum pariter affectus es; deliciarum enim tuarum conſiliis ac ſermonibus non potes facere ut adverſere; quocirca ſi quis, te quicquid dicis propter hos dicente, miretur

ὡς ἄτοπά ἐστιν, ἴσως εἴποις ἂν αὐτῷ, εἰ βούλοιο τἀληθῆ λέγειν, ὅτι, εἰ μή τις παύσει * τὰ σὰ παιδικὰ τούτων τῶν λόγων, 482 οὐδὲ σὺ παύσει ποτὲ ταῦτα λέγων. Νόμιζε τοίνυν καὶ παρ' ἐμοῦ χρῆναι ἕτερα τοιαῦτα ἀκούειν, καὶ μὴ θαύμαζε ὅτι ἐγὼ ταῦτα λέγω, ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν. λέγει γάρ, ὦ φίλε ἑταῖρε, ἀεὶ ἃ νῦν ἐμοῦ ἀκούεις, καί μοί ἐστι τῶν ἑτέρων παιδικῶν πολὺ ἧττον ἔμπληκτος· ὁ μὲν γὰρ Κλεινίειος οὗτος ἄλλοτε ἄλλων ἐστὶ λόγων, ἡ δὲ φιλοσοφία ἀεὶ τῶν αὐτῶν. λέγει δὲ ἃ σὺ νῦν θαυμάζεις, * παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις. ἢ B οὖν ἐκείνην ἐξέλεγξον, ὅπερ ἄρτι ἔλεγον, ὡς οὐ τὸ ἀδικεῖν ἐστὶ καὶ ἀδικοῦντα δίκην μὴ διδόναι ἁπάντων ἔσχατον κακῶν, ἤ, εἰ τοῦτο ἐάσεις ἀνέλεγκτον, μὰ τὸν κύνα τὸν Αἰγυπτίων θεὸν οὔ σοι ὁμολογήσει Καλλικλῆς, ὦ Καλλίκλεις, ἀλλὰ διαφωνήσει ἐν ἅπαντι τῷ βίῳ. καίτοι ἔγωγε οἶμαι, ὦ βέλτιστε, καὶ τὴν λύραν μοι κρεῖττον εἶναι ἀναρμοστεῖν τε καὶ διαφωνεῖν καὶ χορὸν ᾧ χορηγοίην, καὶ πλείστους ἀνθρώπους * μὴ ὁμολογεῖν μοι, ἀλλ' ἐναντία C λέγειν, μᾶλλον ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀξύμφωνον εἶναι καὶ ἐναντία λέγειν.

ΚΑΛ. Ὦ Σώκρατες, δοκεῖς μοι νεανιεύεσθαι ἐν τοῖς λόγοις ὡς ἀληθῶς δημηγόρος ὤν, καὶ νῦν ταῦτα δημηγορεῖς ταὐτὸν παθόντος Πώλου πάθος, ὅπερ Γοργίου κατηγόρει πρὸς σὲ παθεῖν. ἔφη γάρ που Γοργίαν ἐρωτώμενον ὑπὸ σοῦ, ἐὰν ἀφίκηται παρ' αὐτὸν μὴ ἐπιστάμενος τὰ δίκαια ὁ τὴν ῥητορικὴν βουλόμενος μαθεῖν, * εἰ διδάξοι αὐ- D τὸν ὁ Γοργίας, αἰσχυνθῆναι αὐτὸν καὶ φάναι διδάξειν διὰ τὸ ἔθος τῶν ἀνθρώπων, ὅτι ἀγανακτοῖεν ἂν εἴ τις μὴ φαίη· διὰ δὴ ταύτην τὴν ὁμολογίαν ἀναγκασθῆναι ἐναντία αὐτὸν αὑτῷ εἰπεῖν, σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾶν· καί σου κατεγέλα, ὥς γέ μοι δοκεῖν, ὀρθῶς τότε. νῦν δὲ πάλιν αὐτὸς ταὐτὸν τοῦτο ἔπαθε· καὶ ἔγωγε κατ' αὐτὸ τοῦτο οὐκ ἄγαμαι Πῶλον, ὅτι σοι ξυνεχώρησε τὸ ἀδικεῖν αἴσχιον εἶναι τοῦ ἀδικεῖσθαι· ἐκ ταύτης

quam abſurdum hoc ſit, fortaſſe reponas ipſi, ſi velis vera dicere, niſi quis fecerit ut deliciae tuae has orationes deſinant, nec te deſiturum umquam eſſe haec dicere. Exiſtimato igitur fieri non poſſe quin a me quoque eadem audias, et ne mirere me haec tibi dicere, ſed fac ut philoſophia, meae deliciae, deſinat haec dicere. dicit enim, o care amice, ſemper quae nunc a me audis, et mihi eſt alteris deliciis meis multo minus inconſtans; Clinieus enim ille alias aliarum eſt orationum, philoſophia contra ſemper earundem. dicit autem quae tu nunc admiraris; interfuiſti enim ipſe dictis. aut igitur illam redargue probans non eſſe, id quod modo dixi, iniuſte facere iniuſteque factorum poenas nullas dare omnium extremum malorum, aut, ſi hoc miſeris redarguere, per canem Aegyptiorum deum non concinet tecum Callicles, mi Callicle, ſed discrepabit totam per vitam. quamquam equidem arbitror, o praeſtantiſſime, optabilius eſſe ut et lyra non concinat, ſed discrepet, et chorus, cui praepoſitus ſim, plurimique homines non conſentiant mecum, ſed contraria dicant, potius quam ut ego, qui unus ſim, cum memet ipſo discrepem et contraria dicam.

Cal. O Socrate, videris mihi te iactare in orationibus revera concionans, et nunc haec concionaris, quum idem acciderit Polo, quod Gorgiae ille obiecit per te accidiſſe. dicebat enim Gorgiam a te rogatum, num, ſi quis iuſtorum inſcius ad ipſum veniret rhetoricam cupiens diſcere, hunc docturus eſſet, pudore adductum dixiſſe, ſe docturum eſſe illum, propter hominum conſuetudinem, quod ſcilicet indignarentur, ſi quis illud negaret; hanc igitur propter conceſſionem coactum eſſe ſecum ipſum pugnare, te vero in hoc delectari, atque te deridebat, ut quidem mihi videtur, iure tum. nunc autem viciſſim ei idem illud accidit; atque ego in hoc ipſo non laudo Polum, quod tibi conceſſit iniuriam facere turpius eſſe quam accipere; per hanc

γὰρ * αὖ τῆς ὁμολογίας αὐτὸς ὑπὸ σοῦ ξυμποδισθεὶς ἐν τοῖς λό- E
γοις ἐπεστομίσθη, αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι,
ὦ Σώκρατες, εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, φά-
σκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ
δέ· ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντία ἀλλήλοις ἐστίν, ἥ τε φύσις
καὶ ὁ νόμος. ἐὰν οὖν τις αἰσχύνηται καὶ μὴ τολμᾷ * λέγειν ἅπερ 483
νοεῖ, ἀναγκάζεται ἐναντία λέγειν. ὃ δὴ καὶ σὺ τοῦτο τὸ σοφὸν
κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ νό-
μον λέγῃ, κατὰ φύσιν ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ
τοῦ νόμου. ὥςπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ
ἀδικεῖσθαι, Πώλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος σὺ τὸν νό-
μον ἐδιώκαθες κατὰ φύσιν *). φύσει μὲν γὰρ πᾶν αἴσχιόν
ἐστιν ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι **), νόμῳ δὲ τὸ ἀδικεῖν·
οὐδὲ γὰρ ἀνδρὸς τοῦτό * γ' ἐστὶ τὸ πάθημα τὸ ἀδικεῖσθαι, ἀλλ' B
ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν, ὅςτις ἀδι-
κούμενος καὶ προπηλακιζόμενος μὴ οἷός τ' ἐστὶν αὐτὸς αὑτῷ
βοηθεῖν μηδὲ ἄλλῳ οὗ ἂν κήδηται. ἀλλ', οἶμαι, οἱ τιθέμενοι
τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποι εἰσὶ καὶ οἱ πολλοί. πρὸς
αὑτοὺς οὖν καὶ τὸ αὑτοῖς ξυμφέρον τούς τε νόμους τίθενται
καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους * ψέγουσιν, ἐκ- C
φοβοῦντές τε τοὺς ἐῤῥωμενεστέρους τῶν ἀνθρώπων καὶ δυνα-
τοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν
ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστι τὸ ἀδι-
κεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γάρ, οἶμαι,
αὐτοί, ἂν τὸ ἴσον ἔχωσι, φαυλότεροι ὄντες. Διὰ ταῦτα δὴ
νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται τὸ πλέον ζητεῖν
ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶ-
μαι, φύσις * αὐτὴ ἀποφαίνει αὖ, ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω D
τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατω-
τέρου· δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν
τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πό-
λεσι καὶ τοῖς γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν
κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ

*) ἴσ. τὸ κατὰ φύσιν αἴσχιον λέγοντος σὺ τὸν νόμον ἐδιώκαθες.

**) ἴσ. οἷον τὸ ἀδικεῖσθαι.

enim itidem concessionem ipse a te irretitus orationibus compressus est, verens quae sentiebat dicere. tu nimirum, Socrate, ad huiusmodi perducis molesta et concionalia, dicens veritatem te sectari, quae natura non sunt pulchra, sed lege; nam plerumque haec contraria inter se sunt, natura et lex. quodsi veretur aliquis nec audet dicere quae sentit, cogitur secum ipse pugnare. quod quidem artificium illud tu perspectum habens premis alterum in sermone, si quis dicat ad legem spectans, furtim interrogans ea quae ad naturam pertinent, sin ad naturam, ea quae ad legem. velut in hac quaestione de iniuria facienda et accipienda, quum Polus id quod naturâ turpius esset diceret, tu legem persequebare; naturâ enim omne turpius est quod etiam peius est, velut iniuriam accipere, lege vero iniuriam facere; non enim viri est hoc pati, iniuriam accipere, sed servi fere, cui praestat mori quam vivere, quippe qui iniuriam accipiens et contumelia vexatus neque sibi ipsi possit auxiliari neque alteri de quo curae ipsi sit. at, opinor, qui imponunt leges, imbecilli sunt homines ac volgus. sua igitur causa et propter suam ipsi utilitatem leges constituunt et laudando extollunt vituperandoque deprimunt, et perterrentes robustiorîs homines plusque acquirere valentîs, ne ipsis plus appetant, dicunt turpe et iniustum esse plus appetere et hoc esse iniuste facere, plus aliis habere cupere; contenti enim sunt, opinor, si aequale habent, quum sint viliores. Propterea igitur lege quidem hoc iniustum et turpe dicitur cupere plus habere multitudine, et iniuste facere id vocant, ipsa vero, opinor, natura demonstrat contra iustum esse meliorem peiore plus habere et potentiorem impotentiore; atque patet hoc passim sic se habere, et tum apud animalia in universum tum praesertim in totis hominum civitatibus ac generibus perspicitur iustum hoc decretum esse, ut superior inferiori imperet plusque habeat. nam quo-

δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν ἢ ὁ πα-
τὴρ* αὐτοῦ ἐπὶ Σκύθας; ἢ ἄλλα μυρία ἄν τις ἔχοι τοιαῦτα λέ- E
γειν. ἀλλ', οἶμαι, οὗτοι κατὰ φύσιν [τὴν τοῦ δικαίου] ταῦ-
τα πράττουσι, καὶ ναὶ μὰ Δία κατὰ νόμον γε τὸν τῆς φύ-
σεως, οὐ μέντοι ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς τιθέμεθα πλάτ-
τοντες, τοὺς βελτίστους καὶ ἐῤῥωμενεστάτους ἡμῶν αὐτῶν ἐκ
νέων λαμβάνοντες ὥςπερ λέοντας, καὶ κατεπᾴδοντές τε καὶ γοη-
τεύοντες καταδουλούμεθα, * λέγοντες ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ 484
τοῦτό ἐστι τὸ καλὸν καὶ τὸ δίκαιον. ἐὰν δέ γε, οἶμαι, φύσιν
ἱκανὴν γένηται ἔχων ἀνήρ, πάντα ταῦτα ἀποσεισάμενος καὶ
διαῤῥήξας καὶ διαφυγὼν καὶ καταπατήσας τὰ ἡμέτερα γράμμα-
τα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς καὶ νόμους τοὺς παρὰ φύ-
σιν ἅπαντας, ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέτερος ὁ δοῦλος,
καὶ ἐνταῦθα ἐξέλαμψε τὸ τῆς φύ*σεως δίκαιον. Δοκεῖ δέ μοι B
καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ
λέγει ὅτι Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ
ἀθανάτων· οὗτος δὲ δή, φησίν, ἄγει βιαίως τὸ δικαι-
ότατον *) ὑπερτάτᾳ χειρί· τεκμαίρομαι ἔργοι-
σιν Ἡρακλέος, ἐπεὶ ἀπριάτας — λέγει οὕτω πως (τὸ
γὰρ ᾆσμα οὐκ ἐπίσταμαι), λέγει δ' ὅτι οὔτε πριάμενος οὔτε
δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς, ὡς τούτου ὄντος τοῦ
δικαίου φύσει, καὶ * βοῦς καὶ τἄλλα κτήματα εἶναι πάντα τοῦ C
βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων.
Τὸ μὲν οὖν ἀληθὲς οὕτως ἔχει, γνώσει δ', ἐὰν ἐπὶ τὰ μείζω ἔλ-
θῃς ἐάσας ἤδη φιλοσοφίαν. Φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώ-
κρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν
δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώ-
πων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ καὶ πόῤῥω τῆς ἡλικίας φι-
λοσοφῇ, ἀνάγκη πάντων ἄπει*ρον γεγονέναι ἐστίν, ὧν χρὴ ἔμ- D
πειρον εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν καὶ εὐδόκιμον ἔσε-
σθαι ἄνδρα. καὶ γὰρ τῶν νόμων ἄπειροι γίγνονται τῶν κα-
τὰ τὴν πόλιν καὶ τῶν λόγων, οἷς δεῖ χρώμενον ὁμιλεῖν
ἐν τοῖς ξυμβολαίοις τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημο-
σίᾳ, καὶ τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων

---

*) ἴσ. ἀθανάτων φύσει ἄγει δικαιῶν τὸ βιαιότατον;

nam iure usus Xerxes Graeciae bellum intulit vel eius pater Scythis? et alia innumerabilia possit quis id genus memorare. at, opinor, hi secundum naturam haec faciunt et hercle ex lege naturae, nequaquam ex illa, quam constituentes fingimus optimos validissimosque nostrûm, a teneris unguiculis eos capientes sicut leones, et incantando praestigiisque decipiendo sub iugum servile mittimus, dicentes aequale oportere appeti et hoc esse pulchrum atque iustum. si vero, opinor, natura satis valida instructus nascitur vir, illico haec omnia excutiens et perfringens et effugiens et conculcans nostra decreta et veneficia et cantiones et leges naturae adversantis cunctas, assurgens se exhibet dominum nostrum, quum servus esset, et hic exsplendescit ius naturae. Videtur mihi etiam Pindarus quae ego dico declarare in carmine in quo dicit: *Lex, omnium regina mortalium atque immortalium, naturâ decernens abigit violentissime suprema manu; colligo ex operibus Herculis, quum non emptos* — dicit ita fere (carmen enim memoria non teneo), significat vero, illum nec emptos nec a Geryone donatos abegisse boves; hoc enim esse naturâ iustum, et boves ceteraque bona peiorum atque inferiorum omnia esse melioris ac superioris. Verum igitur sic se habet, et cognosces, si ad maiora aggressus eris missa tandem philosophia. Philosophia enim, Socrate, est illa quidem lepida, si quis eam modice attingit in iuventute, sin ultra quam opus est ei studet, pernicies est hominum. etenim etiamsi optima sit indole, tamen, si ultra iuventutem philosophatur, necesse est omnium imperitus exsistat, quorum oportet peritum esse, qui honestus et bonus et spectatus vir est futurus. nam et legum imperiti exsistunt in civitate constitutarum et orationum, quibus uti debet is qui in rebus contrahendis cum hominibus versatur tam privatim quam publice, et voluptatum et cupiditatum humanarum et

καὶ ξυλλήβδην τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν ἔλθωσιν εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν, καταγέλαστοι γί*γνονται, ὥσπερ γε, οἶμαι, οἱ πολιτικοί, ἐπειδὰν αὖ εἰς E
τὰς ὑμετέρας διατριβὰς ἔλθωσι καὶ τοὺς λόγους, καταγέλαστοί εἰσι. ξυμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου, λαμπρός τ' ἐστιν ἕκαστος ἐν τούτῳ,

κἀπὶ τοῦτ' ἐπείγεται,
Νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
Ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν·

*ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ τοῦτο, τὸ 485
δ' ἕτερον ἐπαινεῖ, εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως αὐτὸς ἑαυτὸν ἐπαινεῖν. Ἀλλ', οἶμαι, τὸ ὀρθότατόν ἐστιν ἀμφοτέρων μετασχεῖν· φιλοσοφίας μέν, ὅσον παιδείας χάριν, καλὸν μετέχειν, καὶ οὐκ αἰσχρὸν μειρακίῳ ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτερος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον, ὦ Σώκρατες, τὸ χρῆμα γίγνεται, καὶ ἔγωγε ὁμοιότατον πάσχω
*πρὸς τοὺς φιλοσοφοῦντας ὥσπερ πρὸς τοὺς ψελλιζομένους B
καὶ παίζοντας. ὅταν μὲν γὰρ παιδίον ἴδω, ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω ψελλιζόμενον καὶ παῖζον, χαίρω τε καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ, ὅταν δὲ σαφῶς διαλεγομένου παιδαρίου ἀκούσω, πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι καὶ ἀνιᾷ μου τὰ ὦτα καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν δὲ ἀνδρὸς ἀκούσῃ τις ψελ*λιζομένου ἢ C
παίζοντα ὁρᾷ, καταγέλαστον φαίνεται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταὐτὸν οὖν ἔγωγε τοῦτο πάσχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας· παρὰ νέῳ μὲν γὰρ μειρακίῳ ὁρῶν φιλοσοφίαν ἄγαμαι καὶ πρέπειν μοι δοκεῖ, καὶ ἡγοῦμαι ἐλεύθερόν τινα εἶναι τοῦτον τὸν ἄνθρωπον, τὸν δὲ μὴ φιλοσοφοῦντα ἀνελεύθερον καὶ οὐδέποτε οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔτε καλοῦ οὔτε γενναίου πράγματος· ὅταν δὲ δὴ πρεσβύ*τερον ἴδω ἔτι φι- D
λοσοφοῦντα καὶ μὴ ἀπαλλαττόμενον, πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι, ὦ Σώκρατες, οὗτος ὁ ἀνήρ. ὃ γὰρ νῦν δὴ ἔλεγον, ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς, ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρε-

in universum morum prorsus imperiti exsistunt. iam si aggrediuntur ad privatum aliquod aut publicum negotium, risum movent, sicut, opinor, viri civiles, quando vicissim ad vestras disputationes accedunt atque sermones, risum concitant. evenit enim illud Euripidis:

luculentus quisque est in hoc
atque in hoc annititur,
Partis diei plurimas illi dicans,
Sibi ipse quocumque antecellit maxime;

in quo autem contemnendus est, id fugit ac reprehendit, alterum vero laudat sibi ipse favens, quia existimat ita ipsum sese laudare. At, opinor, rectissimum est utriusque esse participem; philosophiae quidem, quoad institutioni inservit, pulchrum participem esse, nec turpe adolescentulo philosophari; sin homo iam senior adhuc philosophatur, risui, Socrate, hoc est, et equidem simillime animatus sum in philosophantes atque in balbutientes et puerilem in modum loquentes. nam si puerulum video, cui adhuc convenit ita balbutire puerumque agere, laetor et lepidum mihi videtur et liberale et decere pueruli aetatem, sin dilucide loquentem puerulum audio, molestum mihi videtur hoc esse et offendit aures meas et videtur mihi servile aliquid esse; sin virum quis audit balbutientem vel puerum agentem videt, ridiculum hoc videtur, a viro alienum plagisque dignum esse. ita equidem animatus sum etiam in eos qui philosophantur; in tenero enim adolescentulo philosophiam laudo et decere mihi videtur, et existimo liberalem quendam esse hunc hominem, eum vero qui non philosophatur illiberalem nec fore umquam, ut sese decoret pulchra aliqua re atque ingenua; quum vero seniorem video adhuc philosophantem nec desinentem, plagis mihi videtur iam opus esse, Socrate, huic viro. nam quod modo dixi, evenit huic homini ut, quamvis optima sit indole, effeminatus evadat fugiens media urbis et fora, in quibus poeta dixit viros splen-

πεῖς γίγνεσθαι, καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι
μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα,
ἐλεύθε*ρον δὲ καὶ μέγα καὶ ἱκανὸν μηδέποτε φθέγξασθαι. E
Ἐγὼ δέ, ὦ Σώκρατες, πρὸς σὲ ἐπιεικῶς ἔχω φιλικῶς· κιν-
δυνεύω οὖν πεπονθέναι νῦν, ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμ-
φίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην· καὶ γὰρ ἐμοὶ τοιαῦτ'
ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν οἷάπερ ἐκεῖνος πρὸς τὸν
ἀδελφόν, ὅτι Ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖ-
σθαι, καὶ φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώ-
δει τινὶ διαπρέπεις μορφώματι, * καὶ οὔτ' ἂν δί- 486
κης βουλαῖς προθεῖ' *) ὀρθῶς **) λόγον, οὔτ' εἰ-
κὸς ***) ἂν καὶ πιθανὸν λάβοις, οὔθ' ὑπὲρ ἄλλων
νεανικὸν βούλευμα βουλεύσαιο. καίτοι, ὦ φίλε
Σώκρατες (καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ
σῇ), οὐκ αἰσχρὸν δοκεῖ σοι εἶναι οὕτως ἔχειν, ὡς ἐγὼ σὲ
οἶμαι ἔχειν καὶ τοὺς ἄλλους τοὺς πόῤῥω ἀεὶ φιλοσοφίας
ἐλαύνοντας; νῦν γὰρ εἴ τις σοῦ λαβόμενος ἢ ἄλλου ὁτου-
οῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπαγάγοι, φάσκων
ἀδικεῖν μηδὲν ἀδικοῦντα, οἶσθ' ὅτι οὐκ ἂν ἔ*χοις ὅ τι χρή- B
σαιο σαυτῷ, ἀλλ' ἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ τι
εἴποις, καὶ εἰς τὸ δικαστήριον ἀναβάς, κατηγόρου τυχὼν πά-
νυ φαύλου καὶ μοχθηροῦ, ἀποθάνοις ἄν, εἰ βούλοιτο θανά-
του σοι τιμᾶσθαι. καίτοι πῶς σοφὸν τοῦτό ἐστιν, ὦ Σώκρα-
τες, εἴ τις εὐφυᾶ λαβοῦσα τέχνη φῶτα ἔθηκε χείρονα, μήτε
αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν μεγί-
στων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μηδένα, ὑπὸ δὲ
τῶν ἐχθρῶν περισυλᾶσθαι πᾶ*σαν τὴν οὐσίαν, ἀτεχνῶς δὲ C
ἄτιμον ζῆν ἐν τῇ πόλει; τὸν δὲ τοιοῦτον, εἴ τι καὶ ἀγροι-
κότερον εἰρῆσθαι, ἔξεστιν ἐπὶ κόῤῥης τύπτοντα μὴ διδόναι
δίκην. Ἀλλ', ὦ 'γαθέ, ἐμοὶ πείθου, παῦσαι δ' ἐλέγχων,
πραγμάτων δ' εὐμουσίαν ἄσκει, καὶ ἄσκει ὁπόθεν
δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφείς,
εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας,

*) γρ. βουλαῖσι προθεῖ' ἄν.
**) ἴσ. ὀρθόν.
***) ἴσ. εἰκότ'.

didiſſimos exſiſtere, abditus vero in angulo reliquam vitam degat cum adoleſcentulis tribus vel quattuor ſuſurrans, nec umquam liberale quid et magni et probi loquatur. Ego vero, Socrate, admodum amico in te animo ſum; atque videor ita fere affectus eſſe erga te, ut Zethus erga Amphionem ille Euripidis, cuius mentionem feci; nam mihi quoque talia libet tibi dicere qualia ille fratri: Negligis, Socrate, quibus oportet te ſtudere, et *indoli animi tam ingenuae puerilis cuiusdam ſpeciei quaeris decus, neque in iuris conſiliis rectam propones orationem, neque veri ſimile aliquid atque probabile accipies, neque ſuper aliis praeclarum promes conſilium.* quamquam, mi care Socrate (et ne mihi ſuccenſeas; dicam enim benivolentia erga te adductus), nonne turpe videtur tibi eſſe ita ſe habere, ut te arbitror habere ceterosque qui ultra in philoſophia progredi non deſinunt? nunc enim ſi quis te comprehendens vel alium quempiam eorum qui ſic ſe habent in carcerem abducat, praetexens te iniuriam ipſi feciſſe, etſi nullam feceris, profecto non habeas quid facias tibimet, ſed haeſites atque os diducas neſciens quid dicas, et in iudicium aſcendens, ſi accuſator tibi contigerit admodum malus et improbus, moriendum tibi ſit, ſi velit tibi litem capitis aeſtimare. quamquam num ſapiens hoc eſt, Socrate, ſi quae ars virum bona indole praeditum, quem occupavit, viliorem efficit, ut nec ſibi ipſi poſſit auxiliari nec eripere e maximis periculis neque ſe ipſum neque alium quemquam, ſed ab inimicis ſpolietur omnibus ſuis bonis omnisque honoris expers vivat in civitate? huiusmodi homini, etſi ruſticius quodammodo eſt dictu, licet colaphum infringere impune. At, o bone, mihi obtempera, deſine redarguere, in rebus *honore dignis te exerce* et in iis te exerce, *unde videberis ſapere, aliis delicias iſtas permittens,* ſive vanitates oportet eas dici ſive nugas,

Ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις·
ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ σμικρὰ * ταῦτα, ἀλλ' οἷς D ἔστι καὶ βίος καὶ δόξα καὶ ἄλλα πολλὰ ἀγαθά.

ΣΩ. Εἰ χρυσῆν ἔχων ἐτύγχανον τὴν ψυχήν, ὦ Καλλίκλεις, οὐκ ἂν οἴει με ἄσμενον εὑρεῖν τούτων τινὰ τῶν λίθων, ᾗ βασανίζουσι τὸν χρυσόν, τὴν ἀρίστην, πρὸς ἥντινα ἔμελλον προςαγαγὼν αὐτήν, εἴ μοι ὁμολογήσειεν ἐκείνη καλῶς τεθεραπεῦσθαι τὴν ψυχήν, ἤδη εὖ εἴσεσθαι, ὅτι ἱκανῶς ἔχω καὶ οὐδέν μοι ἔτι δεῖ ἄλλης βασάνου;

ΚΑΛ. Πρὸς τί δὴ τοῦτ' * ἐρωτᾷς, ὦ Σώκρατες; E

ΣΩ. Ἐγώ σοι ἐρῶ νῦν. οἶμαι ἐγὼ σοὶ ἐντετυχηκὼς τοιούτῳ ἑρμαίῳ ἐντετυχηκέναι.

ΚΑΛ. Τί δή;

ΣΩ. Εὖ οἶδ' ὅτι, ἃ ἄν μοι σὺ ὁμολογήσῃς περὶ ὧν ἡ ἐμὴ ψυχὴ δοξάζει, ταῦτ' ἤδη ἐστὶν αὐτὰ τἀληθῆ. ἐννοῶ γὰρ ὅτι τὸν μέλλοντα βα*σανιεῖν ἱκανῶς ψυχῆς πέρι ὀρθῶς 487 τε ζώσης καὶ μὴ τρία ἄρα δεῖ ἔχειν, ἃ σὺ πάντα ἔχεις, ἐπιστήμην τε καὶ εὔνοιαν καὶ παῤῥησίαν· ἐγὼ γὰρ πολλοῖς ἐντυγχάνω, οἳ ἐμὲ οὐχ οἷοί τ' εἰσὶ βασανίζειν διὰ τὸ μὴ σοφοὶ εἶναι, ὥςπερ σύ, ἕτεροι δὲ σοφοὶ μέν εἰσιν, οὐκ ἐθέλουσι δέ μοι λέγειν τὴν ἀλήθειαν διὰ τὸ μὴ κήδεσθαί μου, ὥςπερ σύ, τὼ δὲ ξένω τώδε, Γοργίας τε καὶ Πῶλος, σοφὼ μὲν καὶ φί*λω ἐστὸν ἐμώ, ἐνδεεστέρω δὲ παῤῥησίας B καὶ αἰσχυντηροτέρω μᾶλλον τοῦ δέοντος. πῶς γὰρ οὔ; ὥ γε εἰς τοσοῦτον αἰσχύνης ἐληλύθατον, ὥςτε διὰ τὸ αἰσχύνεσθαι τολμᾷ ἑκάτερος αὐτῶν αὐτὸς αὑτῷ ἐναντία λέγειν ἐναντίον πολλῶν ἀνθρώπων, καὶ ταῦτα περὶ τῶν μεγίστων. σὺ δὲ ταῦτα πάντα ἔχεις ἃ οἱ ἄλλοι οὐκ ἔχουσι· πεπαίδευσαί τε γὰρ ἱκανῶς, ὡς πολλοὶ ἂν φήσαιεν Ἀθηναίων, καὶ ἐμοὶ εἶ εὔνους. τίνι τεκμηρίῳ χρῶμαι; ἐγώ σοι ἐρῶ. Οἶ*δα ὑμᾶς ἐγώ, ὦ Καλλίκλεις, τέτταρας ὄντας κοινωνοὺς C γεγονότας σοφίας, σέ τε καὶ Τίσανδρον τὸν Ἀφιδναῖον καὶ Ἄνδρωνα τὸν Ἀνδροτίωνος καὶ Ναυσικύδην τὸν Χολαργέα. καί ποτε ὑμῶν ἐγὼ ὑπήκουσα βουλευομένων, μέχρι ὅποι τὴν σοφίαν ἀσκητέον εἴη, καὶ οἶδα ὅτι ἐνίκα ἐν ὑμῖν τοιάδε τις δόξα, μὴ προθυμεῖσθαι εἰς τὴν

Ex quîs inanîs incoles tuas domos;
nec aemulare viros huiusmodi res minutas redarguentes, sed hos quibus et opes sunt et existimatio multaque alia bona.

So. Si aureum haberem animum, Callicle, nonne me putas laetum fore invento optimo aliquo ex iis lapidibus, quibus aurum explorant, cui animum admovens possem, si mihi testificaretur pulchre eum esse excultum, probe iam cognoscere, me satis bonum esse nec ulla amplius mihi opus esse exploratione?

Cal. Cur, quaeso, hoc rogas, Socrate?

So. Ego tibi nunc dicam. arbitror ego, quum te offenderim, me tale quid forte fortuna offendisse.

Cal. Quid tandem?

So. Probe scio, si mihi testificeris, quae animus meus sentiat, haec iam esse ipsa vera. cogito enim eum qui explorare satis velit animum, rectene vivat necne, oportere tria habere, scientiam, benivolentiam ac libertatem; nam multos reperio qui me non possint explorare, quia non sunt sapientes, sicut tu, alii sapientes quidem sunt, nolunt vero mihi dicere verum, quia ipsis non sum cordi, sicut tibi, hi vero externi, Gorgias et Polus, sapientes quidem et amici mihi sunt, carent vero nonnihil libertate et verecundiores sunt quam par est. et qui aliter? quum eo pudoris processerint, ut propter pudorem sustineret uterque eorum secum ipse pugnare coram multis hominibus, et de rebus quidem gravissimis. tu autem haec omnia habes, quae ceteri non habent: eruditus enim satis es, ut multi affirmabunt Athenienses, mihique benivolus. quo argumento utar? ego tibi dicam. Scio vos, Callicle, quattuor socios fuisse in sapientiae studio, te et Tisandrum Aphidnaeum et Andronem Androtionis filium et Nausicydem Cholargeum. atque olim vos ego audivi deliberantes, quoad in philosophia conveniret se exercere, et scio vicisse apud vos hanc sententiam, non esse vobis eniten-

ἀκρίβειαν φιλοσοφεῖν, ἀλλ' εὐλαβεῖσθαι παρεκελεύεσθε* ἀλλήλοις, ὅπως μὴ πέρα τοῦ δέοντος σοφώτεροι γενόμενοι λήσετε διαφθαρέντες. ἐπειδὴ οὖν σου ἀκούω ταῦτα ἐμοὶ ξυμβουλεύοντος ἅπερ τοῖς σαυτοῦ ἑταιροτάτοις, ἱκανόν μοι τεκμήριόν ἐστιν, ὅτι ὡς ἀληθῶς μοι εὔνους εἶ. καὶ μὴν ὅτι γε οἷος παῤῥησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτός τέ φῃς καὶ ὁ λόγος ὃν ὀλίγον πρότερον ἔλεγες ὁμολογεῖ σοι. ἔχει δὴ οὑτωσὶ δῆλον ὅτι τούτων πέρι νυνί· ἐάν τι σὺ ἐν τοῖς λόγοις ὁμολογήσῃς μοι, *βεβασανισμένον τοῦτ' ἤδη ἔσται ἱκανῶς ὑπ' ἐμοῦ τε καὶ σοῦ, καὶ οὐκέτι αὐτὸ δεήσει ἐπ' ἄλλην βάσανον ἀναφέρειν· οὐ γὰρ ἄν ποτε αὐτὸ ξυνεχώρησας σὺ οὔτε σοφίας ἐνδείᾳ οὔτ' αἰσχύνης περιουσίᾳ, οὐδ' αὖ ἀπατῶν ἐμὲ ξυγχωρήσαις ἄν· φίλος γάρ μοι εἶ, ὡς καὶ αὐτός φῃς. τῷ ὄντι οὖν ἡ ἐμὴ καὶ σὴ ὁμολογία τέλος ἤδη ἕξει τῆς ἀληθείας. Πάντων δὲ καλλίστη ἐστὶν ἡ σκέψις, ὦ Καλλίκλεις, περὶ τούτων ὧν σὺ δή μοι ἐπετίμησας, ποῖόν τινά ποτε χρὴ εἶναι τὸν ἄνδρα καὶ τί ἐπιτηδεύειν καὶ * μέχρι τοῦ καὶ πρεσβύτερον καὶ νεώτερον ὄντα. ἐγὼ γάρ, εἴ τι μὴ ὀρθῶς πράττω κατὰ τὸν βίον τὸν ἐμαυτοῦ, εὖ ἴσθι τοῦτο ὅτι οὐχ ἑκὼν ἐξαμαρτάνω, ἀλλ' ἀμαθίᾳ τῇ ἐμῇ· σὺ οὖν, ὥσπερ ἤρξω νουθετεῖν με, μὴ ἀποστῇς, ἀλλ' ἱκανῶς μοι ἔνδειξαι, τί ἐστι τοῦτο ὃ ἐπιτηδευτέον μοι καὶ τίνα τρόπον κτησαίμην ἂν αὐτό· καὶ ἐάν με λάβῃς νῦν μέν σοι ὁμολογήσαντα, ἐν δὲ τῷ ὑστέρῳ χρόνῳ μὴ ταῦτα πράττοντα ἅπερ ὡμολόγησα, πάνυ με ἡγοῦ βλάκα εἶναι καὶ * μηκέτι ποτέ με νουθετήσῃς ὕστερον, ὡς μηδενὸς ἄξιον ὄντα. ἐξ ἀρχῆς δέ μοι ἐπανάλαβε, πῶς φῃς τὸ δίκαιον ἔχειν καὶ σὺ καὶ Πίνδαρος τὸ κατὰ φύσιν, ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων καὶ ἄρχειν τὸν βελτίω τῶν χειρόνων καὶ πλέον ἔχειν τὸν ἀμείνω τοῦ φαυλοτέρου; μή τι ἄλλο λέγεις τὸ δίκαιον εἶναι, ἢ ὀρθῶς μέμνημαι;

ΚΑΛ. Ἀλλὰ ταῦτα ἔλεγον καὶ τότε καὶ νῦν λέγω.

ΣΩ. Πότερον δὲ τὸν αὐτὸν βελτίω καλεῖς σὺ καὶ κρείττω; οὐδὲ γάρ τοι * τότε οἷός τ' ἦ μαθεῖν σου τί ποτε

dum ut diligenter philoſopharemini, ſed cohortati inter vos eſtis ad cautionem ne, ſupra quam oporteret ſapientiores facti, ipſi inſcientes periretis. quoniam igitur te audio idem mihi conſilium dantem quod amiciſſimis tuis dediſti, ſatis mihi id argumenti eſt, te revera mihi eſſe benivolum. iam vero te eum eſſe, qui libere loquare nec inducare ad pudendum, et ipſe fateris et oratio quam paullo ante habuiſti teſtificatur tibi. ita igitur haud dubie nunc ſe habet de his: ſi quid tu in ſermone noſtro mihi confirmaveris, exploratum hoc iam ſatis erit et a me et a te, nec amplius neceſſe habebimus ad aliam id probationem referre; numquam enim id conceſſurus fuiſſes neque ſapientiae inopia neque pudoris abundantia, neque etiam ut me decipias concedes; amicus enim mihi es, ut ipſe etiam dicis. revera igitur mea et tua conceſſio perfectae erit veritatis. Omnium vero pulcherrima eſt quaeſtio, Callicle, de his, in quibus tu ſcilicet me reprehendiſti, qualem oporteat eſſe virum et cui ſtudere et quoad, ſive ſenior ſit ſive iunior. ego enim, ſi quid non recte facio in vita mea, probe ſcito in hoc me non ultro peccare, ſed propter inſcitiam meam; tu igitur, quemadmodum incepiſti me monere, ne deficias, ſed perſpicue mihi oſtende, quid ſit illud cui ſtudere debeam et qua id ratione ſim aſſequuturus; et ſi me deprehendas nunc tibi concedentem, poſtea vero non id facientem quod conceſſerim, prorſus me exiſtimato ſocordem eſſe, nec umquam me amplius admoneas poſtea, quippe qui nihili ſim. ab initio autem mihi repete, quomodo dicatis iuſtum ſe habere tu et Pindarus naturâ illud quidem conſtitutum, ex quo abigat vi ſuperior bona inferiorum et imperet melior peioribus plusque habeat praeſtantior viliore. numquid aliud dicis iuſtum eſſe, an recte memini?

Cal. Immo haec dixi et tum et nunc dico.

So. Num eundem meliorem dicis quem ſuperiorem? enimvero non poteram tum intelligere quid tan-

λέγεις. πότερον τοὺς ἰσχυροτέρους κρείττους καλεῖς καὶ δεῖ ἀκροᾶσθαι τοῦ ἰσχυροτέρου τοὺς ἀσθενεστέρους; οἷόν μοι δοκεῖς καὶ τότε ἐνδείκνυσθαι, ὡς αἱ μεγάλαι πόλεις ἐπὶ τὰς σμικρὰς κατὰ τὸ φύσει δίκαιον ἔρχονται, ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι, ὡς τὸ κρεῖττον καὶ ἰσχυρότερον καὶ βέλτιον ταὐτὸν ὄν· ἢ ἔστι βελτίω μὲν εἶναι, ἥττω δὲ καὶ ἀσθενέστερον, καὶ κρείττω μὲν εἶναι, μοχθηρότερον δέ; ἢ ὁ αὐτὸς ὅρος ἐστὶ τοῦ βελ*τίονος καὶ τοῦ κρείττονος; τοῦτό μοι αὐτὸ σαφῶς διόρισον, ταὐτὸν ἢ ἕτερόν ἐστι τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον.

ΚΑΛ. Ἀλλ' ἐγώ σοι σαφῶς λέγω ὅτι ταὐτόν ἐστιν.

ΣΩ. Οὐκοῦν οἱ πολλοὶ τοῦ ἑνὸς κρείττους εἰσὶ κατὰ φύσιν; οἳ δὴ καὶ τοὺς νόμους τίθενται ἐπὶ τῷ ἑνί, ὥσπερ καὶ σὺ ἄρτι ἔλεγες.

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τὰ τῶν πολλῶν ἄρα νόμιμα τὰ τῶν κρειττόνων ἐστίν.

ΚΑΛ. Πάνυ γε.

**ΣΩ.* Οὐκοῦν τὰ τῶν βελτιόνων; οἱ γὰρ κρείττους βελτίους πολὺ κατὰ τὸν σὸν λόγον.

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν τὰ τούτων νόμιμα κατὰ φύσιν καλά, κρειττόνων γε ὄντων;

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οὐχ οἱ πολλοὶ νομίζουσιν οὕτως, ὡς ἄρτι αὖ σὺ ἔλεγες, δίκαιον εἶναι τὸ ἴσον ἔχειν καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδι*κεῖσθαι; ἔστι ταῦτα ἢ οὔ; καὶ ὅπως μὴ ἁλώσει ἐνταῦθα σὺ αἰσχυνόμενος. νομίζουσιν ἢ οὒ οἱ πολλοὶ τὸ ἴσον ἔχειν, ἀλλ' οὐχὶ τὸ πλέον δίκαιον εἶναι, καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι; Μὴ φθόνει μοι ἀποκρίνασθαι τοῦτο, Καλλίκλεις, ἵν', ἐάν μοι ὁμολογήσῃς, βεβαιώσωμαι ἤδη παρὰ σοῦ, ἅτε ἱκανοῦ ἀνδρὸς διαγνῶναι ὡμολογηκότος.

ΚΑΛ. Ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν οὕτως.

ΣΩ. Οὐ νόμῳ ἄρα μόνον ἐστὶν αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι οὐδὲ δίκαιον τὸ ἴσον ἔχειν, ἀλλὰ

dem diceres. utrum validiores ſuperiores appellas et oportet parere validiori imbecilliores? velut mihi videris etiam tum oſtendiſſe magnas urbes exiguas ex iure naturali adoriri, quia ſuperiores eſſent atque validiores, quippe ſuperius et validius et melius unum eſſe idemque; an licet meliorem quidem eſſe, ſed inferiorem et imbecilliorem, et ſuperiorem quidem, ſed improbiorem? an eadem eſt definitio melioris ac ſuperioris? hoc mihi ipſum perſpicue defini, eadem an diverſa ſint ſuperius et melius et validius.

Cal. At ego tibi perſpicue dico eadem eſſe.

So. Nonne multitudo uno ſuperior eſt ſecundum naturam? quae quidem etiam leges conſtituit uni, quemadmodum tu quoque modo dicebas.

Cal. Quidni?

So. Multitudinis ergo leges ſunt ſuperiorum leges.

Cal. Sane quidem.

So. Nonne meliorum? ſuperiores enim longe meliores ſunt ex tua oratione.

Cal. Ita.

So. Nonne horum leges natura ſunt pulchrae, quum ſuperiorum ſint?

Cal. Aio.

So. Multitudo vero nonne ſancit, quod etiam tu modo dixiſti, ut iuſtum ſit aequale habere et turpius iniuriam facere quam accipere? eſtne ita necne? et ne deprehendare hìc ad pudendum inductus: num lege ſtatuit multitudo necne, aequale habere, non plus, iuſtum eſſe et turpius iniuriam facere quam accipere? Ne recuſa mihi ad hoc reſpondere, Callicle, ut, ſi mihi conceſſeris, hoc tandem ſtabiliam per te, quippe quum vir ad diiudicandum idoneus id mihi conceſſerit.

Cal. Multitudo ſane hoc lege ſancit.

So. Ergo non lege tantum eſt turpius iniuriam facere quam accipere et iuſtum aequale habere, ſed et-

καὶ φύσει· ὥςτε κιν*δυνεύεις οὐκ ἀληθῆ λέγειν ἐν τοῖς πρό- B
σθεν οὐδὲ ὀρθῶς ἐμοῦ κατηγορεῖν, λέγων ὅτι ἐναντίον ἐστὶν ὁ νόμος καὶ ἡ φύσις, ἃ δὴ καὶ ἐγὼ γνοὺς κακουργῶ ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ φύσιν λέγῃ, ἐπὶ τὸν νόμον ἄγων, ἐὰν δέ τις κατὰ τὸν νόμον, ἐπὶ τὴν φύσιν.

ΚΑΛ. Οὑτοσὶ ἀνὴρ οὐ παύσεται φλυαρῶν. Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ' αἰσχύνει, τηλικοῦτος ὤν, ὀνόματα θηρεύων καί, ἐάν τις ῥήματι ἁμάρτῃ, ἕρ*μαιον τοῦτο ποι- C
ούμενος; ἐμὲ γὰρ οἴει ἄλλο τι λέγειν τὸ κρείττους εἶναι ἢ τὸ βελτίους; οὐ πάλαι σοι λέγω ὅτι ταὐτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον; ἢ οἴει με λέγειν, ἐὰν συρφετὸς ξυλλεγῇ δούλων καὶ παντοδαπῶν ἀνθρώπων μηδενὸς ἀξίων πλὴν ἴσως τῷ σώματι ἰσχυρίσασθαι, καὶ *) οὗτοι φῶσιν, αὐτὰ ταῦτα εἶναι νόμιμα;

ΣΩ. Εἶεν, ὦ σοφώτατε Καλλίκλεις, οὕτω λέγεις; D

ΚΑΛ. Πάνυ * μὲν οὖν.

ΣΩ. Ἀλλ' ἐγὼ μέν, ὦ δαιμόνιε, καὶ αὐτὸς πάλαι τοπάζω τοιοῦτόν τί σε λέγειν τὸ κρεῖττον, καὶ ἀνερωτῶ γλιχόμενος σαφῶς εἰδέναι ὅ τι λέγεις. οὐ γὰρ δήπου σύ γε τοὺς δύο βελτίους ἡγεῖ τοῦ ἑνός, οὐδὲ τοὺς σοὺς δούλους βελτίους σοῦ, ὅτι ἰσχυρότεροί εἰσιν ἢ σύ. Ἀλλὰ πάλιν ἐξ ἀρχῆς εἰπέ, τί ποτε λέγεις τοὺς βελτίους, ἐπειδὴ οὐ τοὺς ἰσχυροτέρους· καί, ὦ θαυμάσιε, πρᾳότερόν με προδίδασκε, ἵνα μὴ ἀποφοιτήσω παρὰ σοῦ. E

* ΚΑΛ. Εἰρωνεύει, ὦ Σώκρατες.

ΣΩ. Οὐ μὰ **) τὸν Ζῆθον, ὦ Καλλίκλεις, ᾧ σὺ χρώμενος πολλὰ νῦν δὴ εἰρωνεύου πρός με· ἀλλ' ἴθι εἰπέ, τίνας λέγεις τοὺς βελτίους εἶναι;

ΚΑΛ. Τοὺς ἀμείνους ἔγωγε.

ΣΩ. Ὁρᾷς ἄρα ὅτι σὺ αὐτὸς ὀνόματα λέγεις, δηλοῖς δὲ οὐδέν. οὐκ ἐρεῖς, τοὺς βελτίους καὶ κρείττους πότερον τοὺς φρονιμωτέρους λέγεις ἢ ἄλλους τινάς;

ΚΑΛ. Ἀλλὰ ναὶ μὰ Δία τούτους λέγω, καὶ σφόδρα γε.

---

*) ἴσ. ἃ ἄν.

**) γρ. Μά.

iam natura; quocirca videris non vera dixisse in praegressis nec recte me criminari, dicens contrarias esse inter sese legem et naturam, quod scilicet me ipsum quoque cognoscentem premere alterum in sermonibus, ut, si quis de iusto naturali loquatur, ad legitimum perducam, sin de legitimo, ad naturale.

Cal. Hicce vir non desinet nugari. Dic mihi, Socrate, non te pudet, tam grandem natu, verba captare et, si quis in dictione peccaverit, hoc in lucro ponere inopinato? mene arbitraris aliud quid dicere superiorem esse quam meliorem? nonne iam dudum tibi dico idem me censere esse melius et superius? an opinaris me dicere, si colluvies confluxerit servorum variorumque hominum, qui nihili sint, nisi quod forsitan corporis viribus polleant, quaecumque hi dicant, ea ipsa esse legitima?

So. Quid, o sapientissime Callicle, ita dicis?

Cal. Prorsus ita.

So. At equidem, o bone, ipse iam dudum suspicor tale quid te dicere superius, et interrogo cupiens plane scire quid dicas. neque enim tu duos meliores ducis uno nec tuos servos meliores te, quia te validiores sint. Itaque iterum ab initio dic, quos tandem dicas meliores, quoniam non validiores intelligis; et, o admirabilis, mitius me porro doce, ne abs te discedam.

Cal. Cavillaris, Socrate.

So. Non per Zethum, Callicle, quem tu adhibens multum modo me cavillatus es; itaque age dic: quosnam censes meliores esse?

Cal. Praestantiores equidem.

So. Vides ergo te ipsum verba dicere, declarare vero nihil. nonne explicabis, meliores ac superiores utrum prudentiores dicas an alios quospiam?

Cal. At mehercule hos dico utique.

ΣΩ. Πολλάκις ἄρα εἷς φρονῶν μυρίων * μὴ φρο- 49
νούντων κρείττων ἐστὶ κατὰ τὸν σὸν λόγον, καὶ τοῦτον ἄρχειν δεῖ, τοὺς δ' ἄρχεσθαι, καὶ πλέον ἔχειν τὸν ἄρχοντα τῶν ἀρχομένων· τοῦτο γάρ μοι δοκεῖς βούλεσθαι λέγειν (καὶ οὐ ῥήματα θηρεύω), εἰ ὁ εἷς τῶν μυρίων κρείττων.

ΚΑΛ. Ἀλλὰ ταῦτ' ἔστιν ἃ λέγω· τοῦτο γὰρ οἶμαι ἐγὼ τὸ δίκαιον εἶναι φύσει, τὸ βελτίω ὄντα καὶ φρονιμώτερον καὶ ἄρχειν καὶ πλέον ἔχειν τῶν φαυλοτέρων.

ΣΩ. Ἔχε δὴ αὐτοῦ, τί * ποτε αὖ νῦν λέγεις; ἐὰν B
ἐν τῷ αὐτῷ ὦμεν, ὥσπερ νῦν, πολλοὶ ἀθρόοι ἄνθρωποι, καὶ ἡμῖν ᾖ ἐν κοινῷ πολλὰ σιτία καὶ ποτά, ὦμεν δὲ παντοδαποί, οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, εἷς δὲ ἡμῶν ᾖ φρονιμώτερος περὶ ταῦτα ἰατρὸς ὤν, ᾖ δέ, οἷον εἰκός, τῶν μὲν ἰσχυρότερος, τῶν δὲ ἀσθενέστερος, ἄλλο τι οὗτος φρονιμώτερος ἡμῶν ὢν βελτίων καὶ κρείττων ἔσται εἰς ταῦτα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἦ οὖν τού*των τῶν σιτίων πλέον ἡμῶν ἑκτέον αὐ- C
τῷ, ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν πάντα ἐκεῖνον δεῖ νέμειν, ἐν δὲ τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα οὐ πλεονεκτητέον, εἰ μὴ μέλλει ζημιοῦσθαι, ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον ἑκτέον, ἐὰν δὲ τύχῃ πάντων ἀσθενέστατος ὤν, πάντων ἐλάχιστον τῷ βελτίστῳ, ὦ Καλλίκλεις; οὐχ οὕτως, ὦ 'γαθέ;

ΚΑΛ. Περὶ σιτία σὺ λέγεις καὶ ποτὰ καὶ ἰατροὺς
καὶ φλυαρίας, ἐγὼ δὲ * οὐ ταῦτα λέγω. D

ΣΩ. Πότερον οὖν τὸν φρονιμώτερον βελτίω λέγεις; Φαθὶ ἢ μή.

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀλλ' οὐ τὸν βελτίω πλέον δεῖν ἔχειν;

ΚΑΛ. Οὐ σιτίων γε οὐδὲ ποτῶν.

ΣΩ. Μανθάνω, ἀλλ' ἴσως ἱματίων, καὶ δεῖ τὸν ὑφαντικώτατον μέγιστον ἱμάτιον ἔχειν καὶ πλεῖστα καὶ κάλλιστα ἀμπεχόμενον περιϊέναι.

So. Saepius igitur unus prudens sexcentis imprudentibus melior est ex tua oratione, et hunc regere oportet, illos vero regi, et plus habere regentem quam eos qui regantur: hoc enim mihi videris velle dicere (neque verba aucupor), si unus sexcentis superior.

Cal. Hoc sane est quod dico; hoc enim arbitror ego iustum esse natura, eum qui melior et prudentior sit et imperare et plus habere vilioribus.

So. Age dum hic, quid tandem nunc rursum dicis? si una simus, sicut nunc, multi simul homines nobisque sint communiter multa esculenta ac potulenta, simus vero varii generis, alii validiores, imbecilli alii, unus autem nostrûm prudentior in his, utpote medicus, isque sit, ut facile fieri potest, aliis validior, aliis imbecillior, nonne hic, qui prudentior nobis sit, melior ac superior erit in his ipsis?

Cal. Sane quidem.

So. Num igitur horum ciborum plus ipsum quam nos habere oportet, quia melior est, an propterea quod nobis imperat, omnia quidem ille distribuere, in consumendis vero iis et adhibendis suo ipse corpori non plus appetere debet, nisi detrimentum accepturus est, sed aliis plus, aliis minus, et si forte omnium imbecillimus sit, omnium minimum habere oportebit optimum, Callicle? nonne ita est, o bone?

Cal. De esculentis tu loqueris et potulentis et medicis et nugis, ego vero de his non loquor.

So. Num igitur prudentiorem meliorem dicis? Dic aut nega.

Cal. Ego vero.

So. Et nonne meliorem plus oportet habere?

Cal. Sane quidem, sed nec esculentorum nec potulentorum.

So. Intelligo, fortasse vero vestium, et oportet texendi peritissimum amplissimam habere vestem et plurimis pulcherrimisque amictum circumire.

ΚΑΛ. Ποίων ἱματίων;

ΣΩ. Ἀλλ' εἰς ὑποδήματα δῆλον ὅτι δεῖ πλεονεκτεῖν τὸν φρονιμώτατον εἰς ταῦτα καὶ * βέλτιστον· τὸν σκυτοτόμον ἴσως μέγιστα δεῖ ὑποδήματα καὶ πλεῖστα ὑποδεδεμένον περιπατεῖν. E

ΚΑΛ. Ποῖα ὑποδήματα φλυαρεῖς ἔχων;

ΣΩ. Ἀλλ' εἰ μὴ τὰ τοιαῦτα λέγεις, ἴσως τὰ τοιάδε, οἷον γεωργικὸν ἄνδρα περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγαθόν, τοῦτον δὴ ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων καὶ ὡς πλείστῳ σπέρματι χρῆσθαι εἰς τὴν αὐτοῦ γῆν.

ΚΑΛ. Ὡς ἀεὶ ταὐτὰ λέγεις, ὦ Σώκρατες!

ΣΩ. Οὐ μόνον γε, ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν.

ΚΑΛ. Νὴ * τοὺς θεούς, ἀτεχνῶς γε ἀεὶ σκυτέας τε 491 καὶ κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει, ὡς περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον.

ΣΩ. Οὐκοῦν σὺ ἐρεῖς περὶ τίνων ὁ κρείττων τε καὶ φρονιμώτερος πλέον ἔχων δικαίως πλεονεκτεῖ; ἢ οὔτε ἐμοῦ ὑποβάλλοντος ἀνέξει οὔτ' αὐτὸς ἐρεῖς;

ΚΑΛ. Ἀλλ' ἔγωγε καὶ πάλαι λέγω. πρῶτον μὲν τοὺς κρείττους, οἵ εἰσιν, οὐ σκυτοτόμους λέγω οὐδὲ μα*γείρους, B ἀλλ' οἳ ἂν εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν, ὅντιν' ἂν τρόπον εὖ οἰκοῖτο, καὶ μὴ μόνον φρόνιμοι, ἀλλὰ καὶ ἀνδρεῖοι, ἱκανοὶ ὄντες ἃ ἂν νοήσωσιν ἐπιτελεῖν, καὶ μὴ ἀποκάμνωσι διὰ μαλακίαν τῆς ψυχῆς.

ΣΩ. Ὁρᾷς, ὦ βέλτιστε Καλλίκλεις, ὡς οὐ ταὐτὰ σύ τ' ἐμοῦ κατηγορεῖς καὶ ἐγὼ σοῦ· σὺ μὲν γὰρ ἐμέ φῃς ἀεὶ ταὐτὰ λέγειν καὶ μέμφει μοι, ἐγὼ δὲ σοῦ τοὐναντίον, ὅτι οὐδέποτε ταὐτὰ λέγεις περὶ τῶν αὐτῶν, ἀλλὰ τοτὲ μὲν * τοὺς βελτίους τε καὶ κρείττους τοὺς ἰσχυροτέ- C ρους ὡρίζου, αὖθις δὲ τοὺς φρονιμωτέρους, νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων· ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βελτίους. Ἀλλ', ὦ 'γαθέ, εἰπὼν ἀπαλλάγηθι τίνας ποτὲ λέγεις τοὺς βελτίους τε καὶ κρείττους καὶ εἰς ὅ τι.

ΚΑΛ. Ἀλλ' εἴρηκά γε ἔγωγε τοὺς φρονίμους εἰς τὰ τῆς

Cal. Quid de veſtibus memoras?

So. At calceorum haud dubie oportet plus habere eum qui in hoc rerum genere prudentiſſimus atque optimus eſt; nimirum ſutorem fortaſſe oportet ampliſſimis plurimisque indutum calceis deambulare.

Cal. Quid de calceis nugans memoras?

So. At ſi de his non loqueris, fortaſſe de talibus rebus, exempli cauſa agricolam in terra colenda prudentem, pulchrum atque bonum, hunc fortaſſe oportet plus habere ſeminum et quam plurimis ſeminibus uti ad agrum ſuum colendum.

Cal. Ut tu ſemper eadem dicis, Socrate!

So. Non modo idem, Callicle, ſed etiam de ìsdem rebus.

Cal. Revera per deos ſemper tu de ſutoribus et fullonibus et cocis et medicis loqueris nec deſinis, quaſi de his ſuscepta nobis ſit oratio.

So. Nonne tu dices quibus in rebus ſuperior ac prudentior plus habens iure habeat? an neque mihi id ſubiicere permittes neque ipſe dices?

Cal. At ego iam dudum dixi: primum ſuperiores eſſe non ſutores dico nec cocos, ſed eos qui ad res civiles prudentes ſint, quomodo bene geri queant, et non prudentes modo, verum etiam fortes, ut poſſint quae ſentiant perficere, nec deficiant propter mollitiam animi.

So. Vides, o praeſtantiſſime Callicle, te non idem mihi obiicere atque me tibi: tu enim me dicis ſemper eadem dicere meque in hoc reprehendis, ego vero te in contrario, quod numquam eadem dicas ìsdem de rebus, ſed modo meliores et ſuperiores validiores eſſe definiebas, rurſum prudentiores, nunc autem aliud quid profers: fortiores a te dicuntur ſuperiores ac meliores. Itaque, o bone, dic tandem quos dicas meliores ac ſuperiores et qua in re.

Cal. Dixi vero equidem prudentes in rebus civi-

πόλεως πράγματα καὶ ἀνδρείους· τούτους γὰρ προς*ήκει D
τῶν πόλεων ἄρχειν, καὶ τὸ δίκαιον τοῦτ' ἐστὶ πλέον ἔχειν τούτους τῶν ἄλλων, τοὺς ἄρχοντας τῶν ἀρχομένων.

ΣΩ. Τί δέ; αὑτῶν, ὦ ἑταῖρε; ἢ τί ἄρχοντας ἢ ἀρχομένους;

ΚΑΛ. Πῶς λέγεις;

ΣΩ. Ἕνα ἕκαστον λέγω αὐτὸν ἑαυτοῦ ἄρχοντα· ἢ τοῦτο μὲν οὐδὲν δεῖ αὐτὸν ἑαυτοῦ ἄρχειν, τῶν δὲ ἄλλων;

ΚΑΛ. Πῶς ἑαυτοῦ ἄρχοντα λέγεις;

ΣΩ. Οὐδὲν ποικίλον, ἀλλ' ὥσπερ οἱ πολλοί, σώφρονα ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ, τῶν ἡδονῶν καὶ ἐπιθυ*μιῶν ἄρχοντα τῶν ἐν ἑαυτῷ. E

ΚΑΛ. Ὡς ἡδὺς εἶ! τοὺς ἠλιθίους λέγεις τοὺς σώφρονας.

ΣΩ. Πῶς γάρ *); οὐδεὶς ὅστις οὐκ ἂν γνοίη ὅτι οὐ τοῦτο λέγω.

ΚΑΛ. Πάνυ γε σφόδρα, ὦ Σώκρατες· ἐπεὶ πῶς ἂν εὐδαίμων γένοιτο ἄνθρωπος δουλεύων ὁτῳοῦν; ἀλλὰ τοῦτ' ἔστι τὸ κατὰ φύσιν καλὸν καὶ δίκαιον, ὃ ἐγώ σοι νῦν παῤῥησιαζόμενος λέγω, ὅτι δεῖ τὸν ὀρθῶς βιωσόμενον τὰς μὲν ἐπιθυμίας τὰς ἑαυτοῦ ἐᾶν ὡς μεγίστας εἶναι καὶ μὴ κολάζειν, ταύταις δὲ ὡς μεγίσταις οὔσαις ἱκανὸν * εἶναι ὑπηρε- 492
τεῖν δι' ἀνδρείαν καὶ φρόνησιν, καὶ ἀποπιμπλάναι ὧν ἂν ἀεὶ ἡ ἐπιθυμία γίγνηται. ἀλλὰ τοῦτ', οἶμαι, τοῖς πολλοῖς οὐ δυνατόν· ὅθεν ψέγουσι τοὺς τοιούτους, δι' αἰσχύνην ἀποκρυπτόμενοι τὴν αὑτῶν ἀδυναμίαν, καὶ αἰσχρὸν δή φασιν εἶναι τὴν ἀκολασίαν, ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐγὼ ἔλεγον, δουλούμενοι τοὺς βελτίους τὴν φύσιν ἀνθρώπους, καὶ αὐτοὶ ἐκπορίζεσθαι οὐ δυνάμενοι ταῖς ἡδοναῖς πλήρωσιν ἐπαινοῦσι τὴν σωφροσύνην * καὶ τὴν δικαιοσύνην διὰ τὴν αὑ- B
τῶν ἀνανδρίαν. ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων υἱέσιν εἶναι ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ δυναστείαν, τί τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον εἴη σωφροσύνης τούτοις τοῖς ἀνθρώποις, οἷς ἐξὸν ἀπολαύειν τῶν ἀγαθῶν μηδενὸς ἐμποδὼν ὄντος, αὐτοὶ ἑαυτοῖς δεσπότην ἐπαγάγοιντο τὸν τῶν πολλῶν ἀνθρώπων

---

*) γρ. Πῶς γὰρ οὔ; οὐδείς.

libus et fortes; his enim convenit civitatibus imperare et iustum hoc est plus habere hos ceteris, regentes videlicet iis qui regantur.

So. Quid? se ipsos intelligis regentes, an qua in re hos regere, illos vero regi censes?

Cal. Quomodo dicis?

So. Unumquemque dico semet ipsum regere; an hoc quidem minime opus est semet ipsum regere, ceteros vero?

Cal. Quomodo hoc dicis semet ipsum regere?

So. Nihil abstrusi, sed, ut volgus dicit, temperantem esse sibique ipsum moderari, voluptates ac cupiditates coërcentem.

Cal. Quam ridiculus es! stolidos dicis temperantes.

So. Quid ita? nemo est quin intelligat me non hoc dicere.

Cal. Omnino quidem hoc dicis, Socrate; nam quomodo beatus esse possit homo cuipiam serviens? at hoc est naturale illud pulchrum et iustum, quod ego tibi nunc libere explico, oportere eum qui recte velit vivere cupiditates suas sinere quam maximas esse nec compescere, iisque, licet maximae sint, posse satisfacere fortitudine ac prudentia et, quod quaeque appetat, eo ipsam satiare. hoc vero, opinor, volgus non potest; quocirca vituperat huiusmodi viros, ob pudorem celans imbecillitatem suam, et turpem scilicet dicit intemperantiam esse, id quod in praegresso sermone dixi, servitutem iniungens melioris naturae hominibus, ipseque quum nequeat voluptates explere, laudat temperantiam et iustitiam propter suam ipse mollitiam. nam iis, quibus ab initio contigerit ut vel regum filii sint vel ipsi natura pollentes ad comparandum sibi imperium aliquod vel tyrannidem vel dominationem, quid reapse turpius ac peius erit temperantiâ, si eiusmodi homines, quum liceat ipsis frui bonis, nemine impediente, sibi tamen ipsi dominam iniungant legum, ad quam volgus diri-

νόμον τε καὶ λόγον καὶ ψόγον; ἢ πῶς οὐκ ἂν ἄθλιοι γεγονότες εἴησαν ὑπὸ τοῦ * καλοῦ τοῦ τῆς δικαιοσύνης καὶ C τῆς σωφροσύνης, μηδὲν πλέον νέμοντες τοῖς φίλοις τοῖς αὑτῶν ἢ τοῖς ἐχθροῖς, καὶ ταῦτα ἄρχοντες ἐν τῇ ἑαυτῶν πόλει; Ἀλλὰ τῇ ἀληθείᾳ, ὦ Σώκρατες, ἣν φῂς σὺ διώκειν, ὧδ' ἔχει· τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία, ἐὰν ἐπικουρίαν ἔχῃ, τοῦτ' ἐστὶν ἀρετή τε καὶ εὐδαιμονία, τὰ δὲ ἄλλα ταῦτ' ἐστὶ τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν ξυνθήματα, ἀνθρώπων φλυαρία καὶ οὐδενὸς ἄξια.

ΣΩ. Οὐκ ἀ*γεννῶς γε, ὦ Καλλίκλεις, ἐπεξέρχει τῷ D λόγῳ παῤῥησιαζόμενος· σαφῶς γὰρ σὺ νῦν λέγεις, ἃ οἱ ἄλλοι διανοοῦνται μέν, λέγειν δὲ οὐκ ἐθέλουσι. δέομαι οὖν ἐγώ σου μηδενὶ τρόπῳ ἀνεῖναι, ἵνα τῷ ὄντι κατάδηλον γένηται πῶς βιωτέον. καί μοι λέγε· τὰς μὲν ἐπιθυμίας φῂς οὐ κολαστέον, εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν αὐταῖς ἀλλοθέν γέ ποθεν ἑτοιμάζειν, καὶ τοῦτο εἶναι * τὴν E ἀρετήν;

ΚΑΛ. Φημὶ ταῦτα ἔγωγε.

ΣΩ. Οὐκ ἄρα ὀρθῶς λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι;

ΚΑΛ. Οἱ λίθοι γὰρ ἂν οὕτω γε καὶ οἱ νεκροὶ εὐδαιμονέστατοι εἶεν.

ΣΩ. Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ' ἄν, εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖςδε λέγει λέγων

Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν;

καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν. ὅπερ ἤδη του * ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, 493 καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσί, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω, καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πιστι-

gitur, rationem et orationem et vituperationem? an qui fieri poterit, quin miseri evadant pulchra ista iustitia et temperantia, si amicis suis non plus tribuere valeant quam inimicis, et ii quidem imperantes in civitate sua? Immo e veritate, Socrate, quam te dicis sectari, se sic habet: luxuries, intemperantia et libertas, si praesidio tectae sunt, hae sunt et virtus et vita beata, cetera ista sunt fucus, sunt constituta naturae adversantia, sunt nugae hominum ac nihili.

So. Confidenter sane, Callicle, persequeris id oratione tua libere loquens; plane enim tu nunc dicis, quae ceteri sentiunt quidem, sed dicere nolunt. rogo igitur te nullo ut pacto remittas, quo vere eluceat quomodo sit vivendum. atque mihi dic: cupiditates negas esse coërcendas, si quis velit talis esse qualem esse oporteat, sed sinere nos debere eas quam maximas esse et undecumque expletionem iis parare, et hanc esse virtutem?

Cal. Dico hoc equidem.

So. Itaque non recte dicuntur qui nulla re egent beati esse.

Cal. Lapides enim et mortui hac certe ratione beatissimi erunt.

So. Attamen etiam ita, ut tu dicis, misera est vita. enimvero non mirer, si Euripides vera in his dicat dicens:

Quis novit autem, vivere utrum sit mori,
Mors vita contra sit?

et nos vere forsitan mortui simus. quemadmodum etiam ex aliquo iam audivi sapientium, nunc nos mortuos esse, corporeum involucrum esse nobis sepulcrum eamque animi partem, in qua cupiditates inessent, ita esse comparatam, ut facile in persuasionem incidat ac convertatur sursum deorsum, et hoc iccirco scitum quendam virum fabulas fingentem, ni fallor, Siculum quendam vel Italicum, nomine nonnihil mutato, ab eo

κὸν ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους, τῶν δ' ἀμυήτων τοῦτο τῆς * ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί, τὸ B
ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανὸν ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας. Τοὐναντίον δὴ οὗτος σοί, ὦ Καλλίκλεις, ἐνδείκνυται ὡς τῶν ἐν Ἅιδου, τὸ ἀειδὲς δὴ λέγων, οὗτοι ἀθλιώτατοι ἂν εἶεν οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ· τὸ δὲ κόσκινον ἄρα λέγει, ὥς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι· τὴν * δὲ ψυχὴν κοσκί- C
νῳ ἀπείκασε τὴν τῶν ἀνοήτων ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν δι' ἀπιστίαν τε καὶ λήθην. Ταῦτ' ἐπιεικῶς μέν ἐστιν ὑπό τι ἄτοπα, δηλοῖ μὴν ὃ ἐγὼ βούλομαί σοι ἐνδειξάμενος, ἐάν πως οἷός τ' ὦ, πεῖσαι μεταθέσθαι, ἀντὶ τοῦ ἀπλήστως καὶ ἀκολάστως ἔχοντος βίου τὸν κοσμίως καὶ τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούντως ἔχοντα βίον ἑλέσθαι. Ἀλλὰ πότερον πείθω τί σε καὶ μετατίθεσαι εὐδαιμονε*στέρους εἶναι τοὺς κοσμίους τῶν ἀκο- D
λάστων, ἢ οὐδέν, ἀλλ', ἂν καὶ πολλὰ τοιαῦτα μυθολογῶ, οὐδέν τι μᾶλλον μεταθήσει;

ΚΑΛ. Τοῦτ' ἀληθέστερον εἴρηκας, ὦ Σώκρατες.

ΣΩ. Φέρε δὴ ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν. σκόπει γὰρ εἰ τοιόνδε λέγεις περὶ τοῦ βίου ἑκατέρου τοῦ τε σώφρονος καὶ τοῦ ἀκολάστου, οἷον εἰ δυεῖν ἀνδροῖν ἑκατέρῳ πίθοι πολλοὶ εἶεν, καὶ τῷ μὲν ἑτέρῳ ὑγιεῖς καὶ πλήρεις, ὁ μὲν οἴνου, * ὁ δὲ μέλιτος, E
ὁ δὲ γάλακτος καὶ ἄλλοι πολλοὶ πολλῶν, νάματα δὲ σπάνια καὶ χαλεπὰ ἑκάστου τούτων εἴη καὶ μετὰ πολλῶν πόνων καὶ χαλεπῶν ἐκποριζόμενα· ὁ μὲν οὖν ἕτερος πληρωσάμενος μήτ' ἐποχετεύοι μήτε τι φροντίζοι, ἀλλ' ἕνεκα τούτων ἡσυχίαν ἔχοι, τῷ δ' ἑτέρῳ τὰ μὲν νάματα, ὥσπερ καὶ ἐκείνῳ, δυνατὰ μὲν πορίζεσθαι, χαλεπὰ δέ, τὰ δ' ἀγγεῖα τετρημένα καὶ σαθρά, καὶ ἀναγκάζοιτο ἀεὶ καὶ νύκτα καὶ ἡμέραν πιμ*πλάναι αὐτά, ἢ 494
τὰς ἐσχάτας λυποῖτο λύπας. ἆρα, τοιούτου ἑκατέρῳ ὄντος τοῦ βίου, λέγεις τὸν τοῦ ἀκολάστου εὐδαιμονέστερον

quod incideret vel caderet in persuasionem, appellasse cadum, libidinibus vero persusos exclusos, et quod ad eam exclusorum animi partem spectaret, in qua cupiditates inessent, eius intemperantem nihilque claudentem naturam perforatum dixisse cadum, propter insatiabiles cupiditates cum hoc eam comparantem. Contrarium igitur hic tibi, Callicle, demonstrat, omnium in orco (quo quidem luce orbum significat) miserrimos esse exclusos illos et portare in perforatum cadum aquam cribro item perforato; cribrum vero dicit, ut explicabat ille mecum colloquutus, animum esse, et animum libidine persusorum cum cribro comparavit tamquam perforatum, ut nihil claudere ac continere posset, propter inconstantiam atque oblivionem. Hoc sane quidem nonnihil admirabile est, declarat tamen id quo probando tibi cupio, si possim, persuadere, ut mutes sententiam et pro vita insatiabili atque intemperante modestiam, quicquid adest, satis esse putantem eoque contentam eligas. Utrum vero tibi persuadeo mutasque sententiam, ita ut beatiores esse censeas modestos intemperantibus, necne, sed, etiamsi multas huiusmodi fabulas enarrem, nihilo magis sententiam mutabis?

Cal. Verius hoc dixisti, Socrate.

So. Age dum aliam tibi imaginem dicam ex eadem schola atque illa. vide enim num ita sentias de utraque vita, temperanti et continenti, ac si exempli causa duorum virorum utrique cadi multi sint, et uni quidem sinceri plenique, alius vini, alius mellis, alius lactis aliique multi multarum rerum, rivi autem rari et difficiles cuiusque, qui nisi multo difficilique labore non comparentur; alter igitur repletos eos habens nec infundat aliquid nec id curet, sed ab hoc quietus sit, alteri vero rivi, sicut illi, possint quidem parari, sed difficiles sint, et vasa perforata ac vitiosa, et cogatur semper et noctis et dies implere illa, aliter extremis afficiatur doloribus; num, si talis est utriusque vita, intemperantis

εἶναι ἢ τὸν τοῦ κοσμίου; Πείθω τί σε ταῦτα λέγων ξυγχωρῆσαι τὸν κόσμιον βίον τοῦ ἀκολάστου ἀμείνω εἶναι, ἢ οὐ πείθω;

ΚΑΛ. Οὐ πείθεις, ὦ Σώκρατες· τῷ μὲν γὰρ πληρωσαμένῳ ἐκείνῳ οὐκέτ' ἔστιν ἡδονὴ οὐδεμία, ἀλλὰ τοῦτ' ἔστιν, ὃ νῦν δὴ ἐγὼ ἔλεγον, τὸ ὥςπερ λίθον ζῆν, ἐπειδὰν πληρώσῃ, μήτε * χαίροντα ἔτι μήτε λυπούμενον. ἀλλ' ἐν B τούτῳ ἐστὶ τὸ ἡδέως ζῆν ἐν τῷ ὡς πλεῖστον ἐπιῤῥεῖν.

ΣΩ. Οὐκοῦν ἀνάγκη γ', ἂν πολὺ ἐπιῤῥέῃ, πολὺ καὶ τὸ ἀπιὸν εἶναι καὶ μεγάλ' ἄττα τὰ τρήματα εἶναι ταῖς ἐκροαῖς;

ΚΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Χαραδριοῦ τιν' αὖ σὺ βίον λέγεις, ἀλλ' οὐ νεκροῦ οὐδὲ λίθου. καί μοι λέγε, τὸ τοιόνδε λέγεις οἷον πεινῆν καὶ πεινῶντα ἐσθίειν;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Καὶ διψῆν γε καὶ διψῶν*τα πίνειν; C

ΚΑΛ. Λέγω, καὶ τὰς ἄλλας ἐπιθυμίας ἁπάσας ἔχοντα καὶ δυνάμενον πληροῦντα χαίροντα εὐδαιμόνως ζῆν.

ΣΩ. Εὖ γε, ὦ βέλτιστε· διατέλει γὰρ ὥςπερ ἤρξω, καὶ ὅπως μὴ ἀπαισχυνεῖ· δεῖ δέ, ὡς ἔοικε, μηδ' ἐμὲ ἀπαισχυνθῆναι. καὶ πρῶτον μὲν εἰπέ, εἰ καὶ ψωρῶντα καὶ κνησιῶντα, ἀφθόνως ἔχοντα τοῦ κνῆσθαι, κνώμενον διατελοῦντα τὸν βίον εὐδαιμόνως ἔστι ζῆν.

* ΚΑΛ. Ὡς ἄτοπος εἶ, ὦ Σώκρατες, καὶ ἀτεχνῶς D δημηγόρος!

ΣΩ. Τοιγάρτοι, ὦ Καλλίκλεις, Πῶλον μὲν καὶ Γοργίαν καὶ ἐξέπληξα καὶ αἰσχύνεσθαι ἐποίησα, σὺ δὲ οὐ μὴ ἐκπλαγῇς οὐδὲ μὴ αἰσχυνθῇς· ἀνδρεῖος γὰρ εἶ. ἀλλ' ἀποκρίνου μόνον.

ΚΑΛ. Φημὶ τοίνυν καὶ τὸν κνώμενον ἡδέως ἂν βιῶναι.

ΣΩ. Οὐκοῦν, εἴπερ ἡδέως, καὶ εὐδαιμόνως;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Πότερον εἰ τὴν κεφα*λὴν μόνον κνησιῷ, ἢ ἔτι E

dicis beatiorem eſſe quam modeſti? Perſuadeo tibi his dictis ut concedas modeſtam vitam intemperanti meliorem eſſe, an non perſuadeo?

Cal. Non perſuades, Socrate; illi enim qui cados ſuos implevit nulla eſt voluptas, ſed hoc eſt, quod modo dixi, tamquam lapidem vivere, illis repletis, neque amplius gaudere nec dolere; in hoc potius iucunda eſt vita ſita, ſi quam plurimum influit.

So. Nonne neceſſe eſt, ſi multum influat, multum etiam abire et magna quaedam foramina eſſe effluviis?

Cal. Sane quidem.

So. Charadrii fere nunc vitam dicis, non mortui vel lapidis. atque dic mihi, an tale quid ponis quale eſt eſurire et eſurientem edere?

Cal. Ego vero.

So. Et ſitire quoque ſitientemque bibere?

Cal. Pono et reliquas omnes qui habeat cupiditates easque poſſit explere, hunc gaudentem beate vivere.

So. Praeclare, o praeſtantiſſime; perge enim ut coepiſti, nec ad pudendum te induci patiare; oportet autem, ut patet, nec me ipſum ſinere ad pudendum induci. et primum mihi dic, num etiam hoc, ſi quis ſcabie laborans et pruritu vexatus abunde ſe ſcabere poſſit et perpetuo in vita ſe ſcabat, beate ſit vivere.

Cal. Quam abſurdus es, Socrate, prorſusque concionator!

So. Iccirco, Callicle, Polum et Gorgiam obſtupefeci et ad pudendum induxi; tu vero nequaquam obſtupeſces nec ad pudendum induceris; fortis enim es. at reſponde modo.

Cal. Aio igitur etiam ſcabentem ſeſe iucunde vivere.

So. Nonne, ſi iucunde, etiam beate?

Cal. Sane quidem.

So. Utrum ſi caput ipſi tantum pruriat, an ali-

τί σε ἐρωτῶ; ὅρα, ὦ Καλλίκλεις, τί ἀποκρινεῖ, ἐάν τίς σε τὰ ἐχόμενα τούτοις ἐφεξῆς ἅπαντα ἐρωτᾷ. καί, τὸ τούτων τοιούτων ὄντων κεφάλαιον, ὁ τῶν κιναίδων βίος οὗτος οὐ δεινὸς καὶ αἰσχρὸς καὶ ἄθλιος; ἢ καὶ τούτους τολμήσεις λέγειν εὐδαίμονας εἶναι, ἐὰν ἀφθόνως ἔχωσιν ὧν δέονται;

ΚΑΛ. Οὐκ αἰσχύνει εἰς τοιαῦτα ἄγων τοὺς λόγους, ὦ Σώκρατες;

ΣΩ. Ἦ γὰρ ἐγὼ ἄγω ἐνταῦθα, ὦ γενναῖε, ἢ ἐκεῖνος ὃς ἂν φῇ ἀνέδην οὕτω τοὺς χαίροντας, ὅπως ἂν χαίρωσιν, εὐδαίμονας εἶναι, * καὶ μὴ διορίζηται τῶν ἡδονῶν 49 ὁποῖαι ἀγαθαὶ καὶ κακαί; ἀλλ' ἔτι καὶ νῦν λέγε, πότερόν φῂς εἶναι τὸ αὐτὸ ἡδὺ καὶ ἀγαθόν, ἢ εἶναί τι τῶν ἡδέων ὃ οὐκ ἔστιν ἀγαθόν;

ΚΑΛ. Ἵνα δή μοι μὴ ἀνομολογούμενος ᾖ ὁ λόγος, ἐὰν ἕτερον φήσω εἶναι, τὸ αὐτό φημι εἶναι.

ΣΩ. Διαφθείρεις, ὦ Καλλίκλεις, τοὺς πρώτους λόγους, καὶ οὐκ ἂν ἔτι μετ' ἐμοῦ ἱκανῶς τὰ ὄντα ἐξετάζοις, εἴπερ παρὰ τὰ δοκοῦντα σαυτῷ ἐρεῖς.

ΚΑΛ. Καὶ * γὰρ σύ, ὦ Σώκρατες. B

ΣΩ. Οὐ τοίνυν ὀρθῶς ποιῶ οὔτ' ἐγώ, εἴπερ ποιῶ τοῦτο, οὔτε σύ. ἀλλ', ὦ μακάριε, ἄθρει μὴ οὐ τοῦτο ᾖ τὸ ἀγαθὸν τὸ πάντως χαίρειν· ταῦτά τε γὰρ τὰ νῦν δὴ αἰνιχθέντα πολλὰ καὶ αἰσχρὰ φαίνεται ξυμβαίνοντα, εἰ τοῦτο οὕτως ἔχει, καὶ ἄλλα πολλά.

ΚΑΛ. Ὡς σύ γε οἴει, ὦ Σώκρατες.

ΣΩ. Σὺ δὲ τῷ ὄντι, ὦ Καλλίκλεις, ταῦτα ἰσχυρίζει;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἐπιχειρῶμεν ἄρα τῷ λόγῳ * ὡς σοῦ σπουδάζοντος; C

ΚΑΛ. Πάνυ γε σφόδρα.

ΣΩ. Ἴθι δή μοι, ἐπειδή σοι οὕτω δοκεῖ, διελοῦ τάδε· ἐπιστήμην που καλεῖς τι;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ ἀνδρείαν νῦν δὴ ἔλεγές τινα εἶναι μετὰ ἐπιστήμης;

quid amplius te interrogem? vide, Callicle, quid re- ſponſurus ſis, ſi quis ex te ea quae cum his coniuncta ſint, deinceps omnia quaeſiverit; et, id quod hisce in rebus ſummum eſt, cinaedorum vita illa nonne mala, turpis ac miſera eſt? an etiam hos audebis dicere bea- tos eſſe, ſi abunde habeant quae concupiſcant?

Cal. Tene pudet ad eiusmodi res traducere ſer- monem, Socrate?

So. Num ego traduco eum huc, o generoſe, an is, qui contendit tam fidenter gaudentes, quocumque modo gaudeant, beatos eſſe, nec definit, quaenam vo- luptatum bonae et quae malae ſint? at etiam nunc dic: num cenſes idem eſſe iucundum et bonum, an aliquam eſſe iucundarum rerum, quae non ſit bona?

Cal. Ne igitur ſermo meus ſecum pugnet, ſi aliud eſſe ſtatuerim, idem aio eſſe.

So. Evertis, Callicle, primos ſermones, nec am- plius mecum ſatis id, de quo quaeritur, examinas, ſi praeter ſententiam tuam dicis.

Cal. Tu tamen idem facis, Socrate.

So. Neutiquam recte facimus neque ego, ſiquidem id facio, neque tu. at, o bone, vide ne hoc non ſit bo- num omni modo gaudere; nam et multa haec turpia, quae modo obſcure ſignificavimus, patet conſequi, ſi hoc ſic habet, et alia multa.

Cal. Ut tu ſcilicet arbitraris, Socrate.

So. Tu autem revera, Callicle, haec aſſeveras?

Cal. Ego vero.

So. Inſtituamus igitur ſermonem, quum ſerio tu dicas?

Cal. Prorſus quidem.

So. Age dum, quoniam tibi ſic videtur, explica hoc: ſcientiam nonne dicis aliquid?

Cal. Dico vero.

So. Nonne etiam fortitudinem modo dicebas quan- dam eſſe cum ſcientia coniunctam?

ΚΑΛ. Ἔλεγον γάρ.

ΣΩ. Ἄλλο τι οὖν ὡς ἕτερον ὂν τὴν ἀνδρείαν τῆς ἐπιστήμης δύο ταῦτα ἔλεγες;

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Τί δέ; ἡδονὴν καὶ ἐπιστήμην ταὐτὸν ἢ ἕτερον;

ΚΑΛ. Ἕτερον * δή που, ὦ σοφώτατε σύ. D

ΣΩ. Ἦ καὶ ἀνδρείαν ἑτέραν ἡδονῆς;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Φέρε δὴ ὅπως μεμνησόμεθα ταῦτα, ὅτι Καλλικλῆς ἔφη ὁ Ἀχαρνεὺς ἡδὺ μὲν καὶ ἀγαθὸν ταὐτὸν εἶναι, ἐπιστήμην δὲ καὶ ἀνδρείαν καὶ ἀλλήλων καὶ τοῦ ἀγαθοῦ ἕτερον.

ΚΑΛ. Σωκράτης δέ γε ἡμῖν ὁ Ἀλωπεκῆθεν οὐχ ὁμολογεῖ ταῦτα; ἢ ὁμολογεῖ;

ΣΩ. Οὐχ ὁμολογεῖ, οἶμαι *) δέ γε οὐ*δὲ Καλλικλῆς, E ὅταν αὐτὸς αὑτὸν θεάσηται ὀρθῶς. εἰπὲ γάρ μοι, τοὺς εὖ πράττοντας τοῖς κακῶς πράττουσιν οὐ τοὐναντίον ἡγεῖ πάθος πεπονθέναι;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἆρ' οὖν εἴπερ ἐναντία ἐστὶ ταῦτα ἀλλήλοις, ἀνάγκη περὶ αὐτῶν ἔχειν, ὥςπερ περὶ ὑγιείας ἔχει καὶ νόσου; οὐ γὰρ ἅμα δήπου ὑγιαίνει τε καὶ νοσεῖ ὁ ἄνθρωπος, οὐδὲ ἅμα ἀπαλλάττεται ὑγιείας τε καὶ νόσου.

ΚΑΛ. Πῶς λέγεις;

ΣΩ. Οἷον περὶ ὅτου βούλει τοῦ σώματος ἀπολαβὼν σκόπει. νοσεῖ που * ἄνθρωπος ὀφθαλμούς, ᾧ ὄνομα ὀφθαλμία; 496

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐ δήπου καὶ ὑγιαίνει γε ἅμα τοὺς αὐτούς.

ΚΑΛ. Οὐδ' ὁπωςτιοῦν.

ΣΩ. Τί δέ; ὅταν τῆς ὀφθαλμίας ἀπαλλάττηται, ἆρα τότε καὶ τῆς ὑγιείας ἀπαλλάττεται τῶν ὀφθαλμῶν, καὶ τελευτῶν ἅμα ἀμφοτέρων ἀπήλλακται;

---

*) γρ. ἕτερον· Σωκράτης — ὁμολογεῖ. ΚΑΛ. Οὐχ ὁμολογεῖ. ΣΩ. Οἶμαι κτλ.

Cal. Dicebam vero.

So. Num, quod diverſa eſſet fortitudo a ſcientia, duo haec ponebas?

Cal. Plane.

So. Quid? voluptas et ſcientia num idem ſunt an differunt?

Cal. Differunt ſane, o ſapientiſſime tu.

So. Num etiam fortitudinem diverſam ponis a voluptate?

Cal. Quippini?

So. Age ſis memoria hoc teneamus, Calliclem dixiſſe Acharneuſem iucundum et bonum idem eſſe, ſcientiam vero et fortitudinem et inter ſe et a bono diverſas.

Cal. Socrates autem nobis Alopecenſis non concedit haec? an concedit?

So. Non concedit, arbitror vero nec Calliclem, ſi ſe ipſe recte contemplatus fuerit. dic enim mihi: eis qui rem bene gerunt nonne cenſes contrarium accidere atque iſtis, qui male eam gerunt?

Cal. Ego vero.

So. Nonne haec, ſi inter ſe contraria ſunt, neceſſe eſt ſic habere, uti proſpera valitudo et morbus? neque enim ſimul valet et aegrotat homo, nec ſimul amittit valitudinem et morbum.

Cal. Quomodo dicis?

So. Quamcumque exempli cauſa corporis partem vis, eam ſume et conſidera. laborat fere homo ex oculis, quae quidem lippitudo dicitur.

Cal. Quippini?

So. Nec, opinor, ſanos ſimul illos habet.

Cal. Nullo ſane pacto.

So. Quid? quum lippitudinem amittit, num ſanitatem quoque tum amittit oculorum, ut tandem utrumque amiſerit?

ΚΑΛ. Ἥκιστά γε.

ΣΩ. Θαυμάσιον γάρ, οἶμαι, καὶ ἄλογον γίγνεται· ἢ γάρ;

* ΚΑΛ. Σφόδρα γε. E

ΣΩ. Ἀλλ' ἐν μέρει, οἶμαι, ἑκάτερον καὶ λαμβάνει καὶ ἀπολλύει.

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ ἰσχὺν καὶ ἀσθένειαν ὡσαύτως;

ΚΑΛ. Ναί.

ΣΩ. Καὶ τάχος καὶ βραδυτῆτα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἦ καὶ τἀγαθὰ καὶ τὴν εὐδαιμονίαν καὶ τἀναντία τούτων, κακά τε καὶ ἀθλιότητα, ἐν μέρει λαμβάνει καὶ ἐν μέρει ἀπαλλάττεται ἑκατέρου;

ΚΑΛ. Πάντως δήπου.

ΣΩ. Ἐὰν εὕρωμεν ἄρα ἅττα, ὧν ἅμα τε * ἀπαλλάττεται ἄνθρωπος καὶ ἅμα ἔχει, δῆλον ὅτι ταῦτά γε οὐκ ἂν εἴη τό τε ἀγαθὸν καὶ τὸ κακόν. ὁμολογοῦμεν ταῦτα; καὶ εὖ μάλα σκεψάμενος ἀποκρίνου. C

ΚΑΛ. Ἀλλ' ὑπερφυῶς ὡς ὁμολογῶ.

ΣΩ. Ἴθι δὴ ἐπὶ τὰ ἔμπροσθεν ὡμολογημένα. Τὸ πεινῆν ἔλεγες πότερον ἡδὺ ἢ ἀνιαρὸν εἶναι; αὐτὸ λέγω τὸ πεινῆν.

ΚΑΛ. Ἀνιαρὸν ἔγωγε· τὸ μέντοι πεινῶντα ἐσθίειν ἡδύ.

ΣΩ. Μαν*θάνω *)· ἀλλ' οὖν τό γε πεινῆν αὐτὸ ἀνιαρόν· ἢ οὐχί; D

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ τὸ διψῆν;

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Πότερον οὖν ἔτι πλείω ἐρωτῶ, ἢ ὁμολογεῖς ἅπασαν ἔνδειαν καὶ ἐπιθυμίαν ἀνιαρὸν εἶναι;

ΚΑΛ. Ὁμολογῶ, ἀλλὰ μὴ ἐρώτα.

ΣΩ. Εἶεν, διψῶντα δὲ δὴ πίνειν ἄλλο τι ἡδὺ φῃς εἶναι;

ΚΑΛ. Ἔγωγε.

---

*) γρ. ΣΩ. Τὸ μέντοι — ἡδύ. ΚΑΛ. Ἔγωγε. ΣΩ. Μανθάνω.

Cal. Minime vero.

So. Admirabile enim, opinor, et rationi haud consentaneum est; nonne?

Cal. Prorsus ita.

So. Sed alternis, opinor, utrumque et accipit et amittit.

Cal. Aio.

So. Nonne etiam robur et imbecillitatem similiter?

Cal. Vero.

So. Et celeritatem ac tarditatem?

Cal. Sane quidem.

So. Num etiam bona et beatam vitam eorumque contraria, mala et miseram vitam, alternis accipit et alternis amittit utrumque?

Cal. Prorsus ita est.

So. Quodsi igitur reperiamus aliqua, quae simul amittat homo simulque habeat, dubium non est quin haec quidem non sint bonum et malum. concedimus haec? et probe perscrutatus responde.

Cal. At mirifice concedo.

So. Aggredere dum ad ea quae supra concessimus. Esurire utrum dicebas iucundum an molestum esse? dico esurire per se.

Cal. Acerbum equidem dicebam, esurientem tamen edere iucundum.

So. Teneo; at esurire per se molestum est; nonne?

Cal. Aio.

So. Nonne etiam sitire?

Cal. Prorsus vero.

So. Num igitur etiam plura interrogem, an concedis, omnem indigentiam et cupiditatem acerbam esse?

Cal. Concedo; ne igitur interroga.

So. Iam vero sitientem bibere nonne iucundum dicis esse?

Cal. Ego vero.

ΣΩ. Οὐκοῦν τούτου οὐ λέγεις τὸ μὲν διψῶντα λυπούμενον δήπου ἐστίν;

* ΚΑΛ. Ναί. E

ΣΩ. Τὸ δὲ πίνειν πλήρωσίς τε τῆς ἐνδείας καὶ ἡδονή;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν κατὰ τὸ πίνειν χαίρειν λέγεις;

ΚΑΛ. Μάλιστα.

ΣΩ. Διψῶντα δὲ λυπούμενον *);

ΚΑΛ. Ναί.

ΣΩ. Αἰσθάνει οὖν τὸ ξυμβαῖνον, ὅτι λυπούμενον χαίρειν λέγεις ἅμα, ὅταν διψῶντα πίνειν λέγῃς; ἢ οὐχ ἅμα τοῦτο γίγνεται κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον **) εἴτε ψυχῆς εἴτε σώματος βούλει; οὐδὲν γάρ, οἶμαι, διαφέρει. ἔστι ταῦτα, ἢ οὔ;

ΚΑΛ. Ἔστιν.

ΣΩ. Ἀλλὰ μὴν εὖ γε πράττοντα κακῶς πράττειν ἅμα ἀδύνατον ἔφης εἶναι.

ΚΑΛ. Φημὶ γάρ.

* ΣΩ. Ἀνιώμενον δέ γε χαίρειν δυνατὸν ὡμολόγηκας. 497

ΚΑΛ. Φαίνεται.

ΣΩ. Οὐκ ἄρα τὸ χαίρειν ἐστὶν εὖ πράττειν οὐδὲ τὸ ἀνιᾶσθαι κακῶς, ὥςτε ἕτερον γίγνεται τὸ ἡδὺ τοῦ ἀγαθοῦ.

ΚΑΛ. Οὐκ οἶδ' ἅττα σοφίζει, ὦ Σώκρατες.

ΣΩ. Οἶσθα, ἀλλὰ ἀκκίζει, ὦ Καλλίκλεις. καὶ πρόϊθί γε ἔτι εἰς τοὔμπροσθεν [ὅτι ἔχων ληρεῖς], ἵνα εἰδῇς ὡς σοφὸς ὤν με νουθετεῖς. Οὐχ ἅμα διψῶν τε ἕκαστος ἡμῶν * πέπαυται καὶ ἅμα ἡδόμενος διὰ τοῦ πίνειν; B

ΚΑΛ. Οὐκ οἶδα ὅ τι λέγεις ***).

ΓΟΡ. Μηδαμῶς, ὦ Καλλίκλεις, ἀλλ' ἀποκρίνου καὶ ἡμῶν ἕνεκα, ἵνα περανθῶσιν οἱ λόγοι.

---

*) γρ. Διψῶντά γε φημὶ (ἄλλ. φῄς) λυπούμενον;
**) ἴσ. χρόνον καὶ τόπον.
***) ἴσ. ἔχων ληρεῖς.

So. Et eius, quod dicis, unum quidem, fitire, molestum haud dubie est?

Cal. Ita.

So. Alterum autem, bibere, expletio indigentiae et voluptas?

Cal. Ita.

So. Nonne, quatenus bibat, gaudere eum dicis?

Cal. Maxime.

So. Quatenus vero fitiat, dolere?

Cal. Ita.

So. Iamne intelligis quod confequitur, te dicere dolentem fimul gaudere, fi fitientem bibere dicas? annon fimul hoc evenit eodem et tempore et loco, five animi five corporis? nihil enim, opinor, differt. eftne ita, necne?

Cal. Eft vero.

So. Iam vero bene rem gerens ut male fimul eam gerat, fieri non poffe dicebas.

Cal. Dico vero.

So. Dolentem autem gaudere poffe conceffifti.

Cal. Patet.

So. Non eft ergo gaudere bene rem gerere, nec dolere male gerere: ut diverfum fit iucundum a bono.

Cal. Nefcio quid infipientiae comminifcare, Socrate.

So. Scis, at te fimulas nefcire, Callicle. iam progredere etiam ulterius, ut fcias quam fapiens tu fis, qui me admones. Nonne fimul fitire quisque noftrùm definit fimulque gaudere eo quod bibit?

Cal. Nefcio quid dicas *).

Gor. Ne ita, Callicle, fed refponde etiam noftra caufa, ut ad exitum perveniant fermones.

---

*) forf. *nugere.*

ΚΑΛ. Ἀλλ' ἀεὶ τοιοῦτός ἐστι Σωκράτης, ὦ Γοργία· σμικρὰ καὶ ὀλίγου ἄξια ἀνερωτᾷ καὶ ἐξελέγχει.

ΓΟΡ. Ἀλλὰ τί σοι διαφέρει; πάντως οὐ σὴ αὕτη ἡ τιμή, ὦ Καλλίκλεις· ἀλλ' ὑπόσχες Σωκράτει ἐξελέγξαι ὅπως ἂν βούλη*ται. C

ΚΑΛ. Ἐρώτα δὴ σὺ τὰ σμικρά τε καὶ στενὰ ταῦτα, ἐπείπερ Γοργίᾳ δοκεῖ οὕτως.

ΣΩ. Εὐδαίμων εἶ, ὦ Καλλίκλεις, ὅτι τὰ μεγάλα μεμύησαι πρὶν τὰ σμικρά· ἐγὼ δ' οὐκ ᾤμην θεμιτὸν εἶναι. Ὅθεν οὖν ἀπέλιπες, ἀποκρίνου, εἰ οὐχ ἅμα παύεται διψῶν ἕκαστος ἡμῶν καὶ ἡδόμενος.

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ πεινῶν καὶ τῶν ἄλλων ἐπιθυμιῶν καὶ ἡδονῶν ἅμα παύεται;

ΚΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Οὐκοῦν καὶ τῶν λυπῶν καὶ τῶν ἡδονῶν ἅμα *παύεται; D

ΚΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐχ ἅμα παύεται, ὡς σὺ ὡμολόγεις· νῦν δὲ οὐχ ὁμολογεῖς;

ΚΑΛ. Ἔγωγε· τί οὖν δή;

ΣΩ. Ὅτι οὐ ταὐτὰ γίγνεται, ὦ φίλε, τἀγαθὰ τοῖς ἡδέσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς· τῶν μὲν γὰρ ἅμα παύεται, τῶν δὲ οὔ, ὡς ἑτέρων ὄντων· πῶς οὖν ταὐτὰ ἂν εἴη τὰ ἡδέα τοῖς ἀγαθοῖς ἢ τὰ ἀνιαρὰ τοῖς κακοῖσιν; Ἐὰν δὲ βούλῃ, καὶ τῇδ' ἐπίσκεψαι· οἶμαι γάρ σοι οὐδὲ ταύτῃ ὁμολογεῖσθαι. ἄθρει * δή· τοὺς ἀγαθοὺς οὐχὶ ἀγα- E
θῶν παρουσίᾳ ἀγαθοὺς καλεῖς, ὥσπερ τοὺς καλούς, οἷς ἂν κάλλος παρῇ;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Τί δέ; ἀγαθοὺς ἄνδρας καλεῖς τοὺς ἄφρονας καὶ δειλούς; οὐ γὰρ ἄρτι γε, ἀλλὰ τοὺς ἀνδρείους καὶ φρονίμους ἔλεγες· ἢ οὐ τούτους ἀγαθοὺς καλεῖς;

ΚΑΛ. Πάνυ μὲν οὖν.

Cal. Semper tamen ita eſt Socrates, Gorgia: res minutas exiguique pretii rogat et redarguit.

Gor. At quid tua id refert? omnino non tibi hoc eſt damno, Callicle; itaque permitte Socrati redarguere quocumque modo voluerit.

Cal. Roga igitur minuta et anguſta illa, quoniam Gorgiae ita videtur.

So. Beatus es, Callicle, qui maioribus sacris initiatus ſis prius quam minoribus; equidem arbitrabar nefas id eſſe. Unde vero digreſſus es, eo te referens reſponde, annon ſimul deſinat ſitire quisque noſtrûm et gaudere?

Cal. Aio.

So. Nonne etiam eſurire, ceterasque cupiditates ac voluptates ſimul deſinit?

Cal. Sunt iſta.

So. Nonne etiam dolores et voluptates ſimul deſinit?

Cal. Ita.

So. Iam vero bona et mala non ſimul deſinit, ut tu concedebas; nunc autem non concedis?

Cal. Ego vero; ſed quorſum haec?

So. Ut probetur, o amice, non eadem eſſe bona et iucunda, neque mala et acerba; altera enim ſimul deſinit, altera non deſinit, quippe quae diverſa ſint; quî igitur eadem eſſe poſſint iucunda et bona vel acerba et mala? Si tibi videtur, etiam ſic perpende: arbitror enim te neque ſic illud conceſſurum eſſe. vide dum: bonos nonne, quod bona ipſis inſunt, bonos vocas, ſicut pulchros hos, quibus pulchritudo ineſt?

Cal. Ego vero.

So. Quid porro? bonos viros num dicis inſipientes et timidos? certe ante non dicebas, ſed fortes ac prudentes; annon hos appellas bonos?

Cal. Sane quidem.

ΣΩ. Τί δέ; παῖδα ἀνόητον χαίροντα ἤδη εἶδες;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἄνδρα δὲ οὔπω εἶδες ἀνόητον χαίροντα;

ΚΑΛ. Οἶμαι ἔγωγε· ἀλλὰ τί τοῦτο;

ΣΩ. Οὐδέν· ἀλλ' ἀποκρίνου.

ΚΑΛ. Εἶδον.

* ΣΩ. Τί δέ; νοῦν ἔχοντα λυπούμενον καὶ χαίροντα; 498

ΚΑΛ. Φημί.

ΣΩ. Πότεροι δὲ μᾶλλον χαίρουσι καὶ λυποῦνται, οἱ φρόνιμοι ἢ οἱ ἄφρονες;

ΚΑΛ. Οἶμαι ἔγωγε οὐ πολύ τι διαφέρειν.

ΣΩ. Ἀλλ' ἀρκεῖ καὶ τοῦτο. ἐν πολέμῳ δὲ ἤδη εἶδες ἄνδρα δειλόν;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί οὖν; ἀπιόντων τῶν πολεμίων πότεροί σοι ἐδόκουν μᾶλλον χαίρειν, οἱ δειλοὶ ἢ οἱ ἀνδρεῖοι;

ΚΑΛ. Ἀμφότεροι ἔμοιγε μᾶλλον, εἰ δὲ μή, παρα-*πλησίως γε. B

ΣΩ. Οὐδὲν διαφέρει. χαίρουσι δ' οὖν καὶ οἱ δειλοί;

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Καὶ οἱ ἄφρονες, ὡς ἔοικεν;

ΚΑΛ. Ναί.

ΣΩ. Προσιόντων δὲ οἱ δειλοὶ μόνον λυποῦνται, ἢ καὶ οἱ ἀνδρεῖοι;

ΚΑΛ. Ἀμφότεροι.

ΣΩ. Ἆρα ὁμοίως;

ΚΑΛ. Μᾶλλον ἴσως οἱ δειλοί.

ΣΩ. Ἀπιόντων δ' οὐ μᾶλλον χαίρουσιν;

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκοῦν λυποῦνται μὲν καὶ χαίρουσι καὶ οἱ ἄφρονες καὶ οἱ φρόνιμοι καὶ οἱ δειλοὶ καὶ οἱ ἀνδρεῖοι παραπλησίως, ὥς σύ φῃς, μᾶλλον * δὲ οἱ δειλοὶ τῶν ἀνδρείων; C

So. Quid? puerum dementem iam gaudentem vidifti?

Cal. Ego vero.

So. Virum autem nondum vidifti dementem, qui gauderet?

Cal. Puto equidem; fed quid hoc fibi vult?

So. Nihil, fed refponde.

Cal. Vidi.

So. Quid porro? prudentem, qui doleret ac gauderet?

Cal. Aio.

So. Utri vero magis gaudent ac dolent, prudentes an imprudentes?

Cal. Arbitror equidem non multum differre.

So. Sed fatis eft etiam hoc. in bello autem iamne vidifti virum timidum?

Cal. Quippini?

So. Quid? abeuntibus hoftibus utri tibi videbantur magis gaudere, timidi an fortes?

Cal. Utrique mihi magis, fin minus, fimiliter quidem.

So. Nihil differt. gaudent vero etiam timidi?

Cal. Vehementer quidem.

So. Etiam dementes, ut videtur?

Cal. Ita.

So. Accedentibus vero hoftibus num timidi tantum dolent, an etiam fortes?

Cal. Utrique.

So. Num aequaliter?

Cal. Magis forfitan timidi.

So. Abeuntibus autem non magis gaudent?

Cal. Profecto.

So. Nonne dolent et gaudent imprudentes ac prudentes, timidi ac fortes fimiliter, ut tu ais, magis vero timidi quam fortes?

ΚΑΛ. Φημί.

ΣΩ. Ἀλλὰ μὴν οἵ γε φρόνιμοι καὶ ἀνδρεῖοι ἀγαθοί, οἱ δὲ δειλοὶ καὶ ἄφρονες κακοί.

ΚΑΛ. Ναί.

ΣΩ. Παραπλησίως ἄρα χαίρουσι καὶ λυποῦνται οἱ ἀγαθοὶ καὶ οἱ κακοί.

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν παραπλησίως εἰσὶν ἀγαθοὶ καὶ κακοὶ οἱ ἀγαθοί τε καὶ οἱ κακοί, ἢ καὶ ἔτι μᾶλλον ἀγαθοὶ *) καὶ κακοί εἰσιν οἱ κακοί;

ΚΑΛ. Ἀλλὰ * μὰ Δί' οὐκ οἶδ' ὅ τι λέγεις. D

ΣΩ. Οὐκ οἶσθ' ὅτι τοὺς ἀγαθοὺς ἀγαθῶν φῂς παρουσίᾳ εἶναι ἀγαθούς, κακοὺς δὲ κακῶν, τὰ δὲ ἀγαθὰ εἶναι τὰς ἡδονάς, κακὰ δὲ τὰς ἀνίας;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν τοῖς χαίρουσι πάρεστι τἀγαθά, αἱ ἡδοναί, εἴπερ χαίρουσιν;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ἀγαθῶν παρόντων ἀγαθοί εἰσιν οἱ χαίροντες;

ΚΑΛ. Ναί.

ΣΩ. Τί δέ; τοῖς ἀνιωμένοις οὐ πάρεστι τὰ κακά, αἱ λῦπαι;

ΚΑΛ. Πάρεστιν.

ΣΩ. Κακῶν δέ γε * παρουσίᾳ φῂς σὺ εἶναι κακοὺς E τοὺς κακούς; ἢ οὐκέτι φῄς;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀγαθοὶ ἄρα οἳ ἂν χαίρωσι, κακοὶ δὲ οἳ ἂν ἀνιῶνται.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οἳ μέν γε μᾶλλον, μᾶλλον, οἳ δ' ἧττον, ἧττον, οἳ δὲ παραπλησίως, παραπλησίως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν φῂς παραπλησίως χαίρειν καὶ λυπεῖσθαι τοὺς φρονίμους καὶ τοὺς ἄφρονας, καὶ τοὺς δειλοὺς καὶ τοὺς ἀνδρείους, ἢ καὶ μᾶλλον ἔτι τοὺς δειλούς;

---

*) γρ. ἀγαθοὶ οἱ ἀγαθοί.

Cal. Aio.

So. Iam vero prudentes et fortes boni, timidi vero et imprudentes mali sunt.

Cal. Ita.

So. Similiter ergo gaudent et dolent boni et mali.

Cal. Aio.

So. Num igitur similiter boni et mali sunt boni et mali, an etiam magis boni et mali sunt ii qui mali sunt?

Cal. At mehercule nescio quid dicas.

So. Scin bonos te dicere eo quod bona iis adsint, bonos esse, malos vero eo, quod mala adsint, bona autem esse voluptates et mala dolores?

Cal. Ego vero.

So. Nonne iis, qui gaudent, adsunt bona, voluptates, si quidem gaudent?

Cal. Quippini?

So. Et bona quia adsunt boni sunt ii qui gaudent?

Cal. Ita.

So. Quid? dolentibus nonne adsunt mala, dolores?

Cal. Adsunt.

So. Mala vero quia adsint, dicis tu malos esse qui mali sint? an non amplius dicis?

Cal. Dico vero.

So. Boni igitur sunt qui gaudent, et mali qui dolent?

Cal. Sane quidem.

So. Et qui magis, magis, qui minus, minus, qui vero similiter, similiter?

Cal. Ita.

So. Nonne ais similiter gaudere et dolere prudentes et imprudentes, timidos et fortes, an etiam magis timidos?

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ξυλλόγισαι δὴ κοινῇ μετ' ἐμοῦ, τί ἡμῖν ξυμβαίνει ἐκ τῶν ὡμολογημένων· καὶ δὶς γάρ τοι καὶ τρίς φασι
καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ * ἐπισκοπεῖσθαι. Ἀγα- 499
θὸν μὲν εἶναι τὸν φρόνιμον καὶ ἀνδρεῖόν φαμεν· ἢ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Κακὸν δὲ τὸν ἄφρονα καὶ δειλόν;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἀγαθὸν δὲ αὖ τὸν χαίροντα;

ΚΑΛ. Ναί.

ΣΩ. Κακὸν δὲ τὸν ἀνιώμενον;

ΚΑΛ. Ἀνάγκη.

ΣΩ. Ἀνιᾶσθαι δὲ καὶ χαίρειν τὸν ἀγαθὸν καὶ κακὸν ὁμοίως, ἴσως δὲ καὶ μᾶλλον τὸν κακόν;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν ὁμοίως γίγνεται κακὸς καὶ ἀγαθὸς τῷ
ἀγαθῷ ἢ καὶ μᾶλλον ἀγα*θὸς ὁ κακός; οὐ ταῦτα ξυμβαί- B
νει καὶ τὰ πρότερα ἐκεῖνα, ἐάν τις ταὐτὰ φῇ ἡδέα τε καὶ
ἀγαθὰ εἶναι; οὐ ταῦτα ἀνάγκη, ὦ Καλλίκλεις;

ΚΑΛ. Πάλαι τοί σου ἀκροῶμαι, ὦ Σώκρατες, καθομολογῶν, ἐνθυμούμενος ὅτι, κἂν παίζων τίς σοι ἐνδῷ ὁτιοῦν, τούτου ἄσμενος ἔχει ὥσπερ τὰ μειράκια. ὡς δὴ σὺ οἴει ἐμὲ ἢ καὶ ἄλλον ὁντινοῦν ἀνθρώπων οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονάς, τὰς δὲ χείρους;

ΣΩ. Ἰοὺ ἰού, ὦ Καλλίκλεις, ὡς πανοῦργος εἶ καί * μοι C
ὥσπερ παιδὶ χρῇ, τοτὲ μὲν ταῦτα φάσκων οὕτως ἔχειν, τοτὲ δὲ
ἑτέρως, ἐξαπατῶν με! καίτοι οὐκ ᾤμην γε κατ' ἀρχὰς ὑπὸ σοῦ
ἑκόντος εἶναι ἐξαπατηθήσεσθαι, ὡς ὄντος φίλου· νῦν δὲ
ἐψεύσθην καί, ὡς ἔοικεν, ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον
τὸ παρὸν εὖ ποιεῖν καὶ τοῦτο δέχεσθαι τὸ διδόμενον παρὰ
σοῦ. Ἔστι δὲ δή, ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡδοναί τινές
εἰσιν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί· ἢ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν ἀγαθαὶ μὲν αἱ ὠφέ*λιμοι, κακαὶ δὲ αἱ D
βλαβεραί;

Cal. Ego vero.

So. Conclude iam communiter mecum; quid nobis ſequatur ex his conceſſis; enimvero bis et ter dicunt pulchrum eſſe pulchra dicere et perſcrutari. Bonum eſſe dicimus, qui prudens ac fortis ſit; nonne?

Cal. Ita.

So. Malum vero, qui imprudens et timidus?

Cal. Sane quidem.

So. Bonum porro eum qui gaudeat?

Cal. Ita.

So. Malum vero qui doleat?

Cal. Neceſſe eſt.

So. Dolere autem et gaudere bonum et malum aequaliter, fortaſſe magis etiam malum?

Cal. Ita.

So. Nonne igitur aequalis exſiſtit malus et bonus bono vel magis etiam bonus is qui malus eſt? nonne et haec sequuntur et priora illa, ſi quis eadem dicit iucunda et bona eſſe? nonne hoc neceſſe eſt, Callicle?

Cal. Iam dudum auſculto, Socrate, et concedo, mecum reputans, te, etiam ſi quis ludens tibi det aliquid, cupide hoc arripere ſicut pueros. putasne ſcilicet me et alium quemvis hominum non exiſtimare alias voluptates meliores, alias peiores?

So. Heu heu, Callicle, quam vafer es meque ut puerum tractas, modo dicens haec ita ſe habere, modo aliter, ut me decipias! quamquam non putabam initio te ultro me decepturum eſſe, quippe mihi amicum; nunc vero animus me feſellit et, ut patet, oportet me, veteri proverbio, id quod adeſt bene collocare et hoc accipere quod a te datur. Eſt vero, ut perſpicitur, quod nunc dicis hoc: voluptates eſſe alias bonas, alias malas; nonne?

Cal. Ita.

So. Num bonae ſunt utiles, malae vero perniciosae?

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ὠφέλιμοι δέ γε αἱ ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι;

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τὸ σῶμα ἃς νῦν δὴ ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς, εἰ ἄρα τούτων αἱ μὲν ὑγίειαν ποιοῦσιν ἐν τῷ σώματι ἢ ἰσχὺν ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων, κακαί;

ΚΑΛ. Πάνυ γε.

* *ΣΩ.* Οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἱ μὲν χρησταί εἰ- E
σιν, αἱ δὲ πονηραί;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τὰς δὲ πονηρὰς οὔ;

ΚΑΛ. Δῆλον δή.

ΣΩ. Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. Ἆρα καὶ σοὶ ξυνδοκεῖ οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκεν δεῖν πάντα τἆλλα πράττε-
σθαι, ἀλλ' οὐκ ἐκεῖ*νο τῶν ἄλλων; ξύμψηφος ἡμῖν εἶ καὶ 500
σὺ ἐκ τρίτων;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον;

ΚΑΛ. Τεχνικοῦ.

ΣΩ. Ἀναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέγων. ἔλεγον γάρ, εἰ μνημονεύεις, ὅτι
εἶεν παρα*σκευαὶ αἱ μὲν μέχρι ἡδονῆς, αὐτὸ τοῦτο μόνον B

Cal. Sane quidem.

So. Utiles autem quae boni quid efficiunt, et malae, quae mali quid procreant?

Cal. Aio.

So. Num igitur huiusmodi voluptates dicis, velut in corpore quas modo memoravimus edendi et bibendi voluptates: ſi videlicet earum aliae ſanitatem corpori concilient vel robur vel aliam quampiam virtutem corporis efficiant, has eſſe bonas, et quae illorum contraria, malas?

Cal. Sane quidem.

So. Nonne etiam dolores eadem ratione partim proſunt partim nocent?

Cal. Quippini?

So. Nonne utiles et voluptates et dolores eligi atque effici oportet?

Cal. Sane quidem.

So. Perniciosa vero reiici?

Cal. Non eſt dubium.

So. Enimvero bonorum cauſa omnia nobis viſum eſt faciunda eſſe, ſi recordaris, mihi et Polo. Num etiam tibi ita videtur, finem eſſe omnium quae ſaciamus bonum et huius cauſa oportere reliqua omnia ſieri, non hoc reliquorum cauſa? tune quoque in ſententiam noſtram diſcedis tertius?

Cal. Ego vero.

So. Bonorum igitur cauſa quum cetera tum iucunda facienda ſunt, non bona iucundorum cauſa.

Cal. Sane quidem.

So. Numquid cuiusvis viri eſt eligere, quae bona ſint ex iucundis et quae mala, an artifice opus eſt ad unumquodque?

Cal. Artifice.

So. Recordemur igitur quae item ego Polo et Gorgiae dixi; dixi enim, ſi meminiſti, eſſe inſtituta, quorum alia ad voluptatem pertinerent, hoc ipſum tantum

παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον, αἱ δὲ γιγνώσκουσαι ὅ τί τε ἀγαθὸν καὶ ὅ τι κακόν· καὶ ἐτίθην τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν κατὰ τὸ σῶμα ἐμπειρίαν, ἀλλ' οὐ τέχνην, τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην. Καὶ πρὸς Φιλίου, ὦ Καλλίκλεις, μήτε αὐτὸς οἴου δεῖν πρὸς ἐμὲ παίζειν μηδ' ὅ τι ἂν τύχῃς παρὰ τὰ δοκοῦντα ἀποκρίνου, μήτ' αὖ τὰ παρ' ἐμοῦ οὕτως ἀπο*δέχου ὡς παίζοντος. ὁρᾷς γὰρ ὅτι περὶ τούτου C
ἡμῖν εἰσὶν οἱ λόγοι, οὗ τί ἂν μᾶλλον σπουδάσειέ τις καὶ σμικρὸν νοῦν ἔχων ἄνθρωπος, ἢ τοῦτο, ὅντινα χρὴ τρόπον ζῆν, πότερον ἐπὶ ὃν σὺ παρακαλεῖς ἐμέ, τὰ τοῦ ἀνδρὸς δὴ ταῦτα πράττοντα λέγοντά τε ἐν τῷ δήμῳ καὶ ῥητορικὴν ἀσκοῦντα καὶ πολιτευόμενον τοῦτον τὸν τρόπον ὃν ὑμεῖς νῦν πολιτεύεσθε, ἢ ἐπὶ τόνδε τὸν βίον τὸν ἐν φιλοσοφίᾳ, καὶ τί ποτ' ἐστὶν οὗτος ἐκείνου διαφέρων. Ἴσως οὖν βέλτιστόν ἐστιν, ὡς ἄρτι ἐγὼ ἐπεχείρη*σα, διαι- D
ρεῖσθαι, διελομένους δὲ καὶ ὁμολογήσαντας ἀλλήλοις, εἰ ἔστι τούτω διττὼ τὼ βίω, σκέψασθαι τί τε διαφέρετον ἀλλήλοιν καὶ ὁπότερον βιωτέον αὐτοῖν. Ἴσως οὖν οὔπω οἶσθα τί λέγω.

ΚΑΛ. Οὐ δῆτα.

ΣΩ. Ἀλλ' ἐγώ σοι σαφέστερον ἐρῶ. ἐπειδὴ ὡμολογήκαμεν ἐγώ τε καὶ σὺ εἶναι μέν τι ἀγαθόν, εἶναι δέ τι ἡδύ, ἕτερον δὲ τὸ ἡδὺ τοῦ ἀγαθοῦ, ἑκατέρου δὲ αὐτοῖν μελέτην τινὰ εἶναι καὶ παρασκευὴν τῆς κτήσεως, τὴν μὲν τοῦ ἡδέος θήραν, τὴν δὲ τοῦ ἀγαθοῦ· αὐ*τὸ δέ *) μοι E
τοῦτο πρῶτον ἢ ξύμφαθι ἢ μὴ ξυμφῇς.

ΚΑΛ. Οὕτω φημί.

ΣΩ. Ἴθι δή, ἃ καὶ πρὸς τούσδε ἐγὼ ἔλεγον, διομολόγησαί μοι, εἰ ἄρα σοι ἔδοξα τότε ἀληθῆ λέγειν. ἔλεγον δήπου **) ὅτι ἡ μὲν ὀψοποιϊκὴ οὔ μοι δοκεῖ τέχνη εἶναι, ἀλλ' ἐμπειρία, ἡ δ' ἰατρική, λέγων * ὅτι ἡ μὲν τούτου οὗ 501

*) γρ. δή.
**) γρ. δέ που.

inſtituentia, ignorantia vero melius et peius, alia autem cognoſcerent, quid bonum et quid malum eſſet; atque retuli in iſta quae ad voluptates ſpectarent easque corporis, coquinariam peritiam, non artem, in ea vero, quae boni rationem haberent, medicinam artem. Et per amicitiae praeſidem, Callicle, neque ipſe exiſtima oportere te mecum iocari, nec, quicquid eſt, praeter ſententiam tuam reſponde, neque rurſus ea quae dico ita accipe quaſi iocer. vides enim de hoc nobis ſuſceptam eſſe orationem, quo quid erit, ad quod magis omne ſtudium conferat homo vel parum intelligens? nimirum de hoc, qua oporteat ratione vivi, utrum ea, ad quam tu me excitas, ut viri ſcilicet res illas geram, apud populum dicam, rhetoricam factitem et in res civilis incumbam hoc modo, quo vos nunc incumbitis, an hac, ad quam philoſophia cohortatur, et quid tandem inter hanc et illam differat. Fortaſſe igitur optimum eſt, ut modo inſtitui, distinguere, et poſtquam distinximus interque nos convenimus, num bina haec ſint vitae genera, anquirere quomodo differant inter ſe et utrum nos ſequi oporteat. Fortaſſe autem nondum intelligis quid dicam.

Cal. Nondum vero.

So. Itaque clarius tibi dicam. quum conceſſerimus ego et tu, eſſe aliquod bonum, eſſe etiam aliquod iucundum, diverſum autem iucundum a bono, et utriusque ſtudium quoddam et inſtitutum eſſe quo acquirantur, unum quod iucundum ſectetur, alterum quod bonum: hoc ipſum vero primum vel dic vel nega.

Cal. Ita dico.

So. Age dum, de eis quae hisce quoque dixi, mecum conveni, num tibi viſus ſim vera dicere. dixi enim coquinariam non mihi videri artem eſſe, ſed peritiam, medicinam vero artem eſſe, ponens hanc eius quod

θεραπεύει καὶ τὴν φύσιν ἔσκεπται καὶ τὴν αἰτίαν ὧν πράττει, καὶ λόγον ἔχει τούτων ἑκάστου δοῦναι, ἡ ἰατρική, ἡ δ' ἑτέρα τῆς ἡδονῆς, πρὸς ἣν ἡ θεραπεία αὐτῇ ἐστὶν ἅπασα, κομιδῇ ἀτέχνως ἐπ' αὐτὴν ἔρχεται, οὔτε τι τὴν φύσιν σκεψαμένη τῆς ἡδονῆς οὔτε τὴν αἰτίαν, ἄλογός τε παντάπασιν, ὡς ἔπος εἰπεῖν, οὐδὲν διαριθμησαμένη, τριβῇ καὶ ἐμπειρίᾳ, μνήμην *) μόνον σωζομένη τοῦ εἰωθότος γίγνεσθαι, ᾧ δὴ καὶ πο*ρίζεται τὰς ἡδονάς. Ταῦτ' οὖν πρῶτον σκό- B
πει εἰ δοκεῖ σοι ἱκανῶς λέγεσθαι, καὶ εἶναί τινες καὶ περὶ τὴν **) ψυχὴν τοιαῦται ἄλλαι πραγματεῖαι, αἱ μὲν τεχνικαί, προμήθειάν τινα ἔχουσαι τοῦ βελτίστου περὶ τὴν ψυχήν, αἱ δὲ τούτου μὲν ὀλιγωροῦσαι, ἐσκεμμέναι δ' αὖ, ὥσπερ ἐκεῖ, τὴν ἡδονὴν μόνον τῆς ψυχῆς, τίνα ἂν αὐτῇ τρόπον γίγνοιτο, ἥτις δὲ ἢ βελτίων ἢ χείρων τῶν ἡδονῶν, οὔτε σκοπούμεναι, οὔτε μέλον αὐταῖς ἄλλο ἢ χαρίζεσθαι μόνον, * εἴτε βέλτιον εἴτε χεῖρον. ἐμοὶ μὲν γάρ, ὦ Καλ- C
λίκλεις, δοκοῦσί τε εἶναι, καὶ ἔγωγέ φημι τὸ τοιοῦτον κολακείαν εἶναι καὶ περὶ σῶμα καὶ περὶ ψυχὴν καὶ περὶ ἄλλο, ὅτου ἄν τις τὴν ἡδονὴν θεραπεύῃ ἀσκέπτως ἔχων τοῦ ἀμείνονός τε καὶ τοῦ χείρονος· σὺ δὲ δὴ πότερον ξυγκατατίθεσαι ἡμῖν περὶ τούτων τὴν αὐτὴν δόξαν ἢ ἀντιφής;

ΚΑΛ. Οὐκ ἔγωγε, ἀλλὰ ξυγχωρῶ, ἵνα σοι καὶ περανθῇ ὁ λόγος καὶ Γοργίᾳ τῷδε χαρίσωμαι.

ΣΩ. Πότε*ρον δὲ περὶ μὲν μίαν ψυχήν ἐστι τοῦτο, D
περὶ δὲ δύο καὶ πολλὰς οὐκ ἔστιν;

ΚΑΛ. Οὔκ, ἀλλὰ καὶ περὶ δύο καὶ περὶ πολλάς.

ΣΩ. Οὐκοῦν καὶ ἀθρόαις ἅμα χαρίζεσθαι ἔστι μηδὲν σκοπούμενον τὸ βέλτιστον;

ΚΑΛ. Οἶμαι ἔγωγε.

ΣΩ. Ἔχεις οὖν εἰπεῖν αἵτινές εἰσιν αἱ ἐπιτηδεύσεις αἱ τοῦτο ποιοῦσαι; μᾶλλον δέ, εἰ βούλει, ἐμοῦ ἐρωτῶντος, ἣ μὲν ἄν σοι δοκῇ τούτων εἶναι, φαθί, ἣ δ' ἂν μή,

*) γρ. μνήμη.
**) γρ. περὶ ψυχήν.

curaret et naturam perſpectam habere et cauſam, cur quodque faceret, et rationem poſſe cuiusque rei reddere, medicinam videlicet, alteram vero ad voluptatem, in qua omnis eius cura verſaretur, ſine ulla arte aggredi, quippe quae neque naturam voluptatis perſpectam haberet neque cauſam, rationisque expers et nihil propemodum dinumerans peritia et exercitatio eſſet, memoriam tantum conſervans eorum quae fieri ſolerent, quibus quidem etiam pararet voluptates. Haec igitur primum vide num tibi ſatisfaciant et alia quaedam cenſeas eſſe etiam ad animum ſpectantia huiusmodi ſtudia, alia artificioſa, quae proſpiciant animi commodo, alia hoc parum curantia, itemque, ut ibi, ad voluptatem tantum animi ſpectantia quomodo haec exſiſtat, id vero, quae melior ſit e voluptatibus quaeve peior, non reſpicientia, quippe quibus nihil aliud propoſitum ſit niſi gratificari tantum, ſive bonum id ſit ſive malum. mihi enim, Callicle, et videntur haec eſſe et arbitror equidem hoc eſſe adulationem et in corpus et in animum et in quodcumque aliud, cuius quisquam voluptatem curet, non laborans de bono et malo; tu vero utrum in eandem ac nos ſententiam de his deſcendis, an contra dicis?

Cal. Non contra dico, ſed concedo, quo ſcilicet ſermo tibi ad exitum perveniat et Gorgiae huic gratificer.

So. Utrum uni animo hoc facere licet, duobus autem vel pluribus non licet?

Cal. Non ita, ſed duobus quoque et pluribus.

So. Nonne multis ſimul gratificari licet, nulla eius quod optimum eſt ratione habita?

Cal. Arbitror equidem.

So. Habesne iam dicere quae ſint illa ſtudia quae hoc efficiant? vel potius, ſi vis, me interrogante, quodcumque tibi videtur in haec referendum eſſe, dic, quod-

μὴ φαθί. Πρῶτον δὲ σκεψώμεθα τὴν αὐλητι*κήν. οὐ δοκεῖ E
σοι τοιαύτη τις εἶναι, ὦ Καλλίκλεις, τὴν ἡδονὴν ἡμῶν μόνον διώκειν, ἄλλο δ' οὐδὲν φροντίζειν;

ΚΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν καὶ αἱ τοιαίδε ἅπασαι, οἷον ἡ κιθαριστικὴ ἡ ἐν τοῖς ἀγῶσιν;

ΚΑΛ. Ναί.

ΣΩ. Τί δὲ ἡ τῶν χορῶν διδασκαλία καὶ ἡ τῶν διθυράμβων ποίησις; οὐ τοιαύτη τίς σοι καταφαίνεται; ἢ ἡγεῖ τι φροντίζειν Κινησίαν τὸν Μέλητος, ὅπως ἐρεῖ τι τοιοῦτον, ὅθεν ἂν οἱ ἀκούοντες βελτίους γίγνοιντο, ἢ ὅ τι
μέλλει χαριεῖσθαι * τῷ ὄχλῳ τῶν θεατῶν; 502

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, Κινησίου γε πέρι.

ΣΩ. Τί δὲ ὁ πατὴρ αὐτοῦ Μέλης; ἢ πρὸς τὸ βέλτιστον βλέπων ἐδόκει σοι κιθαρῳδεῖν; ἢ ἐκεῖνος μὲν οὐδὲ πρὸς τὸ ἥδιστον; ἠνία γὰρ ᾄδων τοὺς θεατάς. ἀλλὰ δὴ σκόπει· οὐχὶ ἥ τε κιθαρῳδικὴ δοκεῖ σοι πᾶσα καὶ ἡ τῶν διθυράμβων ποίησις ἡδονῆς χάριν εὑρῆσθαι;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυ*μαστή, ἡ τῆς B
τραγῳδίας ποίησις; ἐφ' ᾧ ἐσπούδακε; πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχείρημα καὶ ἡ σπουδὴ [ὡς σοὶ δοκεῖ] χαρίζεσθαι τοῖς θεαταῖς μόνον, ἢ καὶ διαμάχεσθαι, ἐάν τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον, πονηρὸν δέ, ὅπως τοῦτο μὲν μὴ ἐρεῖ, εἰ δέ τι τυγχάνει ἀηδὲς καὶ ὠφέλιμον, τοῦτο δὲ καὶ λέξει καὶ ᾄσεται, ἐάν τε χαίρωσιν ἐάν τε μή; ποτέρως σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις;

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὅτι πρὸς
*τὴν ἡδονὴν μᾶλλον ὥρμηται καὶ τὸ χαρίζεσθαι τοῖς C
θεαταῖς.

ΣΩ. Οὐκοῦν τὸ τοιοῦτον, ὦ Καλλίκλεις, ἔφαμεν νῦν δὴ κολακείαν εἶναι;

cumque non videtur, nega. Primum videamus tibiam inflandi artem. nonne videtur tibi talis esse, Callicle, quae voluptatem nostram tantum sectetur, nec aliud quid respiciat?

Cal. Mihi quidem videtur.

So. Nonne etiam omnes huiusmodi artes, veluti citharam pulsandi ars in certaminibus?

Cal. Ita.

So. Quid chororum institutio et dithyrambica poesis? nonne talis tibi videtur? an putas curare Cinesiam Meletis filium, ut talia dicat, quibus audientes meliores exsistant, an quibus gratificari possit turbae spectatorum?

Cal. Dubitari id quidem nequit, Socrate, certe de Cinesia.

So. Quid pater illius Meles? num optimi ratione habita visus tibi est ad citharae modos canere? an ille ne iucunditatis quidem rationem habuit? offendebat enim canens auditores. attamen vide: nonne citharoedica ars universa et dithyrambica poesis tibi videntur voluptatis causa inventae esse?

Cal. Mihi vero.

So. Quid augusta illa et admirabilis ars, tragica poesis? in quid incumbit? utrum eius inceptum et studium hoc est, ut gratificetur tantum spectatoribus, an etiam hoc contendit, ut, si quid his iucundum quidem sit atque gratum, sed nocens, hoc non proferat, sin autem aliquid iniucundum, at utile sit, hoc et dicat et canat, sive gaudeant illi sive non gaudeant? utro tibi videtur modo comparata esse tragica poesis?

Cal. Perspicuum hoc quidem est, Socrate, eam ad voluptatem magis tendere et eo, ut gratificetur spectatoribus.

So. Nonne hoc, Callicle, diximus modo adulationem esse?

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, ἄλλο τι λόγοι γίγνονται τὸ λειπόμενον;

ΚΑΛ. Ἀνάγκη.

ΣΩ. Οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον οὗτοι λέγονται οἱ λόγοι;

ΚΑΛ. Φημί.

ΣΩ. Δημηγορία ἄρα τίς ἐστιν ἡ * ποιητική. D

ΚΑΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ῥητορικὴ *) δημηγορία ἂν εἴη· ἢ οὐ ῥητορεύειν δοκοῦσί σοι οἱ ποιηταὶ ἐν τοῖς θεάτροις;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Νῦν ἄρα ἡμεῖς εὑρήκαμεν ῥητορικήν τινα πρὸς δῆμον τοιοῦτον οἷον παίδων τε ὁμοῦ καὶ γυναικῶν καὶ ἀνδρῶν, καὶ δούλων καὶ ἐλευθέρων, ἣν οὐ πάνυ ἀγάμεθα· κολακικὴν γὰρ αὐτήν φαμεν εἶναι.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Εἶεν, τί δὲ ἡ πρὸς τὸν Ἀθηναίων δῆμον ῥητορικὴ καὶ τοὺς ἄλλους τοὺς ἐν ταῖς πό*λεσι δήμους τοὺς τῶν E ἐλευθέρων ἀνδρῶν, τί ποτε ἡμῖν αὕτη ἐστί; πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὐτῶν λόγους, ἢ καὶ οὗτοι πρὸς τὸ χαρίζεσθαι τοῖς πολίταις ὡρμημένοι καὶ ἕνεκα τοῦ ἰδίου τοῦ αὑτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ ὥςπερ παισὶ προσομιλοῦσι τοῖς δήμοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον, εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτ᾽, * οὐδὲν φροντίζουσιν; 503

ΚΑΛ. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς· εἰσὶ μὲν γὰρ οἳ κηδόμενοι τῶν πολιτῶν λέγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις.

ΣΩ. Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν, τὸ μὲν ἕτερόν που τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία, τὸ δ᾽ ἕτερον καλόν, τὸ παρασκευάζειν ὅπως ὡς βέλτισται

---

*) γρ. ἡ ῥητορική.

Cal. Sane quidem.

So. Age dum, si quis eximat e poesi universa modos, numerum et versus, nonne orationes erunt id quod relinquitur?

Cal. Necesse est.

So. Nonne apud multam turbam et populum hae dicuntur orationes?

Cal. Aio.

So. Concionandi ergo ars quaedam est poetica.

Cal. Patet.

So. Itaque oratoria erit ars concionandi; annon orare tibi videntur poetae in theatris?

Cal. Mihi vero.

So. Nunc igitur reperimus orandi aliquam artem apud eiusmodi populum qui pueris simul et mulieribus et viris constet, tum servis tum liberis, quam non valde probamus; adulari enim eam dicimus.

Cal. Sane quidem.

So. Iam vero rhetorica illa apud Atheniensium populum ceterosque in civitatibus populos liberorum virorum, quid tandem nobis haec est? utrum tibi videntur optimi cuiusque causa dicere rhetores, spectantes ut cives quam optimi exsistant suis orationibus, an etiam hi id contendunt, ut gratificentur civibus, et propter suum proprium commodum parum curantes commune ut pueros tractant populos, gratificari tantum iis conantes, de hoc autem, num meliores futuri sint an peiores per haec, nihil laborantes?

Cal. Iam hoc non est simplex quod quaeris; sunt enim qui prospicientes civibus dicant quae dicant, sunt vero etiam tales quales tu dicis.

So. Satis est. nam etiamsi hoc est duplex, unum tamen eius adulatio erit turpisque concionandi ratio, alterum vero pulchrum, nempe hoc efficere ut quam

ἔσονται τῶν πολιτῶν αἱ ψυχαί, καὶ ἀεὶ διαμάχεσθαι λέγοντα τὰ βέλτιστα, εἴτε ἡδίω εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούου*σιν. ἀλλ' οὐ πώποτε σὺ ταύτην εἶδες τὴν ῥητορικήν· B
ἢ εἴ τινα ἔχεις τῶν ῥητόρων τοιοῦτον εἰπεῖν, τί οὐχὶ καὶ ἐμοὶ αὐτὸν ἔφρασας τίς ἐστιν;

ΚΑΛ. Ἀλλὰ μὰ Δί' οὐκ ἔχω ἔγωγέ σοι εἰπεῖν τῶν γε νῦν ῥητόρων οὐδένα.

ΣΩ. Τί δέ; τῶν παλαιῶν ἔχεις τιν' εἰπεῖν δι' ὅντινα αἰτίαν ἔχουσιν Ἀθηναῖοι βελτίους γεγονέναι, ἐπειδὴ ἐκεῖνος ἤρξατο δημηγορεῖν, ἐν τῷ πρόσθεν χρόνῳ χείρους ὄντες; ἐγὼ μὲν γὰρ * οὐκ οἶδα τίς ἐστιν οὗτος. C

ΚΑΛ. Τί δέ; Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα καὶ Κίμωνα καὶ Μιλτιάδην καὶ Περικλέα τουτονὶ τὸν νεωστὶ τετελευτηκότα, οὗ καὶ σὺ ἀκήκοας;

ΣΩ. Εἰ ἔστι γε, ὦ Καλλίκλεις, ἣν πρότερον σὺ ἔλεγες ἀρετήν, ἀληθής, τὸ τὰς ἐπιθυμίας ἀποπιμπλάναι καὶ τὰς αὑτοῦ καὶ τὰς τῶν ἄλλων· εἰ δὲ μὴ τοῦτο, ἀλλ' ὅπερ ἐν τῷ ὑστέρῳ λόγῳ ἠναγκάσθημεν ἡμεῖς ὁμολογεῖν, ὅτι αἳ μὲν τῶν ἐπιθυμιῶν πληρούμεναι βελτίω ποιοῦσι τὸν ἄν*θρωπον, ταύτας μὲν ἀποτελεῖν, αἳ δὲ χείρω, μή· τούτου D
δὲ τέχνη τις εἶναι *)· τοιοῦτον ἄνδρα τούτων τινὰ γεγονέναι ἔχεις εἰπεῖν;

ΚΑΛ. Οὐκ ἔχω ἔγωγε πῶς εἴπω.

ΣΩ. Ἀλλ' ἐὰν ζητῇς καλῶς, εὑρήσεις. ἴδωμεν δὴ οὑτωσὶ ἀτρέμα σκοπούμενοι εἴ τις τούτων τοιοῦτος γέγονε. φέρε γάρ, ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλτιστον λέγων ἃ ἂν λέγῃ ἄλλο τι * οὐκ εἰκῇ ἐρεῖ, ἀλλ' ἀποβλέπων πρός τι; E
ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοί, βλέποντες πρὸς τὸ ἑαυτῶν ἔργον ἕκαστος, οὐκ εἰκῇ ἐκλεγόμενος προσφέρει ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὑτοῦ, ἀλλ' ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται. οἷον εἰ βούλει ἰδεῖν τοὺς ζωγράφους, τοὺς οἰκοδόμους, τοὺς ναυπηγούς, τοὺς ἄλλους πάντας δημιουργούς, ὅντινα βούλει αὐτῶν, ὡς εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν ὃ ἂν τιθῇ, καὶ προς-

---

*) ἴσ. τοῦτο δὲ τέχνης εἶναι.

optimi exſiſtant civium animi ſemperque id contendere ut dicat optima, ſive iucunda ſive iniucunda ſint audientibus. at numquam tu hanc vidiſti rhetoricam, vel ſi quem potes rhetorum dicere qui talis ſit, quin tu mihi quoque dicis quis ſit?

Cal. At mehercule non poſſum equidem tibi dicere aliquem de his qui nunc ſunt rhetoribus.

So. Quid? de priſcis num habes aliquem dicere, per quem dici poſſint Athenienſes meliores facti eſſe, poſtquam incepiſſet concionari, quum antea peiores fuiſſent? equidem neſcio quis ſit hic.

Cal. Quid? Themiſtoclem nonne audiſti virum bonum fuiſſe et Cimonem et Miltiadem et Periclem illum non ita pridem mortuum, quem tu quoque audiſti?

So. Sane quidem, ſi, Callicle, quam tu prius dixiſti virtutem, haec vera eſt: cupiditates explere et ſuas et ceterorum; ſin non hoc eſt, ſed id, quod in poſteriore ſermone coacti ſumus concedere, eis videlicet cupiditatibus, quibus expletis meliores exſiſtant homines, ſatisfacere, quibus autem deteriores, his non indulgere, idque artis eſſe opus: num eiusmodi virum de his aliquem fuiſſe potes dicere?

Cal. Non habeo equidem quid dicam.

So. At ſi quaeras pulchre, invenies. videamus igitur ſic placide perpendentes, an quis horum talis fuerit. age enim, vir bonus et optimi cauſa dicens quae dicit nonne verba faciet haud temere, ſed reſpiciens aliquid? quemadmodum etiam reliqui opifices omnes, ſuum quisque opus reſpiciens, non temere ſumentes adhibent quicquid adhibent operi ſuo, ſed hoc conſilio, ut formam aliquam habeat id quod fabricantur. ſi exempli cauſa conſiderare vis pictores, architectos, navium fabricatores, quemcumque alium volueris opificem, quomodo ordine quodam quisque quidque ponat eorum

ἀναγκάζει τὸ ἕτερον τῷ ἑτέρῳ πρέπον τε εἶναι καὶ ἁρμόττ-
ειν, ἕως * ἂν τὸ ἅπαν ξυστήσηται τεταγμένον τε καὶ κε- 504
κοσμημένον πρᾶγμα· καὶ οἵ τε δὴ ἄλλοι δημιουργοὶ καὶ οὓς
νῦν δὴ ἐλέγομεν, οἱ περὶ τὸ σῶμα παιδοτρίβαι τε καὶ ἰα-
τροί, κοσμοῦσί που τὸ σῶμα καὶ ξυντάττουσιν. ὁμολογοῦ-
μεν οὕτω τοῦτ' ἔχειν ἢ οὔ;

ΚΑΛ. Ἔστω τοῦτο οὕτως.

ΣΩ. Τάξεως ἄρα καὶ κόσμου τυχοῦσα οἰκία χρηστὴ ἂν εἴη, ἀταξίας δὲ μοχθηρά;

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ πλοῖον ὡσαύ*τως; B

ΚΑΛ. Ναί.

ΣΩ. Καὶ μὴν καὶ τὰ σώματά φαμεν τὰ ἡμέτερα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τί δ'; ἡ ψυχὴ ἀταξίας τυχοῦσα ἔσται χρηστή, ἢ τάξεώς τε καὶ κόσμου τινός;

ΚΑΛ. Ἀνάγκη ἐκ τῶν ἔμπροσθεν καὶ τοῦτο ξυνομολογεῖν.

ΣΩ. Τί οὖν ὄνομά ἐστιν ἐν τῷ σώματι τῷ ἐκ τῆς τάξεώς τε καὶ τοῦ κόσμου γιγνομένῳ;

ΚΑΛ. Ὑγίειαν καὶ ἰσχὺν ἴσως λέγεις.

ΣΩ. Ἔγωγε. τί δὲ αὖ τῷ ἐν τῇ ψυ*χῇ ἐγγιγνομένῳ C
ἐκ τῆς τάξεως καὶ τοῦ κόσμου; πειρῶ εὑρεῖν καὶ εἰπεῖν ὥσπερ ἐκείνῳ τὸ ὄνομα.

ΚΑΛ. Τί δὲ οὐκ αὐτὸς λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἀλλ' εἴ σοι ἥδιόν ἐστιν, ἐγὼ ἐρῶ· σὺ δ', ἂν μέν σοι δοκῶ ἐγὼ καλῶς λέγειν, φαθί, εἰ δὲ μή, ἔλεγχε καὶ μὴ ἐπίτρεπε. Ἔμοιγε δοκεῖ ταῖς μὲν τοῦ σώματος τάξεσιν ὄνομα εἶναι ὑγιεινόν, ἐξ οὗ ἐν αὐτῷ ἡ ὑγίεια γίγνεται καὶ ἡ ἄλλη ἀρετὴ τοῦ σώματος. ἔστι ταῦτα ἢ οὐκ ἔστιν;

ΚΑΛ. Ἔστιν.

* ΣΩ. Ταῖς δὲ τῆς ψυχῆς τάξεσί τε καὶ κοσμήσεσι νόμι- D
μόν τε καὶ νόμος, ὅθεν καὶ νόμιμοι γίγνονται καὶ κόσμιοι· ταῦτα δ' ἔστι δικαιοσύνη τε καὶ σωφροσύνη· φῂς ἢ οὔ;

ΚΑΛ. Ἔστω.

quae ponat, cogatque alterum alteri conveniens esse atque congruere, donec universum composuerit ordinatum atque ornatum opus; et quum ceteri opifices tum quos modo memoravimus, in corporis cura versantes palaestrae magistri et medici ornant sane corpus et ordinant. concedimus ita se hoc habere, necne?

Cal. Esto hoc ita.

So. Ordinem igitur et ornatum nacta domus bona erit, ordine vero carens mala?

Cal. Aio.

So. Nonne etiam navigium similiter?

Cal. Ita.

So. Quin etiam corpora dicimus nostra ita habere?

Cal. Sane quidem.

So. Quid? animus num ordine carens bonus erit, an ordinis et ornatus cuiusdam particeps?

Cal. Necesse est e praegressis etiam hoc concedere.

So. Quodnam vero est ei nomen quod in corpore ex ordine et ornatu innascitur?

Cal. Sanitatem et robur, ni fallor, dicis.

So. Ego vero. quodnam autem ei quod in animo innascitur ex ordine et ornatu? conare reperire ac dicere, sicut illius nomen.

Cal. Cur non ipse dicis, Socrate?

So. Immo si tibi magis commodum hoc est, ego dicam, et tu, si tibi videor recte dicere, affirma, sin minus, refelle nec permitte. Mihi quidem videtur cuique corporis ordini nomen esse sani, unde in ipso sanitas exsistat et reliqua virtus corporis. estne hoc ita necne?

Cal. Est ita.

So. Animi vero ordini et ornatui nomen legitimi ac legis, unde etiam legitimi exsistunt et ornati; hae autem sunt iustitia et temperantia; ais necne?

Cal. Esto.

ΣΩ. Οὐκοῦν πρὸς ταῦτα βλέπων ὁ ῥήτωρ ἐκεῖνος ὁ τεχνικός τε καὶ ἀγαθὸς καὶ τοὺς λόγους προσοίσει ταῖς ψυχαῖς οὓς ἂν λέγῃ καὶ τὰς πράξεις ἁπάσας, καὶ δῶρον ἐάν τι διδῷ, δώσει, καὶ ἐάν τι ἀφαιρῆται, ἀφαιρήσεται, πρὸς τοῦτο ἀεὶ τὸν νοῦν ἔχων, ὅπως * ἂν αὐτοῦ τοῖς πο- E
λίταις δικαιοσύνη μὲν ἐν ταῖς ψυχαῖς γίγνηται, ἀδικία δὲ ἀπαλλάττηται, καὶ σωφροσύνη μὲν ἐγγίγνηται, ἀκολασία δὲ ἀπαλλάττηται, καὶ ἡ ἄλλη ἀρετὴ ἐγγίγνηται, κακία δὲ ἀπίῃ; ξυγχωρεῖς ἢ οὔ;

ΚΑΛ. Ξυγχωρῶ.

ΣΩ. Τί γὰρ ὄφελος, ὦ Καλλίκλεις, σώματί γε κάμνοντι καὶ μοχθηρῶς διακειμένῳ σιτία πολλὰ διδόναι καὶ τὰ ἥδιστα ἢ ποτὰ ἢ ἄλλ' ὁτιοῦν, ὃ μὴ ὀνήσει αὐτὸ ἔσθ' ὅτε πλέον ἢ τοὐναντίον, κατά γε τὸν δίκαιον λόγον, καὶ ἔλαττον; ἔστι ταῦτα ἢ οὔ;

* ΚΑΛ. Ἔστω. 50

ΣΩ. Οὐ γάρ, οἶμαι, λυσιτελεῖ μετὰ μοχθηρίας σώματος ζῆν ἀνθρώπῳ· ἀνάγκη γὰρ οὕτω καὶ ζῆν μοχθηρῶς· ἢ οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ τὰς ἐπιθυμίας ἀποπιμπλάναι, οἷον πεινῶντα φαγεῖν ὅσον βούλεται ἢ διψῶντα πιεῖν, ὑγιαίνοντα μὲν ἐῶσιν οἱ ἰατροὶ ὡς τὰ πολλά, κάμνοντα δέ, ὡς ἔπος εἰπεῖν, οὐδέποτ' ἐῶσιν ἐμπίπλασθαι ὧν ἐπιθυμεῖ; ξυγχωρεῖς τοῦτό γε καὶ σύ;

ΚΑΛ. * Ἔγωγε. B

ΣΩ. Περὶ δὲ ψυχήν, ὦ ἄριστε, οὐχ ὁ αὐτὸς τρόπος; ἕως μὲν ἂν πονηρὰ ᾖ, ἀνόητός τε οὖσα καὶ ἀκόλαστος καὶ ἄδικος καὶ ἀνόσιος, εἴργειν αὐτὴν δεῖ τῶν ἐπιθυμιῶν καὶ μὴ ἐπιτρέπειν ἄλλ' ἄττα ποιεῖν, ἢ ἀφ' ὧν βελτίων ἔσται. φῂς ἢ οὔ;

ΚΑΛ. Φημί.

ΣΩ. Οὕτω γάρ που αὐτῇ ἄμεινον τῇ ψυχῇ.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τὸ εἴργειν ἐστὶν ἀφ' ὧν ἐπιθυμεῖ κολάζειν;

So. Nonne haec respiciens rhetor ille artificiosus ac bonus et orationes adhibebit animis quascumque dicet et actiones cunctas et donum si quod dat dabit, sin quid adimit, adimet, ad hoc animum semper applicans, ut civibus suis iustitia quidem in mentibus exsistat, iniustitia vero expellatur, et temperantia quidem exsistat, incontinentia vero expellatur, et reliquae quidem virtutes exsistant, pravitas vero discedat? concedis necne?

Cal. Concedo.

So. Quid enim prodest, Callicle, corpori aegroto maleque affecto cibos multos dare et suavissimum vel potum vel aliud quid, quod ipsi interdum non plus proderit quam contrarium, immo, si quaeris, etiam minus? estne hoc ita necne?

Cal. Esto.

So. Neque enim, opinor, conducit cum pravitate corporis vivere homini; nam necesse est ita ipsum quoque prave vivere; an non ita est?

Cal. Ita.

So. Nonne etiam cupiditates explere, velut esurienti edere quantum velit vel sitienti bibere, sano quidem permittunt medici plerumque, aegrotanti vero numquam fere permittunt satiari eis quae concupiverit? concedis hoc etiam tu?

Cal. Ego vero.

So. Animi porro, o bone, nonne eadem est ratio? dum pravus est, quippe demens et incontinens et iniustus et impius, prohiberi eum oportet cupiditatibus nec permittendum ut aliud quid faciat, nisi haec quibus melior exsistat. ais necne?

Cal. Aio.

So. Hoc enim haud dubie ipsi melius animo.

Cal. Sane quidem.

So. Nonne prohibere illud est arcere ab eis quae concupiscit et castigare?

ΚΑΛ. Ναί.

ΣΩ. Τὸ κολάζεσθαι ἄρα τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία, ὥςπερ σὺ νῦν δὴ ᾤου.

ΚΑΛ. Οὐκ * οἶδ' ἅττα λέγεις, ὦ Σώκρατες, ἀλλ' C ἄλλον τινὰ ἐρώτα.

ΣΩ. Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος καὶ αὐτὸς τοῦτο πάσχων, περὶ οὗ ὁ λόγος ἐστί, κολαζόμενος.

ΚΑΛ. Οὐδέ γέ μοι μέλει οὐδὲν ὧν σὺ λέγεις, καὶ ταῦτά σοι Γοργίου χάριν ἀπεκρινάμην.

ΣΩ. Εἶεν, τί οὖν δὴ ποιήσομεν; μεταξὺ τὸν λόγον καταλείψομεν *);

ΚΑΛ. Αὐτὸς γνώσει.

ΣΩ. Ἀλλ' οὐδὲ τοὺς μύθους φασὶ μεταξὺ θέ*μιν **) D εἶναι καταλείπειν, ἀλλ' ἐπιθέντας κεφαλήν, ἵνα μὴ ἄνευ κεφαλῆς περιίῃ. Ἀπόκριναι οὖν καὶ τὰ λοιπά, ἵνα ἡμῖν ὁ λόγος κεφαλὴν λάβῃ.

ΚΑΛ. Ὡς βίαιος εἶ, ὦ Σώκρατες! ἐὰν δὲ ἐμοὶ πείθῃ, ἐάσεις χαίρειν τὸν λόγον τοῦτον ἢ καὶ ἄλλῳ τῳ διαλέξει.

ΣΩ. Τίς οὖν ἄλλος ἐθέλει; μὴ γάρ τοι ἀτελῆ γε τὸν λόγον καταλίπωμεν.

ΚΑΛ. Αὐτὸς δὲ οὐκ ἂν δύναιο διελθεῖν τὸν λόγον, ἢ λέγων κατὰ σαυτὸν ἢ ἀποκρινόμενος σαυτῷ;

ΣΩ. Ἵνα μοι τὸ τοῦ Ἐπι*χάρμου γένηται, ἃ πρὸ E τοῦ δύο ἄνδρες ἔλεγον, εἷς ὢν ἱκανὸς γένωμαι; ἀτὰρ κινδυνεύει ἀναγκαιότατον εἶναι οὕτως ***). εἰ μέντοι ποιήσομεν, οἶμαι ἔγωγε χρῆναι πάντας ἡμᾶς φιλονείκως ἔχειν πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς τί ἐστι περὶ ὧν λέγομεν καὶ τί ψεῦδος· κοινὸν γὰρ ἀγαθὸν ἅπασι φανερὸν γενέσθαι αὐτό. Δίειμι μὲν οὖν τῷ λόγῳ ἐγώ, ὡς ἄν μοι δοκῇ ἔχειν, * ἐὰν δέ τῳ ὑμῶν μὴ τὰ ὄντα δοκῶ ὁμολογεῖν ἐ- 506 μαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν· οὐδὲ γάρ τοι ἔγωγε εἰδὼς λέγω ἃ λέγω, ἀλλὰ ζητῶ κοινῇ μεθ' ὑμῶν,

*) γρ. καταλύομεν, καταλύσομεν, καταλείψωμεν.
**) γρ. θέμις.
***) ἴσ. οὕτω ποιεῖν.

Cal. Ita.

So. Caſtigando igitur contineri melius eſt animo quam incontinentia, quod quidem tu modo cenſebas.

Cal. Neſcio quid dicas, Socrate; at alium quempiam interroga.

So. Hicce vir non vult iuvari et hoc ipſum pati, de quo agitur, caſtigari.

Cal. Neque ſane curo id quod tu dicis, et hoc ipſum tibi Gorgiae gratia reſpondi.

So. Iam quid faciemus? mediumne ſermonem mittemus?

Cal. Ipſe videris.

So. At nec fabulas dicunt medias fas eſſe mitti, ſed imponendum eſſe caput, ut ne ſine capite circumeant. Reſponde igitur mihi ad reliqua, ut nobis ſermo caput nanciſcatur.

Cal. Quam violentus es, Socrate! at ſi mihi obtemperaveris, miſſum facies hunc ſermonem vel etiam cum alio quopiam colloqueris.

So. Quis igitur alius vult? ſcilicet ne imperfectum ſermonem mittamus.

Cal. Ipſe vero nonne potes perſequi orationem, vel dicens per te vel reſpondens ipſe tibi?

So. Ut mihi illud Epicharmi accidat: quae ante duo viri dicebant, his unus ego ſatisfaciam? quin videtur prorſus neceſſarium eſſe ita facere. ſi tamen id faciemus, equidem arbitror oportere nos omnìs id contendere ut perſpiciamus, quid verum ſit eorum quae dicamus, quidve falſum; communiter eſt enim omnibus bonum manifeſtum hoc fieri. Perſequar igitur oratione ego quomodo mihi videatur ſe habere, ſin autem alicui de vobis non vera videbor mihimet ipſe concedere, eum oportet impugnare ac refellere; neque enim iam ſciens dico quae dico, ſed quaerens communiter vobis-

ὥστε, ἄν τι φαίνηται λέγων ὁ ἀμφισβητῶν ἐμοί, ἐγὼ πρῶτος ξυγχωρήσομαι. λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι διαπερανθῆναι τὸν λόγον· εἰ δὲ μὴ βούλεσθε, ἐῶμεν δὴ χαίρειν καὶ ἀπίωμεν.

ΓΟΡ. Ἀλλ' ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σώκρατες, χρῆναι πω ἀπιέναι, ἀλλὰ διεξελθεῖν σε τὸν * λόγον· φαίνεται δέ B μοι καὶ τοῖς ἄλλοις δοκεῖν. βούλομαι γὰρ ἔγωγε καὶ αὐτὸς ἀκοῦσαι σου αὐτοῦ διϊόντος τὰ ἐπίλοιπα.

ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Γοργία, καὶ αὐτὸς ἡδέως μὲν ἂν Καλλικλεῖ τούτῳ ἔτι διελεγόμην, ἕως αὐτῷ τὴν τοῦ Ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ Ζήθου· ἐπειδὴ δὲ σύ, ὦ Καλλίκλεις, οὐκ ἐθέλεις ξυνδιαπερᾶναι τὸν λόγον, ἀλλ' οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου, ἐάν τί σοι δοκῶ μὴ καλῶς λέγειν· καί με ἐὰν ἐξελέγξῃς, οὐκ ἀ*χθεσθήσομαί σοι, ὥσπερ σὺ ἐμοί, ἀλλὰ μέγιστος εὐεργέτης παρ' ἐμοὶ ἀναγεγράψει. C

ΚΑΛ. Λέγε, ὦ 'γαθέ, αὐτὸς καὶ πέραινε.

ΣΩ. Ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον. Ἆρα τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν ταὐτόν ἐστιν; Οὐ ταὐτόν, ὡς ἐγὼ καὶ Καλλικλῆς ὡμολογήσαμεν. Πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ πρακτέον ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος; Τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ. Ἡδὺ δέ ἐστι τοῦτο οὗ παραγενομένου ἡδόμεθα, ἀ*γαθὸν δὲ οὗ παρόντος ἀγαθοί ἐσμεν; D Πάνυ γε. Ἀλλὰ μὴν ἀγαθοί γ' ἐσμὲν καὶ ἡμεῖς καὶ τἆλλα πάντα ὅσα ἀγαθά ἐστιν, ἀρετῆς τινὸς παραγενομένης. Ἔμοιγε δοκεῖ ἀναγκαῖον εἶναι, ὦ Καλλίκλεις. Ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου, καὶ σκεύους καὶ σώματος καὶ ψυχῆς αὖ καὶ ζώου παντός, οὐχ οὕτως εἰκῇ κάλλιστα παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθότητι καὶ τέχνῃ, ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν. ἆρα ἔστι ταῦτα; Ἐγὼ μὲν γάρ φημι. Τάξει ἄρα τεταγμένον καὶ κεκο*σμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου; E Φαίην ἂν ἔγωγε. Κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων; Ἔμοιγε δοκεῖ. Καὶ ψυχὴ ἄρα κόσμον ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου; Ἀνάγκη. Ἀλλὰ μὴν ἥ γε κόσμον ἔχουσα κοσμία; Πῶς γὰρ οὐ μέλλει; Ἡ δέ γε κοσμία σώφρων; * Πολλὴ 507

cum: ut, ſi quid viſui fuerit dicere is qui mecum disceptet, ego primus ſim aſſenſurus. dico autem hoc ut cognoſcam, num vobis videatur perficiendus eſſe ſermo; ſin nolueritis, miſſum eum faciamus ac diſcedamus.

Gor. At mihi quidem, Socrate, videtur nondum discedendum eſſe, ſed te oportere perſequi orationem; ni fallor, ceteris quoque ita videtur. aveo enim ipſe quoque te audire explicantem reliqua.

So. Enimvero, Gorgia, ipſe quoque libenter cum Callicle hoc adhuc colloquutus eſſem, donec ei Amphionis dictum reddidiſſem pro illo Zethi; quoniam vero tu, Callicle, non vis mecum abſolvere ſermonem, ſaltem me audiens impugna, ſi tibi videbor non recte dicere, et ſi me redargueris, non ſuccenſebo tibi, ut tu mihi, ſed optime meritus in tabulas meas perſcriptus eris.

Cal. Dic, o bone, ipſe et abſolve.

So. Audi igitur ab initio me repetentem orationem. Num iucundum et bonum idem eſt? Non idem, ut ego et Callicles conceſſimus. Utrum iucundum boni cauſa faciendum eſt, an bonum iucundi cauſa? Iucundum boni cauſa. Iucundum vero eſt, quo, ſi adeſt, gaudemus, bonum autem, quo, ſi adeſt, boni ſumus? Sane quidem. Iam vero boni ſumus et nos et reliqua omnia quae bona ſunt, eo quod virtus aliqua adeſt. Mihi quidem videtur neceſſarium eſſe, Callicle. At vero virtus cuiusque et ſuppellectilis et corporis et animi itemque omnium animantium non ſic temere pulcherrima adeſt, ſed ordine, recta ratione et arte, quae cuique illorum tributa eſt. num ita ſe habet? Equidem aio. Ordine igitur ordinata atque ornata eſt virtus uniuscuiusque. Dicam equidem. Ornatus ergo ſi ineſt in quoque cuiusque proprius, bonam efficit quamque rem. Mihi quidem videtur. Ergo etiam animus ornatum habens ſui proprium melior inornato? Neceſſe eſt. Atqui ornatum habens ornatus eſt? Quidni ſit? Ornatus vero prudens? Prorſus neceſ-

ἀνάγκη. Ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή; Ἐγὼ μὲν οὐκ ἔχω παρὰ ταῦτα ἄλλα φάναι, ὦ φίλε Καλλίκλεις, σὺ δ' εἰ ἔχεις, δίδασκε.

ΚΑΛ. Λέγ' ὦ 'γαθέ.

ΣΩ. Λέγω δὴ ὅτι, εἰ ἡ σώφρων ἀγαθή ἐστιν, ἡ τοὐναντίον τῇ σώφρονι πεπονθυῖα κακή ἐστιν. ἦν δὲ αὕτη ἡ ἄφρων τε καὶ ἀκόλαστος. Πάνυ γε. Καὶ μὴν ὅ γε σώφρων τὰ προσήκοντα πράττοι ἂν καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους· οὐ γὰρ ἂν σωφρονοίη τὰ μὴ προσήκοντα * πράττων. B
Ἀνάγκη ταῦτ' εἶναι οὕτως. Καὶ μὴν περὶ μὲν ἀνθρώπους τὰ προσήκοντα πράττων δίκαι' ἂν πράττοι, περὶ δὲ θεοὺς ὅσια, τὸν δὲ τὰ δίκαια καὶ ὅσια πράττοντα ἀνάγκη δίκαιον καὶ ὅσιον εἶναι. Ἔστι ταῦτα. Καὶ μὲν δὴ καὶ ἀνδρεῖόν γε ἀνάγκη· οὐ γὰρ δὴ σώφρονος ἀνδρός ἐστιν οὔτε διώκειν οὔτε φεύγειν ἃ μὴ προσήκει, ἀλλ' ἃ δεῖ καὶ πράγματα καὶ ἀνθρώπους καὶ ἡδονὰς καὶ λύπας φεύγειν καὶ διώκειν, καὶ ὑπομένοντα καρτερεῖν ὅπου δεῖ. ὥςτε πολ*λὴ ἀνάγκη, ὦ C
Καλλίκλεις, τὸν σώφρονα, ὥςπερ διήλθομεν, δίκαιον ὄντα καὶ ἀνδρεῖον καὶ ὅσιον ἀγαθὸν ἄνδρα εἶναι τελέως, τὸν δὲ ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν ἃ ἂν πράττῃ, τὸν δ' εὖ πράττοντα μακάριόν τε καὶ εὐδαίμονα εἶναι, τὸν δὲ πονηρὸν καὶ κακῶς πράττοντα ἄθλιον. οὗτος δ' ἂν εἴη ὁ ἐναντίως ἔχων τῷ σώφρονι, ὁ ἀκόλαστος, ὃν σὺ ἐπῄνεις. Ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθεμαι καί φημι ταῦτ' ἀληθῆ εἶναι· εἰ δ' ἔστιν ταῦτα ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοικεν, * εὐδαίμο- D
να εἶναι σωφροσύνην μὲν διωκτέον καὶ ἀσκητέον, ἀκολασίαν δὲ φευκτέον, ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν, καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι. οὗτος ἔμοιγε δοκεῖ ὁ σκοπὸς εἶναι, πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ πάντα εἰς τοῦτο καὶ τὰ αὑτοῦ ξυντείνοντα καὶ τὰ τῆς πόλεως, ὅπως δικαιοσύνη παρέσται καὶ σωφροσύνη τῷ μα*καρίῳ μέλλοντι ἔσεσθαι, οὕτω πράττειν, οὐκ ἐπιθυ- E
μίας ἐῶντα ἀκολάστους εἶναι καὶ ταύτας ἐπιχειροῦντα πληροῦν, ἀνήνυτον κακόν, λῃστοῦ βίον ζῶντα. οὔτε γὰρ ἂν

ſarium. Prudens ergo animus bonus? Equidem nihil habeo quod praeter haec dicam, o care Callicle, tu vero ſi quid habes, doce.

Cal. Dic, o bone.

So. Dico igitur, ſi prudens bonus ſit, contrario modo, ac prudentem, affectum eſſe malum; erat autem hic demens et incontinens. Sane quidem. Atqui prudens conſentanea faciet, quod tum ad deos tum ad homines ſpectat; neque enim prudens erit haud conſentanea faciens. Neceſſe eſt haec ita habere. Et vero qui ad homines conſentanea facit, iuſta faciet, qui ad deos, pia, et qui iuſta ac pia facit, iuſtus ac pius ſit neceſſe eſt. Ita eſt. Quin etiam fortis ſit neceſſe eſt; non enim prudentis viri eſt vel ſectari vel fugere quod non eſt conſentaneum, ſed quas oportet res et homines et voluptates et dolores fugere et ſectari, et ſuſtinentem perſeverare ubi oportet. quocirca prorſus neceſſe eſt, Callicle, prudentem, ut explicavimus, quum iuſtus et fortis et pius ſit, virum eſſe perfecte bonum, bonum vero bene et pulchre facere quicquid faciat, et bene facientem felicem ac beatum eſſe, improbum contra et male facientem miſerum. hic autem erit contrarius prudentis, incontinens ille, quem tu laudabas. Ego quidem haec ita ſtatuo et aio haec vera eſſe; haec autem ſi vera ſunt, eum patet, qui velit beatus eſſe, temperantiam oportere ſectari et exercere, incontinentiam vero fugere, quantum quisque noſtrûm pedibus valeat, et ita ſe comparare, ut potiſſimum nullam requirat caſtigationem, ſin requirat vel ipſe vel alius quis familiarium, ſive privatus ſive civitas, affici eum oportet poena et caſtigari, ſi futurus eſt beatus. hic mihi videtur terminus eſſe, quem reſpicientes nos vivere oporteat, in omnibus tam noſtris quam civitatis rebus hoc ſpectantes, ut iuſtitia adſit et temperantia ei, qui beatus eſt futurus, non ſinentes cupiditates incontinentes eſſe nec curantes eas explere, inſatiabile malum, latronis vitam viventes.

ἄλλῳ ἀνθρώπῳ προςφιλὴς ἂν εἴη ὁ τοιοῦτος οὔτε θεῷ·
κοινωνεῖν γὰρ ἀδύνατος· ὅτῳ δὲ μὴ ἔνι κοινωνία, φιλία
οὐκ ἂν εἴη. φασὶ δ᾽ οἱ σοφοί, ὦ Καλλίκλεις, καὶ οὐρανὸν
καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν * ξυνέ- 508
χειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιό-
τητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, ὦ
ἑταῖρε, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν· σὺ δέ μοι δοκεῖς οὐ
προςέχειν τὸν νοῦν τούτοις, καὶ ταῦτα σοφὸς ὤν, ἀλλὰ
λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν
ἀνθρώποις μέγα δύναται· σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀ-
σκεῖν· γεωμετρίας γὰρ ἀμελεῖς. Εἶεν, ἢ ἐξελεγκτέος δὴ
οὗτος ὁ λόγος ἡμῖν ἐστίν, ὡς οὐ δικαιο*σύνης καὶ σω- B
φροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες, κακίας δὲ
ἄθλιοι οἱ ἄθλιοι, ἤ, εἰ οὗτος ἀληθής ἐστι, σκεπτέον τί
τὰ ξυμβαίνοντα. τὰ πρόσθεν ἐκεῖνα, ὦ Καλλίκλεις, ξυμβαίνει
πάντα, ἐφ᾽ οἷς σύ με ἤρου, εἰ σπουδάζων λέγοιμι, λέ-
γοντα ὅτι κατηγορητέον εἴη καὶ αὑτοῦ καὶ υἱέος καὶ
ἑταίρου, ἐάν τι ἀδικῇ, καὶ τῇ ῥητορικῇ ἐπὶ τοῦτο χρη-
στέον· καὶ ἃ Πῶλον αἰσχύνῃ ᾤου ξυγχωρεῖν, ἀληθῆ ἄρα
ἦν, τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ὅσωπερ αἴσχιον,
το*σούτῳ κάκιον· καὶ τὸν μέλλοντα ὀρθῶς ῥητορικὸν ἔσε- C
σθαι δίκαιον ἄρα δεῖ εἶναι καὶ ἐπιστήμονα τῶν δικαίων,
ὃ αὖ Γοργίαν ἔφη Πῶλος δι᾽ αἰσχύνην ὁμολογῆσαι. Τού-
των δὲ οὕτως ἐχόντων, σκεψώμεθα τί ποτ᾽ ἐστὶν ἃ σὺ
ἐμοὶ ὀνειδίζεις, ἆρα καλῶς λέγεται ἢ οὔ, ὡς ἄρα ἐγὼ
οὐχ οἷός τ᾽ εἰμὶ βοηθῆσαι οὔτε ἐμαυτῷ οὔτε τῶν φίλων
οὐδενὶ οὐδὲ τῶν οἰκείων, οὐδ᾽ ἐκσῶσαι ἐκ τῶν μεγίστων
κινδύνων, εἰμὶ δ᾽ ἐπὶ τῷ βουλομένῳ, ὥςπερ οἱ ἄτιμοι τοῦ ἐθέ-
*λοντος, ἄν τε τύπτειν βούληται, τὸ νεανικὸν δὴ τοῦτο τοῦ D
σοῦ λόγου, ἐπὶ κόῤῥης, ἐάν τε χρήματα ἀφαιρεῖσθαι, ἐάν τε
ἐκβάλλειν ἐκ τῆς πόλεως, ἐάν τε τὸ ἔσχατον ἀποκτεῖναι· καὶ
οὕτω διακεῖσθαι πάντων δὴ αἴσχιστόν ἐστιν, ὡς ὁ σὸς λόγος.
ὁ δὲ δὴ ἐμός, ὅςτις πολλάκις μὲν ἤδη εἴρηται, οὐδὲν δὲ κωλύει

neque enim alii homini acceptus erit talis homo neque deo, quia cum altero ſe coniungere nequit; cui vero nulla eſt coniunctio, neque amicitia erit. dicunt autem ſapientes, Callicle, etiam coelum et terram, deos et homines coniunctione contineri et amicitia et modeſtia et temperantia et iuſtitia, et hanc rerum univerſitatem icciro mundum appellant, o amice, non immunditiam vel incontinentiam; tu vero mihi videris non animadvertere haec, licet ſapiens ſis, ſed fugit te, aequalitatem geometricam et apud deos et apud homines multum valere; quocirca plus habendi cupiditati cenſes eſſe indulgendum; geometriam enim negligis. Iam aut refellenda nobis eſt haec oratio quae ponit, iuſtitia et temperantia comparata beatos eſſe qui beati ſint, pravitate vero qui miſeri ſint miſeros eſſe, aut, ſi haec vera eſt, anquirendum quae ſint conſequentia. priora illa, Callicle, conſequuntur cuncta, in quibus ex me quaerebas, num ſerio dicerem dicens, accuſare quemque debere ſe ipſum et filium et amicum, ſi quid iniuſte feciſſet, et rhetoricam ad hoc adhibere; et quae Polum pudore adductum arbitrabare conceſſiſſe, haec ſane erant vera, eſſe iniuriam facere quam accipere, quanto turpius, tanto peius; et qui futurus eſt vere rhetoricus, eum oportet iuſtum eſſe ac ſcientem iuſtorum, quod viciſſim Gorgiam dicebat Polus pudore adductum conceſſiſſe. Quae quum ita ſe habeant, videamus quid tandem ſit illud quod tu mihi exprobras; num bene dicatur necne me non poſſe auxiliari neque mihimet ipſi neque amicorum alicui neque affinium, nec eripere e maximis periculis, ſed eſſe me cuiuslibet hominis, ſicut infames cuiusvis ſint, ſive infringere velit, quod ſcilicet glorioſum erat dictum tuum, colaphum, ſive facultatibus ſpoliare, ſive eiicere ex urbe, ſive ad extremum interficere; et in hoc eſſe ſtatu, omnium ſane turpiſſimum eſt, ut tua declarat oratio. mea vero, quae ſaepius quidem iam dicta eſt, nihil tamen impedit quominus etiam

καὶ ἔτι λέγεσθαι· οὔ φημι, ὦ Καλλίκλεις, τὸ τύπτεσθαι ἐπὶ κόῤῥης * ἀδίκως αἴσχιστον εἶναι, οὐδέ γε τὸ τέμνεσθαι E οὔτε τὸ σῶμα τὸ ἐμὸν οὔτε τὸ βαλάντιον, ἀλλὰ τὸ τύπτειν καὶ ἐμὲ καὶ τὰ ἐμὰ ἀδίκως καὶ τέμνειν καὶ αἴσχιον καὶ κάκιον, καὶ κλέπτειν γε ἅμα καὶ ἀνδραποδίζεσθαι καὶ τοιχωρυχεῖν καὶ ξυλλήβδην ὁτιοῦν ἀδικεῖν καὶ ἐμὲ καὶ τὰ ἐμὰ τῷ ἀδικοῦντι καὶ κάκιον καὶ αἴσχιον εἶναι ἢ ἐμοὶ τῷ ἀδικουμένῳ. Ταῦτα ἡμῖν ἄνω ἐκεῖ ἐν τοῖς ἔμπροσθεν λόγοις οὕτω φανέντα, ὡς ἐγὼ λέγω, κατέχεται καὶ δέδεται, * καὶ εἰ 509 ἀγροικότερόν τι εἰπεῖν ἐστί, σιδηροῖς καὶ ἀδαμαντίνοις λόγοις, ὡς γοῦν ἂν δόξειεν οὑτωσί, οὓς σὺ εἰ μὴ λύσεις ἢ σοῦ τις νεανικώτερος, οὐχ οἷόν τε ἄλλως λέγοντα, ἢ ὡς ἐγὼ νῦν λέγω, καλῶς λέγειν· ἐπεὶ ἔμοιγε ὁ αὐτὸς λόγος ἐστὶν ἀεί, ὅτι ἐγὼ ταῦτα οὐκ οἶδα ὅπως ἔχει, ὅτι μέντοι, ὧν ἐγὼ ἐντετύχηκα, ὥσπερ νῦν, οὐδεὶς οἷός τ' ἐστὶν ἄλλως λέγων μὴ οὐ καταγέλαστος εἶναι. Ἐγὼ μὲν οὖν αὖ τίθημι ταῦ*τα B οὕτως ἔχειν. εἰ δὲ οὕτως ἔχει καὶ μέγιστον τῶν κακῶν ἐστὶν ἡ ἀδικία τῷ ἀδικοῦντι καὶ ἔτι τούτου μεῖζον μεγίστου ὄντος, εἰ οἷόν τε, τὸ ἀδικοῦντα μὴ διδόναι δίκην, τίνα ἂν βοήθειαν μὴ δυνάμενος ἄνθρωπος βοηθεῖν ἑαυτῷ καταγέλαστος ἂν τῇ ἀληθείᾳ εἴη; ἆρ' οὐ ταύτην, ἥτις ἀποτρέψει τὴν μεγίστην ἡμῶν βλάβην; ἀλλὰ πολλὴ ἀνάγκη ταύτην εἶναι τὴν αἰσχίστην βοήθειαν μὴ δύνασθαι βοηθεῖν μήτε ἑαυτῷ μήτε τοῖς αὑτοῦ φίλοις τε καὶ οἰκείοις, * δευτέραν δὲ τὴν τοῦ δευτέ- C ρου κακοῦ καὶ τρίτην τὴν τοῦ τρίτου καὶ τἆλλα οὕτως, ὡς ἑκάστου κακοῦ μέγεθος πέφυκεν, οὕτω καὶ κάλλος τοῦ δυνατὸν εἶναι ἐφ' ἕκαστα βοηθεῖν καὶ αἰσχύνη τοῦ μή. ἆρ' ἄλλως, ἢ οὕτως ἔχει, ὦ Καλλίκλεις;

ΚΑΛ. Οὐκ ἄλλως.

ΣΩ. Δυεῖν οὖν ὄντοιν, τοῦ ἀδικεῖν τε καὶ ἀδικεῖσθαι, μεῖζον μὲν κακόν φαμεν τὸ ἀδικεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι. Τί οὖν ἂν παρασκευασάμενος ἄνθρωπος βοηθήσειεν αὑτῷ, ὥστε ἀμφοτέρας τὰς ὠφελείας ταύτας ἔχειν, τήν τε ἀ*πὸ τοῦ D μὴ ἀδικεῖν καὶ τὴν ἀπὸ τοῦ μὴ ἀδικεῖσθαι; πότερα δύναμιν ἢ

nunc dicatur, haec eſt: aio, Callicle, non hoc, ſi infringatur mihi colaphus iniuſte, turpiſſimum eſſe, neque ſi ſecetur mihi vel corpus vel crumena, ſed percutere et me et mea iniuſte et ſecare turpius ac peius eſſe, quin etiam furari et ſervum rapere et parietes perfodere et in univerſum iniuriam quamcumque et mihi et meis facere iniuriam facienti et peius et turpius eſſe quam mihi iniuriam accipienti. Haec quae ſupra in praegreſſo illo ſermone ita nobis apparuerunt, ut dico, continentur et vincta ſunt, licet agreſtius quodammodo ſit dictu, ferreis et adamantinis rationibus, ut certe videtur, quas tu niſi diſſolveris vel te validior quisquam, fieri non poterit ut aliter dicens, quam ego nunc dico, recte dicat; nam mihi quidem ſemper eadem eſt ratio, haec me neſcire, quomodo ſe habeant, eorum tamen quos offenderim, ſicut nunc, neminem potuiſſe aliter dicere, quin ridiculus fuerit. Itaque ego iterum ſtatuo haec ſic habere. quodſi vero ita habent et maximum malorum eſt iniuſtitia iniuſte facienti etiamque maius, ſi fieri poteſt, hoc maximo, iniuſte factorum nullas dare poenas, quamnam opem homo ſibi ipſe ferre non valens reapſe ridiculus erit? nonne hanc, quae depulſura eſt maximam a nobis perniciem? at prorſus neceſſe eſt turpiſſimum eſſe hanc non poſſe opem ferre neque ſibi neque amicis affinibusque; deinde opem ferre non poſſe adverſus ſecundum malum, tertio adverſus tertium, et ita in reliquis, quo maius naturâ ſit quodque malum, eo pulchrius eſſe opem ferre poſſe adverſus illud eoque turpius non poſſe. num aliter, an ita ſe habet, Callicle?

Cal. Haud aliter.

So. De duobus igitur his, iniuria facienda et iniuria accipienda, maius eſſe malum dicimus iniuriam facere, minus iniuriam accipere. Iam quid homo ſibi comparans opem ferre poterit ſibi, ut utrumque hoc percipiat commodum, unum, ne ipſe iniuriam faciat, alterum, ne iniuriam accipiat? utrum poteſtatem an

βούλησιν; ὧδε δὲ λέγω· πότερον, ἐὰν μὴ βούληται ἀδικεῖσθαι, οὐκ ἀδικήσεται, ἢ, ἐὰν δύναμιν παρασκευάσηται τοῦ μὴ ἀδικεῖσθαι, οὐκ ἀδικήσεται;

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε ὅτι, ἐὰν δύναμιν.

ΣΩ. Τί δὲ δὴ τοῦ ἀδικεῖν; πότερον, ἐὰν μὴ βούληται ἀδικεῖν, ἱκανὸν τοῦτ᾽ ἐστὶν (οὐ γὰρ ἀδικήσει), ἢ
καὶ * ἐπὶ τοῦτο δεῖ δύναμίν τινα καὶ τέχνην παρασκευά- E
σασθαι, ὡς, ἐὰν μὴ μάθῃ αὐτὰ καὶ ἀσκήσῃ, ἀδικήσει; Τί οὐκ αὐτό γέ μοι τοῦτο ἀπεκρίνω, ὦ Καλλίκλεις; πότερόν σοι δοκοῦμεν ὀρθῶς ἀναγκασθῆναι ὁμολογεῖν ἐν τοῖς ἔμπροσθεν λόγοις ἐγώ τε καὶ Πῶλος ἢ οὔ, ἡνίκα ὡμολογήσαμεν μηδένα βουλόμενον ἀδικεῖν, ἀλλ᾽ ἄκοντας τοὺς ἀδικοῦντας πάντας ἀδικεῖν;

ΚΑΛ. Ἔστω σοι τοῦτο, ὦ Σώκρατες, οὕτως, * ἵνα 510
καὶ διαπεράνῃς τὸν λόγον.

ΣΩ. Καὶ ἐπὶ τοῦτο ἄρα, ὡς ἔοικε, παρασκευαστέον ἐστὶ δύναμίν τινα καὶ τέχνην, ὅπως μὴ ἀδικήσομεν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τίς οὖν ποτ᾽ ἐστὶ τέχνη τῆς παρασκευῆς τοῦ μηδὲν ἀδικεῖσθαι ἢ ὡς ὀλίγιστα; σκέψαι εἴ σοι δοκεῖ ἧπερ ἐμοί· ἐμοὶ μὲν γὰρ δοκεῖ ἥδε· ἢ αὐτὸν ἄρχειν δεῖν ἐν τῇ πόλει ἢ καὶ τυραννεῖν, ἢ τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον εἶναι.

ΚΑΛ. Ὁρᾷς, ὦ Σώκρατες, ὡς ἐγὼ ἕτοιμός εἰμι
ἐ*παινεῖν, ἄν τι καλῶς λέγῃς; τοῦτό μοι δοκεῖς πάνυ κα- B
λῶς εἰρηκέναι.

ΣΩ. Σκόπει δὴ καὶ τόδε ἐάν σοι δοκῶ εὖ λέγειν. φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς οἷόν τε μάλιστα, ὅνπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ· οὐ καὶ σοί;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν ὅπου τύραννός ἐστιν ἄρχων ἄγριος καὶ ἀπαίδευτος, εἴ τις τούτου ἐν τῇ πόλει πολὺ βελτίων εἴη,

voluntatem? ita vero dico: utrum ſi nolit iniuriam accipere, non accipiet, an, ſi hanc ſibi poteſtatem comparaverit ut iniuriam nullam accipiat, non accipiet?

Cal. Perſpicuum id quidem eſt, ſi poteſtatem nactus fuerit.

So. Quid vero iniuriam facere? utrum, ſi nolit iniuriam facere, hoc ſatis erit (neque enim iniuriam faciet), an etiam ad hoc oportet ipſum poteſtatem quandam et artem ſibi comparare, ut, niſi eam didicerit atque exercuerit, iniuriam ſit facturus? Quin ad hoc ipſum mihi reſpondes, Callicle? utrum tibi videmur recte coacti eſſe concedere in ſuperiore diſputatione ego et Polus necne, quum conceſſimus neminem ultro iniuriam facere, ſed invitum iniuſte facientem quemque iniuſte facere?

Cal. Eſto tibi hoc, Socrate, ita, ut ſcilicet abſolvas ſermonem.

So. Itaque ad hoc quoque, ut patet, paranda eſt poteſtas quaedam et ars, ne iniuriam facturi ſimus.

Cal. Sane quidem.

So. Quae tandem eſt ars illa qua homo ſe comparare poſſit ad nullam vel quam minimam iniuriam accipiendam? vide an tibi videatur eadem eſſe quae mihi: mihi enim videtur haec: aut ipſum oportere imperare in civitate vel etiam dominari, aut imperii iam conſtituti aſſentatorem eſſe.

Cal. Videsne, Socrate, quam ego proclivis ſim ad laudandum, ſi quid recte dicas? hoc mihi videris ſatis recte poſuiſſe.

So. Perpende modo etiam hoc num tibi videar bene dicere. amicus mihi videtur quisque cuiusque eſſe quam maxime, id quod veteres et ſapientes dicunt, ſimilis ſimili; nonne etiam tibi?

Cal. Mihi vero.

So. Ubi igitur tyrannus dominatur ferox et incultus, hic, ſi quis in civitate ipſo melior eſt, metuet haud

φοβοῖτο δήπου ἂν αὐτὸν ὁ τύραννος, καὶ τούτῳ ἐξ ἅπαντος * τοῦ νοῦ οὐκ ἄν ποτε δύναιτο φίλος γενέ- C σθαι.

ΚΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Οὐδέ γε εἴ τις πολὺ φαυλότερος εἴη, οὐδ' ἂν οὗτος· καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειεν.

ΚΑΛ. Καὶ ταῦτ' ἀληθῆ.

ΣΩ. Λείπεται δὴ ἐκεῖνος μόνος ἄξιος λόγου φίλος τῷ τοιούτῳ, ὃς ἂν ὁμοήθης ὤν, ταὐτὰ ψέγων καὶ ἐπαινῶν, ἐθέλῃ ἄρχεσθαι καὶ ὑποκεῖσθαι τῷ ἄρχοντι· οὗτος μέγα ἐν ταύτῃ τῇ πόλει δυνήσε*ται, τοῦτον οὐδεὶς χαίρων D ἀδικήσει· οὐχ οὕτως ἔχει;

ΚΑΛ. Ναί.

ΣΩ. Εἰ ἄρα τις ἐννοήσειεν ἐν ταύτῃ τῇ πόλει τῶν νέων, Τίνα ἂν τρόπον ἐγὼ μέγα δυναίμην καὶ μηδείς με ἀδικοίη; αὕτη, ὡς ἔοικεν, αὐτῷ ὁδός ἐστιν, εὐθὺς ἐκ νέου ἐθίζειν αὐτὸν τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ καὶ παρασκευάζειν ὅπως ὅτι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ· οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν τούτῳ τὸ μὲν μὴ ἀδικεῖσθαι καὶ μέ*γα E δύνασθαι, ὡς ὁ ὑμέτερος λόγος, ἐν τῇ πόλει διαπεπράξεται;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν καὶ τὸ μὴ ἀδικεῖν; ἢ πολλοῦ δεῖ, εἴπερ ὅμοιος ἔσται τῷ ἄρχοντι ὄντι ἀδίκῳ καὶ παρὰ τούτῳ μέγα δυνήσεται; ἀλλ' οἶμαι ἔγωγε, πᾶν τοὐναντίον οὑτωσὶ ἡ παρασκευὴ ἔσται αὐτῷ ἐπὶ τὸ οἵῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν καὶ ἀδικοῦντα μὴ διδόναι δίκην· ἦ γάρ;

ΚΑΛ. Φαίνεται.

* ΣΩ. Οὐκοῦν τὸ μέγιστον αὐτῷ κακὸν ὑπάρξει μο- 511 χθηρῷ ὄντι τὴν ψυχὴν καὶ λελωβημένῳ διὰ τὴν μίμησιν τοῦ δεσπότου καὶ δύναμιν;

ΚΑΛ. Οὐκ οἶδ' ὅπῃ στρέφεις ἑκάστοτε τοὺς λόγους

dubie illum, nec umquam toto ei animo poterit amicus esse.

Cal. Est ita.

So. Neque etiam, si quis longe vilior erit; despiciet enim hunc tyrannus nec umquam ut amicum colet.

Cal. Etiam hoc verum.

So. Relinquitur igitur, ut ille solus sit aestimatione dignus amicus huiusmodi dominatori, qui simili ingenio eademque vituperans ac laudans patiatur se regi et subiectum esse imperanti: hic multum in hac civitate valebit, huic nemo impune iniuriam faciet; nonne ita habet?

Cal. Ita.

So. Si quis igitur iuniorum in hac civitate secum reputet hoc: Quo ego pacto multum potero, nec ullus mihi iniuriam faciet? haec, ni fallor, ipsi via sit, statim a pueritia adsuescere isdem gaudere et dolere ac tyrannus et ita se comparare ut quam simillimus illius evadat; nonne ita?

Cal. Vero.

So. Nonne hic, nullam ut iniuriam accipiat multumque possit, quemadmodum vestra est oratio, in civitate ista impetraverit?

Cal. Sane quidem.

So. Num vero etiam hoc nullam ut iniuriam faciat? an multum abest, si quidem similis erit dominatori iniusto multumque apud hunc valebit? immo, equidem arbitror, plane ex contrario ita se comparabit ut possit quam plurimas facere iniurias nec iniuste factorum poenas dare; nonne?

Cal. Patet.

So. Nonne maximum ipsi malum continget, quum improbo sit animo et depravato imitatione dominatoris ac potestate?

Cal. Non intelligo quomodo verses orationes sur-

ἄνω καὶ κάτω, ὦ Σώκρατες· ἢ οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος *) τὸν μὴ μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται, καὶ ἀφαιρήσεται τὰ ὄντα;

ΣΩ. Οἶδα, ὦ 'γαθὲ Καλλίκλεις, εἰ μὴ κωφός γ' * εἰμί, καὶ σοῦ ἀκούων καὶ Πώλου ἄρτι πολλάκις καὶ τῶν ἄλλων ὀλίγου πάντων τῶν ἐν τῇ πόλει. ἀλλὰ καὶ σὺ ἐμοῦ ἄκουε, ὅτι ἀποκτενεῖ μέν, ἂν βούληται, ἀλλὰ πονηρὸς ἂν καλὸν κἀγαθὸν ὄντα. B

ΚΑΛ. Οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν;

ΣΩ. Οὐ νοῦν γε ἔχοντι, ὡς ὁ λόγος σημαίνει· ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι ἄνθρωπον, ὡς πλεῖστον χρόνον ζῆν, καὶ μελετᾶν τὰς τέχνας ταύτας αἳ ἡμᾶς ἀεὶ ἐκ τῶν κινδύνων σώζουσιν, ὥσπερ καὶ ἣν * σὺ κελεύεις C ἐμὲ μελετᾶν τὴν ῥητορικὴν τὴν ἐν τοῖς δικαστηρίοις διασώζουσαν;

ΚΑΛ. Ναὶ μὰ Δί' ὀρθῶς γέ σοι ξυμβουλεύων.

ΣΩ. Τί δαί, ὦ βέλτιστε; ἢ καὶ ἡ τοῦ νεῖν ἐπιστήμη σεμνή τίς σοι δοκεῖ εἶναι;

ΚΑΛ. Μὰ Δί' οὐκ ἔμοιγε.

ΣΩ. Καὶ μὴν σώζει γε καὶ αὕτη ἐκ θανάτου τοὺς ἀνθρώπους, ὅταν εἰς τοιοῦτον ἐμπέσωσιν, οὗ δεῖ ταύτης τῆς ἐπιστήμης. εἰ δ' αὕτη σοι δοκεῖ σμικρὰ εἶναι, ἐγώ σοι μεί*ζονα D ταύτης ἐρῶ, τὴν κυβερνητικήν, ἣ οὐ μόνον τὰς ψυχὰς σώζει, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα ἐκ τῶν ἐσχάτων κινδύνων, ὥσπερ ἡ ῥητορική· καὶ αὕτη μὲν προσεσταλμένη ἐστὶ καὶ κοσμία καὶ οὐ σεμνύνεται ἐσχηματισμένη, ὡς ὑπερήφανόν τι διαπραττομένη, ἀλλὰ ταὐτὰ διαπραξαμένη τῇ δικανικῇ, ἐὰν μὲν ἐξ Αἰγίνης δεῦρο σώσῃ, οἶμαι, δύ' ὀβολοὺς ἐπράξατο, ἐὰν δ' ἐξ Αἰγύπτου ἢ ἐκ τοῦ Πόντου, ἐὰν πάμπυλυ, ταύτης τῆς μεγά*λης εὐεργεσίας, σώσασ' ἃ νῦν E δὴ ἔλεγον, καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκας, ἀποβιβάσασ' εἰς τὸν λιμένα δύο δραχμὰς ἐπράξατο, καὶ αὐτὸς ὁ ἔχων τὴν τέχνην καὶ ταῦτα διαπραξάμενος ἐκβὰς παρὰ τὴν θάλατταν καὶ τὴν ναῦν περιπατεῖ ἐν

*) ἴσ. μεμιμημένος.

ſum deorſum, Socrate; an neſcis eum, quem ceteri imitentur, iſtum, niſi imitetur, interfecturum, ſi voluerit, et facultatibus eſſe ſpoliaturum?

So. Scio, o bone Callicle, niſi ſurdus ſim, et ex te audiens et e Polo modo ſaepius et e ceteris fere omnibus in civitate. at tu etiam ex me audi, interfecturum quidem eſſe, ſi voluerit, ſed improbum interfecturum eſſe honeſtum ac bonum.

Cal. Nonne hoc eſt illud quod indignationem movet?

So. Neutiquam viri prudentis, ut oratio oſtendit; an putas oportere hoc ſibi parare hominem, ut quam longiſſimum tempus vivat, easque colere artes quae nos e quoque periculo ſervent, ſicut iſtam, quam tu me iubes colere, rhetoricam in iudiciis illam quidem ſervantem.

Cal. Et quidem per Iovem recte tibi ſuadens.

So. Ain, mi optime? num etiam nandi ſcientia auguſta quaedam tibi videtur eſſe?

Cal. Minime hercle.

So. Atqui ſervat etiam haec e morte homines, ſi in eiusmodi ſtatum delati ſunt ubi opus eſt hac ſcientia. ſin haec tibi videtur minuta eſſe, ego tibi maiorem hac dicam, artem gubernandi, quae non animos modo ſervat, verum etiam corpora et facultates e periculis extremis, ſicut rhetorica; et haec quidem ad frugalitatem compoſita eſt et modeſta, nec ſe iactat magnifice ornata, quaſi grande quid exſequatur, ſed idem exſequens atque rhetorica iudicialis, ſi Aegina ſalvum huc traduxit, duos, opinor, obolos exigit, ſin ex Aegypto vel Ponto, ſi permultum, pro magno hoc beneficio quod ſervavit, quae modo memoravi, et ipſum et liberos et facultates et mulieres, quum in portum eos transvexit, duas drachmas exigit, et ipſe qui tenet artem, haec exſequutus, quum eſcendit, iuxta mare et navem deambulat

μετρίῳ σχήματι· λογίζεσθαι γάρ, οἶμαι, ἐπίσταται ὅτι ἄδηλόν
ἐστιν οὕστινάς τε ὠφέληκε τῶν ξυμπλεόντων οὐκ ἐάσας κατα-
ποντωθῆναι καὶ οὕστινας ἔβλαψεν, εἰδὼς ὅτι οὐδὲν αὐτοὺς
βελτίους ἐξεβίβασεν ἢ οἷοι * ἐνέβησαν, οὔτε τὰ σώματα οὔτε 51
τὰς ψυχάς. λογίζεται οὖν ὅτι οὐκ, εἰ μέν τις μεγάλοις καὶ
ἀνιάτοις νοσήμασι κατὰ τὸ σῶμα ξυνεχόμενος μὴ ἀπεπνίγη,
οὗτος μὲν ἄθλιός ἐστιν ὅτι οὐκ ἀπέθανε, καὶ οὐδὲν ὑπ' αὐ-
τοῦ ὠφέληται, εἰ δέ τις ἄρα ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ,
τῇ ψυχῇ, πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα, τούτῳ δὲ βιωτέον
ἐστὶ καὶ τοῦτον ὀνήσειεν, ἐάν τε ἐκ θαλάττης ἐάν *) τε ἐκ δι-
καστηρίου ἐάν τε ἄλλοθεν ὁποθενοῦν σώσῃ, ἀλλ' οἶδεν * ὅτι B
οὐκ ἄμεινόν ἐστι ζῆν τῷ μοχθηρῷ ἀνθρώπῳ· κακῶς γὰρ
ἀνάγκη ἐστὶ ζῆν. Διὰ ταῦτα οὐ νόμος ἐστὶ σεμνύνεσθαι τὸν
κυβερνήτην, καίπερ σώζοντα ἡμᾶς, οὐδέ γε, ὦ θαυμάσιε, τὸν
μηχανοποιόν, ὃς οὔτε στρατηγοῦ, μὴ ὅτι κυβερνήτου, οὔτε
ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν· πόλεις γὰρ ἔστιν
ὅτε ὅλας σώζει· μή σοι δοκεῖ κατὰ τὸν δικανικὸν εἶναι;
καίτοι εἰ βούλοιτο λέγειν, ὦ Καλλίκλεις, ἅπερ ὑμεῖς, σε-
μνύνων τὸ πρᾶγμα, καταχώσειεν * ἂν ὑμᾶς τοῖς λόγοις, C
λέγων καὶ παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνεσθαι μηχανοποιούς,
ὡς οὐδὲν τἆλλα ἐστίν· ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος. ἀλλὰ
σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς τέχνης τῆς
ἐκείνου, καὶ ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν,
καὶ τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν δοῦναι θυγατέρα ἐθέλοις οὔτ'
ἂν αὐτὸς τῷ σαυτοῦ **) λαβεῖν τὴν ἐκείνου. καίτοι, ἐξ ὧν
τὰ σαυτοῦ ἐπαινεῖς, τίνι δικαίῳ λόγῳ τοῦ μηχανοποιοῦ
καταφρονεῖς καὶ τῶν ἄλλων ὧν νῦν δὴ ἔλεγον; οἶδ' ὅτι
φαίης * ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων. τὸ δὲ βέλτιον D
εἰ μὴ ἔστιν ὃ ἐγὼ λέγω, ἀλλ' αὐτὸ τοῦτ' ἐστὶν ἀρετή, τὸ
σώζειν αὑτὸν καὶ τὰ ἑαυτοῦ ὄντα ὁποῖός τις ἔτυχε, καταγέ-
λαστός σοι ὁ ψόγος γίγνεται καὶ μηχανοποιοῦ καὶ ἰατροῦ
καὶ τῶν ἄλλων τεχνῶν, ὅσαι τοῦ σώζειν ἕνεκα πεποίηνται.
ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ

*) γρ. ἂν — ἄν.
**) ἄλλ. αὐτὸς λαβεῖν.

mediocri veſtitu; reputare enim, opinor, ſcit incertum eſſe quos iuverit una navigantium non ſinens eos in mari demergi, et quibus nocuerit, ſciens, ſe nihilo eos meliores expoſuiſſe, quam inſcendiſſent, neque corpore neque animo. reputat igitur non ſic ſe rem habere ut, ſi quis magnis et inſanabilibus corporis morbis afflictus in mari non ſit demerſus, hic quidem miſer ſit quod non perierit, nec ipſe quicquam illi profuerit, ſin autem aliquis in eo, quod corpore praeſtantius eſt, in animo, multos morbos habeat atque inſanabiles, huic vivendum et huic ipſe utilitatem allaturus ſit, ſive e mari ſive ex iudicio ſive ex alio quocumque periculo eum ſervaverit, ſed intelligit non eſſe melius vivere improbo homini; male enim vivat neceſſe eſt. Iccirco non eſt moris gubernatoris ut ſe iactet, quamvis ſervet nos, ne ipſius quidem, vir praeſtantiſſime, machinatoris, qui nec duce, nedum gubernatore, nec alio ullo minus interdum poteſt ſervare; urbes enim nonnumquam univerſas ſervat; ecquid hic tibi videtur cum rhetore iudiciali eſſe comparandus? quamquam ſi vellet dicere, Callicle, id quod vos, extollens rem, obrueret vos orationibus, adhortandi cauſa dicens vos oportere fieri machinatores, quia cetera nihil eſſent; magna enim ipſi copia dicendi. tu vero nihilo minus hunc deſpicis eiusque artem, probri cauſa appellabis eum machinatorem, nec filio ipſius dare voles filiam tuam in matrimonium tuove ipſe nuptum locare illius filiam. quamquam ex iſtis quibus tua laudas, quonam iure machinatorem deſpicis ceterosque quos modo memoravi? ſcio te dicturum eſſe meliorem te eſſe et a melioribus oriundum. melius tamen niſi id eſt quod ego dico, ſed hoc ipſum eſt virtus ſe ſuaque ſervare, qualiscumque ſit, ridicula vituperatio tua eſt et machinatoris et medici et ceterarum artium, quotquot ſervandi cauſa conſtitutae ſunt. at, o praeſtantiſſime, vide ne aliud quid genero-

ἀγαθὸν ἢ τοῦ σώζειν τε καὶ σώζεσθαι· μὴ γὰρ τοῦτο μὲν
τὸ ζῆν ὁποσονδὴ χρόνον τόν * γε ὡς ἀληθῶς ἄνδρα ἐα- E
τέον ἐστὶ *) καὶ οὐ φιλοψυχητέον, ἀλλ' ἐπιτρέψαντα περὶ
τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱ-
μαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίν'
ἂν τρόπον τοῦτον ὃν μέλλει χρόνον βιῶναι ὡς ἄριστα
βιῴη, ἆρα ἐξομοιῶν αὑτὸν τῇ πολιτείᾳ ταύτῃ * ἐν ᾗ ἂν 51
οἰκῇ, καὶ νῦν δὲ ἄρα **) δεῖ σε ὡς ὁμοιότατον γίγνεσθαι
τῷ δήμῳ τῷ Ἀθηναίων, εἰ μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ
μέγα δύνασθαι ἐν τῇ πόλει. τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ
ἐμοί, ὅπως μή, ὦ δαιμόνιε, πεισόμεθα ὅπερ φασὶ τὰς τὴν
σελήνην καθαιρούσας τὰς Θετταλίδας, σὺν τοῖς φιλτάτοις ἡ
αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει. εἰ δὲ
σὺ οἴει ὁντινοῦν ἀνθρώπων παραδώσειν τέχνην τινὰ τοιαύτην,
ἥτις σε ποιή*σει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε ἀνόμοιον B
ὄντα τῇ πολιτείᾳ εἴτ' ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον, ὡς ἐμοὶ
δοκεῖ, οὐκ ὀρθῶς βουλεύει, ὦ Καλλίκλεις· οὐ γὰρ μιμητὴν
δεῖ εἶναι, ἀλλ' αὐτοφυῶς ὅμοιον τούτοις, εἰ μέλλεις τι γνήσιον
ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ καὶ ναὶ μὰ Δία
τῷ Πυριλάμπους γε πρός. ὅςτις οὖν σε τούτοις ὁμοιότατον
ἀπεργάσεται, οὗτός σε ποιήσει, ὡς ἐπιθυμεῖς [πολιτικὸς] εἶ-
ναι, πολιτικὸν καὶ ῥητορικόν· τῷ * αὑτῶν γὰρ ἤθει λεγομέ- C
νων τῶν λόγων ἕκαστοι χαίρουσι, τῷ δὲ ἀλλοτρίῳ ἄχθονται·
εἰ μή τι σὺ ἄλλο λέγεις, ὦ φίλη κεφαλή. Λέγομέν τι πρὸς
ταῦτα, ὦ Καλλίκλεις;

ΚΑΛ. Οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες· πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος, οὐ πάνυ σοι πείθομαι.

ΣΩ. Ὁ δήμου γὰρ ἔρως ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ, ὦ
Καλλίκλεις, ἀντιστατεῖ μοι· ἀλλ' ἐὰν πολλάκις ἴσως καὶ βέλ-
τιον * ταὐτὰ ταῦτα διασκοπώμεθα, πεισθήσει ***). ἀνα- D
μνήσθητι δ' οὖν, ὅτι δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς
ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν, μίαν

---

*) ἴσ. ᾗ. **) γρ. ἄρα.

***) ἴσ. ἐὰν πολλάκις καὶ βέλτιον — ἴσως πεισθήσει.

sum ac bonum sit quam servare et servari; ne videlicet hoc, quam diutissime vivere, is qui vere sit vir missum facere debeat nec vitae adhaerescere, sed committere id deo et credens mulieribus, fatum neminem posse effugere, posthac perpendere, quo pacto id quod victurus sit tempus quam optime vivat, num similem se fingens civitatis eius in qua vivat, et nunc quidem, num te oporteat quam simillimum exsistere populi Atheniensium, si velis huic acceptus esse multumque valere in civitate: hoc vide an tibi prosit et mihi, ne, o bone, id nobis accidat quod dicunt accidere illis lunam deducentibus Thessalis, ne videlicet ab iis, quae carissima nobis sint, perdendis ducamus hanc in civitate potestatem. quodsi arbitraris quemvis hominum tibi traditurum esse huiusmodi artem quae efficiat ut multum possis in hacce urbe, licet dissimilis civitati sis, sive in meliorem sive in deteriorem partem, ut mihi videtur, haud recte statuis, Callicle; non enim imitatorem te oportet esse, sed tuapte natura similem horum, si vis germanam quandam facere amicitiam cum populo Atheniensium simulque mehercule cum Pyrilampis filio. quicumque igitur te horum simillimum efficiet, is te reddet, ita ut cupis, civilem et rhetoricum; orationibus enim ad suum ingenium dictis quisque gaudet, ad alienum vero dictas aegre fert; nisi quid aliud dicis, o carum caput. Habemus quod contra dicamus, Callicle?

Cal. Nescio quomodo, bene mihi videris dicere, Socrate; accidit tamen mihi quod plerisque: non satis mihi persuades.

So. Populi videlicet amor qui inest in animo tuo, Callicle, obstat mihi; at si saepius et melius haec eadem perscrutamur, haud dubie persuadeberis. recordare igitur duas nos posuisse rationes unumquodque et corpus et animum curandi; unam hanc, quae volupta-

μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν δὲ ἑτέραν πρὸς τὸ βέλτιστον, μὴ καταχαριζόμενον ἀλλὰ διαμαχόμενον. οὐ ταῦτα ἦν ἃ τότε ὡριζόμεθα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἡ μὲν ἑτέρα ἡ πρὸς ἡδονὴν ἀγεννὴς καὶ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα· ἢ γάρ;

ΚΑΛ. Ἔστω, εἰ βούλει, σοὶ * οὕτως. E

ΣΩ. Ἡ δέ γε ἑτέρα, ὅπως ὡς βέλτιστον ἔσται τοῦτο, εἴτε σῶμα τυγχάνει ὂν εἴτε ψυχή, ὃ θεραπεύομεν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν οὕτως ἡμῖν ἐπιχειρητέον ἐστὶ τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν, ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας; ἄνευ γὰρ δὴ τούτου, ὡς ἐν τοῖς ἔμπροσθεν εὑρίσκομεν, οὐδὲν ὄφελος ἄλλην εὐεργεσίαν οὐδεμίαν προσφέρειν, ἐὰν * μὴ καλὴ κἀγαθὴ ἡ διάνοια ᾖ τῶν μελλόντων ἢ 514
χρήματα πολλὰ λαμβάνειν ἢ ἀρχήν τινων ἢ ἄλλην δύναμιν ἡντινοῦν. θῶμεν οὕτως ἔχειν;

ΚΑΛ. Πάνυ γε, εἴ σοι ἥδιον.

ΣΩ. Εἰ οὖν παρεκαλοῦμεν ἀλλήλους, ὦ Καλλίκλεις, δημοσίᾳ πράξαντες τῶν πολιτικῶν πραγμάτων ἐπὶ τὰ οἰκοδομικά, ἢ τειχῶν ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα, πότερον ἔδει ἂν ἡμᾶς σκέψασθαι ἡμᾶς αὐτοὺς καὶ ἐξετά*σαι, πρῶτον μὲν εἰ ἐπιστάμεθα τὴν τέχνην ἢ οὐκ B
ἐπιστάμεθα, τὴν οἰκοδομικήν, καὶ παρὰ τοῦ ἐμάθομεν; ἔδει ἂν ἢ οὔ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν δεύτερον αὖ τόδε, εἴ τι πώποτε οἰκοδόμημα ᾠκοδομήκαμεν ἰδίᾳ, ἢ τῶν φίλων τινὶ ἢ ἡμέτερον αὐτῶν, καὶ τοῦτο τὸ οἰκοδόμημα καλὸν ἢ αἰσχρόν ἐστι, καὶ εἰ μὲν εὑρίσκομεν σκοπούμενοι διδασκάλους τε ἡμῶν ἀγαθοὺς καὶ ἐλλογίμους γεγονότας καὶ οἰκοδομήματα *πολλὰ μὲν καὶ καλὰ μετὰ τῶν διδασκάλων ᾠκοδομημένα ἡμῖν, πολλὰ δὲ καὶ ἰδίᾳ ὑφ' ἡμῶν *), ἐπειδὴ τῶν C
διδασκάλων ἀπηλλάγημεν, οὕτω μὲν διακειμένων νοῦν

*) ἄλλ. ἴδια ἡμῶν.

tis causa ea tractaret, alteram hanc, quae ad optimum spectaret, non gratificantem illam quidem, sed repugnantem. nonne haec erant quae tum definiebamus?

Cal. Sane quidem.

So. Altera igitur quae ad voluptatem spectat ignobilis nihilque aliud nisi adulatio est; nonne?

Cal. Esto, si vis, tibi ita.

So. Altera vero id spectat ut quam optimum exsistat hoc quod curamus, sive corpus est sive animus.

Cal. Sane quidem.

So. Num igitur ita nobis instituendum est civitatem et cives curare, ut quam optimos eos cives efficiamus? sine hoc enim, ut in praegressis invenimus, nihil prodest aliud ullum beneficium conferre, nisi honesta et bona est eorum mens, qui vel opes multas accepturi sunt vel imperium in quospiam vel aliam quamcumque potestatem. ponamus haec ita se habere?

Cal. Sane quidem, si tibi magis placet.

So. Si igitur inter nos adhortaremur, Callicle, publice statuentes in res civiles incumbere, ad architecturam factitandam, vel murorum vel navalium vel templorum moles maximas exstruendas, utrum oporteret nos ipsos perscrutari atque explorare, primo, num teneremus artem an nesciremus, architecturam, et a quo didicissemus? oporteret necne?

Cal. Sane quidem.

So. Nonne secundum esset hoc, num umquam aedificium exstruxissemus privatim vel amicorum alicuius vel nostrum ipsorum, et hoc aedificium pulchrum an deforme esset, et si inveniremus explorando magistros nostros bonos ac nobiles fuisse et aedificia multa praeclara una cum magistris nobis exstructa esse, multa etiam separatim a nobis, postquam a magistris discessissemus: ita si nos haberemus, prudens esset aggredi ad

ἐχόντων ἦν ἂν ἰέναι ἐπὶ τὰ δημόσια ἔργα, εἰ δὲ μήτε διδάσκαλον εἴχομεν ἡμῶν αὐτῶν ἐπιδεῖξαι οἰκοδομήματά τε ἢ μηδὲν ἢ πολλὰ καὶ μηδενὸς ἄξια, οὕτω δὲ ἀνόητον ἦν δήπου ἐπιχειρεῖν τοῖς δημοσίοις ἔργοις καὶ παρακαλεῖν ἀλλήλους ἐπ' αὐτά; Φῶμεν ταῦτα ὀρθῶς λέγεσθαι, * ἢ οὔ; D

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν οὕτω πάντα τά τε ἄλλα, κἂν εἰ ἐπιχειρήσαντες δημοσιεύειν παρεκαλοῦμεν ἀλλήλους ὡς ἱκανοὶ ἰατροὶ ὄντες, ἐπεσκεψάμεθα δήπου ἂν ἐγώ τε σὲ καὶ σὺ ἐμέ, Φέρε πρὸς θεῶν, αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν; ἢ ἤδη τις ἄλλος διὰ Σωκράτην ἀπηλλάγη νόσου, ἢ δοῦλος ἢ ἐλεύθερος; κἂν ἐγώ, οἶμαι, περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν; καὶ εἰ μὴ εὑρίσκομεν δι' ἡμᾶς μηδένα * βελτίω γεγονότα τὸ σῶμα, μήτε τῶν ξένων μήτε τῶν ἀστῶν, μήτε ἄνδρα μήτε γυναῖκα, πρὸς Διός, ὦ Καλλίκλεις, οὐ καταγέλαστον ἂν ἦν τῇ ἀληθείᾳ εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους, ὥστε, πρὶν ἰδιωτεύοντας πολλὰ μὲν ὅπως ἐτύχομεν ποιῆσαι, πολλὰ δὲ κατορθῶσαι καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, τὸ λεγόμενον δὴ τοῦτο, ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν, καὶ αὐτούς τε δημοσιεύειν ἐπιχειρεῖν καὶ ἄλλους τοιούτους παρακαλεῖν; οὐκ ἀνόητόν σοι δοκεῖ ἂν εἶναι οὕτω πράττειν; E

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Νῦν δέ, * ὦ βέλτιστε ἀνδρῶν, ἐπειδὴ σὺ μὲν αὐ- 515
τὸς ἄρτι ἄρχει πράττειν τὰ τῆς πόλεως πράγματα, ἐμὲ δὲ παρακαλεῖς καὶ ὀνειδίζεις ὅτι οὐ πράττω, οὐκ ἐπισκεψόμεθα ἀλλήλους, Φέρε, Καλλικλῆς ἤδη τινὰ βελτίω πεποίηκε τῶν πολιτῶν; ἔστιν ὅστις πρότερον πονηρὸς ὢν ἄδικός τε καὶ ἀκόλαστος καὶ ἄφρων διὰ Καλλικλέα καλός τε κἀγαθὸς γέγονεν, ἢ ξένος ἢ ἀστός, ἢ δοῦλος ἢ ἐλεύθερος; Λέγε μοι, ἐάν * τίς σε ταῦτα ἐξετάζῃ, ὦ Καλλί- B
κλεις, τί ἐρεῖς; τίνα φήσεις βελτίω πεποιηκέναι ἄνθρωπον τῇ ξυνουσίᾳ τῇ σῇ; Ὀκνεῖς ἀποκρίνασθαι, εἴπερ ἔστι

publica opera, sin autem neque magistrum nostri haberemus indicare neque aedificium ullum, aut plura quidem, sed nihili facienda, ita profecto dementiae esset suscipere publica opera et inter nos adhortari ad ipsa? Dicamus haec recte poni, necne?

Cal. Sane quidem.

So. Nonne ita quum in reliquis omnibus, tum etiam, si, nobis proponentes publice medicinam factitare, adhortaremur inter nos quasi idonei essemus medici, exploraremus haud dubie et ego te et tu me: Age per deos, ipse Socrates quanam est corporis valitudine? an alius quis per Socratem liberatus est morbo, vel servus vel liber? et ego, opinor, eadem haec de te anquirerem? iam si neminem reperiremus per nos meliorem exstitisse corpore neque externorum neque civium, neque virum neque mulierem, per Iovem, Callicle, nonne ridiculum esset revera, eo dementiae procedere homines ut, antequam privatim artem factitantes multa quomodocumque fecissent, multa feliciter curassent seque exercuissent satis in arte, ut in proverbio est, in dolio artem figlinam instituerent discere, publiceque et ipsi susciperent eam factitare et alios similiter comparatos adhortarentur? non dementis tibi videtur fore ita agere?

Cal. Mihi vero.

So. Nunc vero, o praestantissime virorum, quandoquidem tu ipse modo incepisti rem publicam gerere meque ad hoc adhortaris et exprobras mihi, quod non geram, non explorabimus inter nos: Age, Callicles num aliquem iam meliorem effecit de civibus? estne aliquis qui, quum ante pravus fuerit et iniustus et incontinens et insipiens, per Calliclem honestus ac bonus exstiterit, peregrinus vel civis, servus vel liber? Dic mihi, si quis ita te exploret, Callicle, quid responsurus es? quem te dices meliorem effecisse hominem consuetudine tua? Recusas ne respondeas, num huiusmodi

τοιόνδε τι ἔργον σὸν ἔτι ἰδιωτεύοντος, πρὶν δημοσιεύειν ἐπιχειρεῖν;

ΚΑΛ. Φιλόνεικος εἶ, ὦ Σώκρατες.

ΣΩ. Ἀλλ' οὐ φιλονεικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βουλόμενος εἰδέναι ὅντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν, εἰ ἄλλου του ἄρα ἐπιμελήσει ἡμῖν ἐλθὼν ἐπὶ τὰ τῆς πόλεως πράγ*ματα, ἢ ὅπως ὅτι βέλτιστοι οἱ πολῖται ὦμεν. ἢ οὐ πολλάκις ἤδη ὡμολογήκαμεν τοῦτο δεῖν πράττειν τὸν πολιτικὸν ἄνδρα; Ὡμολογήκαμεν ἢ οὔ; ἀποκρίνου. Ὡμολογήκαμεν· ἐγὼ ὑπὲρ σοῦ ἀποκρινοῦμαι. Εἰ τοίνυν τοῦτο δεῖ τὸν ἀγαθὸν ἄνδρα παρασκευάζειν τῇ ἑαυτοῦ πόλει, νῦν μοι ἀναμνησθεὶς εἰπὲ περὶ ἐκείνων τῶν ἀνδρῶν ὧν ὀλίγῳ πρότερον ἔλεγες, εἰ ἔτι σοι δοκοῦσιν ἀγαθοὶ πολῖται γεγονέναι, * Περικλῆς καὶ Κίμων καὶ Μιλτιάδης καὶ Θεμιστοκλῆς. C D

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν, εἴπερ ἀγαθοί, δῆλον ὅτι ἕκαστος αὐτῶν βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων; ἐποίει ἢ οὔ;

ΚΑΛ. Ἐποίει.

ΣΩ. Οὐκοῦν, ὅτε Περικλῆς ἤρχετο λέγειν ἐν τῷ δήμῳ, χείρους ἦσαν οἱ Ἀθηναῖοι, ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν;

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκ ἴσως δή, ὦ βέλτιστε, ἀλλ' ἀνάγκη ἐκ τῶν ὡμολογημένων, εἴπερ ἀγαθός γ' ἦν ἐκεῖνος πολί*της. E

ΚΑΛ. Τί οὖν δή;

ΣΩ. Οὐδέν· ἀλλὰ τόδε μοι εἰπὲ ἐπὶ τούτῳ, εἰ λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι, ἢ πᾶν τοὐναντίον διαφθαρῆναι ὑπ' ἐκείνου. ταυτὶ γὰρ ἔγωγε ἀκούω, Περικλέα πεποιηκέναι Ἀθηναίους ἀργοὺς καὶ δειλοὺς καὶ λάλους καὶ φιλαργύρους, εἰς μισθοφορίαν πρῶτον καταστήσαντα.

ΚΑΛ. Τῶν τὰ ὦτα κατεαγότων ἀκούεις ταῦτα, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ τάδε οὐκέτι ἀκούω, ἀλλὰ οἶδα σαφῶς καὶ

opus perfeceris adhuc privatim hoc gerens, priusquam publice id gerendum fusceperis?

Cal. Contendere amas, Socrate.

So. Neutiquam vero contentionis ftudio rogo, fed revera cupiens fcire, quo tandem pacto cenfeas rem publicam effe adminiftrandam apud nos, num videlicet aliud quid fpectaturus fis ad res civiles nobis aggreffus, nifi hoc ut quam optimi fimus cives. anne faepius iam confeffi fumus hoc effe agendum viro civili? Confeffi fumus necne? refponde. Confeffi fumus; ego tuo nomine refpondebo. Quodfi vero hoc oportet bonum virum parare civitati fuae, nunc mihi recordatus dic de viris illis quos paullo fupra memorafti, num adhuc tibi videantur boni cives fuiffe, Pericles et Cimon et Miltiades et Themiftocles.

Cal. Mihi vero.

So. Nonne, fi boni fuerunt, haud dubie quisque eorum meliores effecit cives ex deterioribus? effecit necne?

Cal. Effecit.

So. Nonne, quum Pericles inciperet dicere apud populum, deteriores fuerunt Athenienfes, quam quum poftremum diceret?

Cal. Fortaffe.

So. Non fortaffe, vir optime, fed neceffarium, ex eis quae confeffi fumus, certe fi bonus ille civis erat.

Cal. Quid tum?

So. Nihil; fed hoc mihi dic praeterea, num dicantur Athenienfes per Periclem meliores exftitiffe, an plane ex contrario corrupti effe ab illo. ita equidem audio, Periclem effeciffe Athenienfes inertes et timidos et loquaces et pecuniae avidos, ad ftipendia merenda primum eos redigentem.

Cal. Ex eis qui aures habent contufas haec audis, Socrate.

So. At hoc iam non audio, fed certo fcio, et ego

ἐγὼ καὶ σύ, ὅτι τὸ μὲν πρῶτον εὐδοκίμει Περικλῆς καὶ οὐδεμίαν αἰσχρὰν δίκην κατεψηφίσαντο αὐτοῦ Ἀθηναῖοι, ἡνίκα χείρους ἦσαν, ἐπειδὴ δὲ καλοὶ κἀγαθοὶ γεγόνεσαν * ὑπ' αὐτοῦ, ἐπὶ τελευτῇ τοῦ βίου τοῦ Περικλέους, κλοπὴν 516 αὐτοῦ κατεψηφίσαντο, ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν, δῆλον ὅτι ὡς πονηροῦ ὄντος.

ΚΑΛ. Τί οὖν; τούτου ἕνεκα κακὸς ἦν Περικλῆς;

ΣΩ. Ὄνων γοῦν ἂν ἐπιμελητὴς καὶ ἵππων καὶ βοῶν τοιοῦτος ὢν κακὸς ἂν ἐδόκει εἶναι, εἰ παραλαβὼν μὴ λακτίζοντας *) μηδὲ κυρίττοντας, μηδὲ δάκνοντας ἀπέδειξε ταῦτα ἅπαντα ποιοῦντας δι' ἀγριότητα· ἢ οὐ δοκεῖ σοι κακὸς εἶναι ἐπιμελητὴς ὁστισοῦν * ὁτουοῦν ζώου, ὃς ἂν B παραλαβὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαβε; Δοκεῖ, ἢ οὔ;

ΚΑΛ. Πάνυ γε, ἵνα σοι χαρίσωμαι.

ΣΩ. Καὶ τόδε τοίνυν μοι χάρισαι ἀποκρινάμενος, πότερον καὶ ὁ ἄνθρωπος ἓν τῶν ζώων ἐστίν, ἢ οὔ.

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ἀνθρώπων Περικλῆς ἐπεμέλετο;

ΚΑΛ. Ναί.

ΣΩ. Τί οὖν; οὐκ ἔδει αὐτούς, ὡς ἄρτι ὡμολογοῦμεν, δικαιοτέρους γεγονέναι ἀντὶ ἀδικωτέρων ὑπ' ἐκείνου, εἴπερ ἐκεῖνος ἐπε*μελεῖτο αὐτῶν ἀγαθὸς ὢν τὰ πο- C λιτικά;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος· σὺ δὲ τί φῄς; οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν ἀγριωτέρους γε αὐτοὺς ἀπέφηνεν ἢ οἵους παρέλαβε, καὶ ταῦτ' εἰς αὐτόν, ὃν ἥκιστ' ἂν ἐβούλετο.

ΚΑΛ. Βούλει σοι ὁμολογήσω;

ΣΩ. Εἰ δοκῶ γέ σοι ἀληθῆ λέγειν.

ΚΑΛ. Ἔστω δὴ ταῦτα.

---

*) ἄλλ. λακτίζοντας αὐτοὺς καὶ λακτίζοντας ἑαυτόν.

et tu, primo bona floruisse existimatione Periclem nec ullius rei turpis condemnasse eum Athenienses, quum deteriores essent; postquam vero honesti ac boni per ipsum exstitissent, eum sub vitae exitum peculatus condemnasse parumque absuisse quin etiam capitis litem aestimaverint, quod scilicet improbus esset.

Cal. Ain tu? iccirco malus erat Pericles?

So. Asinorum certe curator et equorum ac boum ita comparatus malus videbitur esse, si, quos acceperit nec calcitrantes nec cornibus ferientes nec mordentes, reddat haec omnia facientes propter feritatem; an non videtur tibi malus esse curator quisque cuiusque animantis, qui, quae accepit mansuetiora, efficit immaniora quam accepit? Videtur, necne?

Cal. Sane quidem, ut tibi gratificer.

So. Itaque hoc quoque mihi gratificare respondens. utrum etiam homo unum aliquod sit de animantibus, necne.

Cal. Quidni sit?

So. Nonne homines Pericles curabat?

Cal. Ita.

So. Quid ergo? non debebant illi, ut modo confessi sumus, iustiores exsistere, non iniustiores, per illum, si quidem iste eos curabat, bonus rei publicae administrator?

Cal. Sane quidem.

So. Nonne iusti sunt mansueti, ut dixit Homerus? tu vero quid dicis? non ita est?

Cal. Ita.

So. Iam vero immaniores illos effecit, quam acceperat, et quidem in se ipsum, in quem minime certe voluerat.

Cal. Vis tibi concedam?

So. Si quidem videor tibi vera dicere.

Cal. Sit igitur ita sane.

ΣΩ. Οὐκοῦν, εἴπερ ἀγριωτέρους, ἀδικωτέρους τε καὶ χείρους;

* ΚΑΛ. Ἔστω. D

ΣΩ. Οὐκ ἄρ' ἀγαθὸς τὰ πολιτικὰ Περικλῆς ἦν ἐκ τούτου τοῦ λόγου.

ΚΑΛ. Οὐ σύ γέ φης.

ΣΩ. Μὰ Δί' οὐδέ γε σὺ ἐξ ὧν ὁμολογεῖς. Πάλιν δὲ λέγε μοι περὶ Κίμωνος· οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι οὓς ἐθεράπευεν, ἵνα αὐτοῦ δέκα ἐτῶν μὴ ἀκούσειαν τῆς φωνῆς; καὶ Θεμιστοκλέα ταὐτὰ ταῦτα ἐποίησαν καὶ φυγῇ προσεζημίωσαν; Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βά*ραθρον ἐμβαλεῖν ἐψηφίσαντο, καὶ εἰ μὴ διὰ E
τὸν πρύτανιν, ἐνέπεσεν ἄν; Καίτοι οὗτοι, εἰ ἦσαν ἄνδρες ἀγαθοί, ὡς σύ φης, οὐκ ἄν ποτε ταῦτα ἔπασχον. οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι κατ' ἀρχὰς μὲν οὐκ ἐκπίπτουσιν ἐκ τῶν ζευγῶν, ἐπειδὰν δὲ θεραπεύσωσι τοὺς ἵππους καὶ αὐτοὶ ἀμείνους γένωνται ἡνίοχοι, τότ' ἐκπίπτουσιν· οὐκ ἔστι ταῦτ' οὔτ' ἐν ἡνιοχείᾳ οὔτ' ἐν ἄλλῳ ἔργῳ οὐδενί· ἢ δοκεῖ σοι;

ΚΑΛ. Οὐκ ἔμοιγε.

ΣΩ. Ἀληθεῖς ἄρα, ὡς ἔοικεν, οἱ ἔμπροσθεν λόγοι ἦσαν, ὅτι οὐδένα ἡμεῖς * ἴσμεν ἄνδρα ἀγαθὸν γεγονό- 517
τα τὰ πολιτικὰ ἐν τῇδε τῇ πόλει, σὺ δὲ ὡμολόγεις τῶν γε νῦν οὐδένα, τῶν μέντοι ἔμπροσθεν, καὶ προείλου τούτους τοὺς ἄνδρας· οὗτοι δὲ ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες, ὥςτε, εἰ οὗτοι ῥήτορες ἦσαν, οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο (οὐ γὰρ ἂν ἐξέπεσον) οὔτε τῇ κολακικῇ.

ΚΑΛ. Ἀλλὰ μέντοι πολλοῦ γε δεῖ, ὦ Σώκρατες, μή ποτέ * τις τῶν νῦν ἔργα τοιαῦτα ἐργάσηται, οἷα τούτων B
ὃς βούλει εἴργασται.

ΣΩ. Ὦ δαιμόνιε, οὐδ' ἐγὼ ψέγω τούτους ὥς γε διακόνους εἶναι πόλεως, ἀλλά μοι δοκοῦσι τῶν γε νῦν διακονικώτεροι γεγονέναι καὶ μᾶλλον οἷοί τε ἐκπορίζειν τῇ πόλει ὧν ἐπεθύμει· ἀλλὰ γὰρ μεταβιβάζειν τὰς ἐπιθυμίας καὶ μὴ ἐπιτρέπειν, πείθοντες καὶ βιαζόμενοι ἐπὶ τοῦτο ὅθεν

So. Nonne, ſi immaniores, etiam iniuſtiores ac deteriores?

Cal. Sit ſane.

So. Non erat ergo bonus rei publicae adminiſtrator Pericles, ut haec declarat oratio.

Cal. Tu certe hoc negas.

So. Etiam tu mehercule ex eis quae confiteris. Rurſus vero dic mihi de Cimone: nonne teſtarum ſuffragiis e civitate eum eiecerunt ii quos curabat, ne decem per annos eius vocem audirent? et Themiſtocli idem fecerunt exſilioque inſuper mulctarunt? Miltiadem vero ducem ad Marathona in barathrum praecipitandum decreverunt, et, niſi princeps obſtitiſſet, iniectus fuiſſet? Atqui his, ſi viri boni fuiſſent, ut tu ais, numquam hoc accidiſſet. certe non venit uſu bonis aurigis ut initio quidem non decidant e bigis, quum vero curaverunt equos ipſique meliores facti ſunt aurigae, tum decidant; hoc neque fit in aurigatione neque in alio ullo opere; an videtur tibi?

Cal. Non videtur.

So. Vera igitur ſunt, ut patet, quae in praegreſſis poſuimus, neminem nos ſcire qui bonus fuerit rei publicae adminiſtrator in hacce urbe; tu vero confitebare, de his qui nunc eſſent neminem talem fuiſſe, de prioribus autem, et deligebas hos viros; hos tamen apparuit ſimiles fuiſſe eorum qui nunc ſunt; quocirca, ſi hi rhetores erant, neque veram adhibuerunt rhetoricam neque (non enim cecidiſſent) adulantem.

Cal. Multum tamen abeſt, Socrate, ut eorum qui nunc ſunt aliquis opera talia perfecerit, qualia illorum quivis perfecit.

So. O bone, non ego vitupero hos ut miniſtros civitatis, ſed mihi videntur eis qui nunc ſunt paratiores fuiſſe in miniſtrando magisque idonei ad ea civitati ſuppeditanda quae concupiviſſet, at in deflectendis cupiditatibus nec permittendis, perſuadendo et vi perducendo

ἔμελλον ἀμείνους ἔσεσθαι οἱ πολῖται, ὡς ἔπος εἰπεῖν, οὐδὲν τούτων διέφερον ἐκεῖνοι· ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ C
πολίτου· ναῦς δὲ καὶ τείχη καὶ νεώρια καὶ ἄλλα πολλὰ τοιαῦτα καὶ ἐγώ σοι ὁμολογῶ δεινοτέρους εἶναι ἐκείνους τούτων ἐκπορίζειν.

Πρᾶγμα οὖν γελοῖον ποιοῦμεν ἐγώ τε καὶ σὺ ἐν τοῖς λόγοις· ἐν παντὶ γὰρ τῷ χρόνῳ ὃν διαλεγόμεθα οὐδὲν παυόμεθα εἰς τὸ αὐτὸ ἀεὶ περιφερόμενοι καὶ ἀγνοοῦντες ἀλλήλων ὅ τι λέγομεν. ἐγὼ γοῦν σε πολλάκις οἶμαι ὡμολογηκέναι καὶ ἐγνωκέναι, ὡς ἄρα διττὴ αὕτη * τις ἡ πραγματεία ἐστὶ καὶ περὶ τὸ D
σῶμα καὶ περὶ τὴν ψυχήν, καὶ ἡ μὲν ἑτέρα διακονική ἐστιν, ᾗ δυνατὸν εἶναι ἐκπορίζειν, ἐὰν μὲν πεινῇ τὰ σώματα ἡμῶν, σιτία, ἐὰν δὲ διψῇ, ποτά, ἐὰν δὲ ῥιγῷ, ἱμάτια, στρώματα, ὑποδήματα, τἄλλα ὧν ἔρχεται σώματα εἰς ἐπιθυμίαν (καὶ ἐξεπίτηδές σοι διὰ τῶν αὐτῶν εἰκόνων λέγω, ἵνα ῥᾷον καταμάθῃς)· τούτων γὰρ ποριστικὸν εἶναι ἢ κάπηλον ὄντα ἢ ἔμπορον ἢ δημιουργόν του αὐτῶν τούτων, σιτοποιὸν ἢ ὀψοποιὸν ἢ ὑφάν- E
την ἢ σκυτοτόμον ἢ σκυτοδεψόν, οὐδὲν θαυμαστόν *), ὄντα τοιοῦτον δόξαι καὶ αὐτῷ καὶ τοῖς ἄλλοις θεραπευτὴν εἶναι σώματος, παντὶ τῷ μὴ εἰδότι, ὅτι ἔστι τις παρὰ ταύτας ἁπάσας τέχνη γυμναστική τε καὶ ἰατρική, ἣ δὴ τῷ ὄντι ἐστὶ σώματος θεραπεία, ἥνπερ καὶ προσήκει τούτων ἄρχειν πασῶν τῶν τεχνῶν καὶ χρῆσθαι τοῖς τούτων ἔργοις διὰ τὸ εἰδέναι ὅ τι χρηστὸν καὶ πονηρὸν τῶν σιτίων ἢ ποτῶν ἐστὶν εἰς ἀρετὴν * σώματος, τὰς δ' ἄλλας πάσας ταύτας 518
ἀγνοεῖν· διὸ δὴ καὶ ταύτας μὲν δουλοπρεπεῖς τε καὶ διακονικὰς καὶ ἀνελευθέρους εἶναι περὶ σώματος πραγματείαν, τὰς ἄλλας τέχνας, τὴν δὲ γυμναστικὴν καὶ ἰατρικὴν κατὰ τὸ δίκαιον δεσποίνας εἶναι τούτων. Ταὐτὰ οὖν ταῦτα ὅτι ἔστι καὶ περὶ ψυχήν, τοτὲ μέν μοι δοκεῖς μανθάνειν ὅτι λέγω, καὶ ὁμολογεῖς ὡς εἰδὼς ὅ τι ἐγὼ λέγω, ἥκεις δὲ ὀλίγον ὕστερον λέγων ὅτι [ἄνθρωποι] καλοὶ κἀγαθοὶ γεγόνασι πολῖται ἐν τῇ πόλει, καὶ ἐπειδὰν ἐγὼ ἐρωτῶ B
οἵτινες, δοκεῖς μοι ὁμοιοτάτους προτείνεσθαι ἀνθρώπους

---

*) γρ. θαυμαστόν ἐστιν.

ad id, quo ſperare potuiſſent ſore ut ad bonam frugem cives ſe reciperent, nihilo fere meliores his fuerunt illi; quod tamen unum ſolum eſt officium boni civis; in navibus contra et muris et navalibus aliisque multis generis eiusdem parandis ego quoque tibi concedo illos paratiores his fuiſſe.

Ridiculum vero eſt quod facimus ego et tu in ſermonibus; nam inter omne quod colloquimur tempus non deſinimus eodem ſemper revolvi nec ſcire inter nos quid dicamus. ego certe te ſaepius arbitror confeſſum eſſe ac cognoviſſe, duplicem eſſe illam curationem et corporis et animi, et unam eſſe miniſtrantem quae parare poſſet, ſi eſuriret corpus noſtrum, cibos, ſi ſitiret, potus, ſi frigeret, veſtes, ſtragula, calceos, cetera quae corpus concupiſceret (et conſulto tibi iſdem utens ſimilibus haec explico, ut facilius percipias): horum igitur qui miniſter eſſet, nempe inſtitor vel mercator vel opifex alicuius harum rerum: panifex vel cocus vel textor vel ſutor vel coriarius, haud mirandum eſſe, quod, talis quum eſſet, et ſibi et ceteris videretur curator eſſe corporis, omnibus ſcilicet qui neſcirent eſſe quandam praeter has omnes artem gymnaſticam et medicinam, quae quidem revera eſſet corporis curatio quamque oporteret his praeeſſe omnibus artibus earumque operibus uti, propterea quod ſciret, quid utile nociturumve eſſet eſculentorum aut potulentorum ad corporis virtutem, quum reliquae illae omnes id ignorarent, quapropter etiam ſerviles et miniſtrantes et illiberales eſſent in corporis curatione reliquae artes, gymnaſtica vero et medicina iure haberentur illarum dominae. Eandem hanc eſſe etiam animi rationem, modo mihi videris intelligere me dicere et confiteris tamquam ſciens quid dicam, paullo poſt vero dicis, fuiſſe quosdam honeſtos ac bonos cives in civitate, et quum ego ex te quaero, quinam fuerint, videris mihi ſimillimos in medium pro-

περὶ τὰ πολιτικά, ὥςπερ ἂν εἰ περὶ τὰ γυμναστικὰ ἐμοῦ ἐρω-
τῶντος οἵ τινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σωμάτων θεραπευταί,
ἔλεγές μοι πάνυ σπουδάζων, Θεαρίων ὁ ἀρτοκόπος καὶ Μί-
θαικος ὁ τὴν ὀψοποιΐαν ξυγγεγραφὼς τὴν Σικελικὴν καὶ Σά-
ραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων
θεραπευταί, ὁ μὲν ἄρτους θαυ*μαστοὺς παρασκευάζων, ὁ δὲ C
ὄψον, ὁ δὲ οἶνον. Ἴσως ἂν οὖν ἠγανάκτεις, εἴ σοι ἔλεγον
ἐγὼ ὅτι Ἄνθρωπε, ἐπαΐεις οὐδὲν περὶ γυμναστικῆς· διακό-
νους μοι λέγεις καὶ ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους,
οὐκ ἐπαΐοντας καλὸν κἀγαθὸν οὐδὲν περὶ αὐτῶν, οἵ, ἂν οὕτω
τύχωσιν, ἐμπλήσαντες καὶ παχύναντες τὰ σώματα τῶν ἀνθρώ-
πων, ἐπαινούμενοι ὑπ' αὐτῶν, προςαπολοῦσιν αὐτῶν καὶ τὰς
ἀρ*χαίας σάρκας· οἱ δ' αὖ δι' ἀπειρίαν οὐ τοὺς ἑστιῶντας αἰ- D
τιάσονται τῶν νόσων αἰτίους εἶναι καὶ τῆς ἀποβολῆς τῶν ἀρ-
χαίων σαρκῶν, ἀλλ', οἳ ἂν αὐτοῖς τύχωσι τότε παρόντες καὶ
ξυμβουλεύοντές τι, ὅταν δὴ αὐτοῖς ἥκῃ ἡ τότε πλησμονὴ νό-
σον φέρουσα συχνῷ ὕστερον χρόνῳ, ἅτε ἄνευ τοῦ ὑγιεινοῦ
γεγονυῖα, τούτους αἰτιάσονται καὶ ψέξουσι καὶ κακόν τι ποιή-
σουσιν, ἂν οἷοί τ' ὦσι, τοὺς δὲ προτέρους ἐκείνους καὶ αἰτί-
ους τῶν κακῶν ἐγκωμιάσου*σι. Καὶ σὺ νῦν, ὦ Καλλίκλεις, E
ὁμοιότατον τούτῳ ἐργάζει· ἐγκωμιάζεις ἀνθρώπους, οἳ τού-
τους εἱστιάκασιν εὐωχοῦντες ὧν ἐπεθύμουν, καί φασι με-
γάλην τὴν πόλιν πεποιηκέναι αὐτούς· ὅτι δὲ οἰδεῖ καὶ ὕπου-
λός ἐστι δι' ἐκείνους τοὺς παλαιούς, οὐκ αἰσθάνονται·
*ἄνευ γὰρ σωφροσύνης καὶ δικαιοσύνης λιμένων καὶ νεω- 519
ρίων καὶ τειχῶν καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπε-
πλήκασι τὴν πόλιν. ὅταν οὖν ἔλθῃ ἡ καταβολὴ αὕτη τῆς
ἀσθενείας, τοὺς τότε παρόντας αἰτιάσονται ξυμβούλους, Θε-
μιστοκλέα δὲ καὶ Κίμωνα καὶ Περικλέα ἐγκωμιάσουσι, τοὺς
αἰτίους τῶν κακῶν· σοῦ δὲ ἴσως ἐπιλήψονται, ἐὰν μὴ εὐ-
λαβῇ, καὶ τοῦ ἐμοῦ ἑταίρου Ἀλκιβιάδου, ὅταν καὶ τὰ
ἀρχαῖα προςαπολλύωσι πρὸς οἷς ἐκτή*σαντο, οὐκ αἰτίων B
ὄντων τῶν κακῶν, ἀλλ' ἴσως ξυναιτίων. Καίτοι ἔγωγε
ἀνόητον πρᾶγμα καὶ νῦν ὁρῶ γιγνόμενον καὶ ἀκούω τῶν

ferre homines in re publica administranda, ac si, de rebus gymnasticis me rogante, qui boni fuerint vel sint corporum curatores, mihi respondeas plane serio: Thearion pistor et Mithaecus qui artem coquinariam conscripsit Siculam, et Sarambus caupo: hi admirabiles fuerunt corporum curatores, unus panes admirandos paravit, alter opsonia, tertius vinum. Fortasse indigne ferres, si tibi subiicerem ego: Nullam, homo, intelligentiam habes gymnasticae: ministros mihi dicis eosque qui, quae homines concupiscunt, parant, nihil probi ac boni de his intelligentes, qui quidem, si casus ita fert, implendo et saginando hominum corpora, licet ab his laudentur, insuper perdent pristinam eorum carnem; hi vero propter inscitiam non pascentes illos pro auctoribus habebunt morborum et iacturae pristinae carnis, sed, qui forte tum ipsis adsunt et suadent quicquam, quum expletio illa morbum iis affert multo post, quippe cui nulla sanitatis ratione habita indulserint, hos accusabunt et vituperabunt et mali quid iis facient, si poterunt, priores vero illos, et eos quidem auctores malorum, celebrabunt. Etiam tu nunc, Callicle, simillimi quid facis: celebras homines, qui hos paverunt epulis paratis quas concupiscebant et quos dicunt magnam fecisse urbem; at inflatam eam esse atque exulceratam propter veteres illos, non animadvertunt; nullam enim temperantiae et iustitiae rationem habentes illi portibus et navalibus et muris et vectigalibus et huiusmodi nugis impleverunt civitatem. quando igitur ingruit ille quem dixi morbi impetus, eos qui tum aderunt accusabunt consiliarios, Themistoclem vero et Cimonem et Periclem celebrabunt, qui auctores fuerunt malorum; te autem fortasse prehendent, nisi cautionem adhibueris, et amicum meum Alcibiadem, quando pristina quoque perdunt ad ea quae acquisiverunt, licet non auctores sitis malorum, sed fortasse adiutores. Quamquam equidem insipiens quid et nunc video solitum fieri et audio de

παλαιῶν ἀνδρῶν πέρι· αἰσθάνομαι γάρ, ὅταν ἡ πόλις τινὰ
τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται ὡς ἀδικοῦντα, ἀγα-
νακτούντων καὶ σχετλιαζόντων ὡς δεινὰ πάσχουσι, πολλὰ
καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες. ἆρα ἀδίκως ὑπ' αὐτῆς
ἀπόλλυνται, ὡς ὁ τούτων λόγος; τὸ δὲ ὅλον ψεῦδός ἐστι·
προστάτης γὰρ πόλεως οὐδ' * ἂν εἷς ποτὲ ἀδίκως ἀπόλοι- C
το ὑπ' αὐτῆς τῆς πόλεως ἧς προστατεῖ. κινδυνεύει γὰρ
ταὐτὸν εἶναι, ὅσοι τε πολιτικοὶ προσποιοῦνται εἶναι καὶ
ὅσοι σοφισταί· καὶ γὰρ οἱ σοφισταί, τἆλλα σοφοὶ ὄντες,
τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα· φάσκοντες γὰρ ἀρετῆς
διδάσκαλοι εἶναι πολλάκις κατηγοροῦσι τῶν μαθητῶν, ὡς
ἀδικοῦσι σφᾶς αὐτοὺς τούς τε μισθοὺς ἀποστεροῦντες καὶ
ἄλλην χάριν οὐκ ἀποδιδόντες, εὖ παθόντες ὑπ' αὐτῶν. καί-
τοι τούτου τοῦ λόγου * τί ἂν ἀλογώτερον εἴη πρᾶγμα, D
ἀνθρώπους ἀγαθοὺς καὶ δικαίους γενομένους, ἐξαιρεθέντας
μὲν ἀδικίαν ὑπὸ τοῦ διδασκάλου, σχόντας δὲ δικαιοσύνην,
ἀδικεῖν τούτῳ ᾧ οὐκ ἔχουσιν; οὐ δοκεῖ σοι τοῦτο ἄτοπον
εἶναι, ὦ ἑταῖρε; Ὡς ἀληθῶς δημηγορεῖν με ἠνάγκασας, ὦ
Καλλίκλεις, οὐκ ἐθέλων ἀποκρίνεσθαι.

ΚΑΛ. Σὺ δ' οὐκ ἂν οἷός τ' εἴης λέγειν, εἰ μή τίς
σοι ἀποκρίνοιτο;

ΣΩ. Ἔοικά γε· νῦν γοῦν συ*χνοὺς τείνω τῶν λό- E
γων, ἐπειδή μοι οὐκ ἐθέλεις ἀποκρίνεσθαι. ἀλλ', ὦ 'γαθέ,
εἰπὲ πρὸς Φιλίου, οὐ δοκεῖ σοι ἄλογον εἶναι, ἀγα-
θὸν φάσκοντα πεποιηκέναι τινὰ μέμφεσθαι τούτῳ, ὅτι
ὑφ' ἑαυτοῦ ἀγαθὸς γεγονώς τε καὶ ὢν ἔπειτα πονηρός
ἐστιν;

ΚΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν ἀκούεις τοιαῦτα λεγόντων τῶν φασκόν-
των παιδεύειν ἀνθρώπους εἰς ἀρετήν;

* *ΚΑΛ.* Ἔγωγε· ἀλλὰ τί ἂν λέγοις ἀνθρώπων πέρι 520
οὐδενὸς ἀξίων;

ΣΩ. Τί δ' ἂν περὶ ἐκείνων λέγοις, οἳ φάσκοντες προε-
στάναι τῆς πόλεως καὶ ἐπιμελεῖσθαι ὅπως ὡς βελτίστη

priſcis viris; animadverto enim, ſi civitas virorum aliquem civilium tractat ut iniuſte facientem, hos ſuccenſere et conqueri de eo, quod indigna patiantur, qui tam multis civitatem affecerint beneficiis. num iniuſte ab ea pereunt, ut dicunt? immo vero totum eſt mendacium; praefectus enim civitatis nullus umquam iniuſte peribit ab ipſa hac civitate cui praeeſt. etenim eadem propemodum eſt ratio eorum qui ſe civiles eſſe profitentur, atque eorum qui ſe ſophiſtas profitentur; nam etiam ſophiſtae, cetera ſapientes, hoc abſurde faciunt: prae ſe ferentes enim virtutis praeceptores ſe eſſe, ſaepenumero de hoc accuſant diſcipulos, quod iniuriam ſibi faciant mercede defraudantes et in univerſum gratiam non referentes pro beneficiis in ipſos collatis. quamquam quid poteſt eſſe repugnantius hac oratione, homines bonos et iuſtos factos, vindicatos ab iniuſtitia per praeceptorem, nactos vero iuſtitiam, iniuſte facere per hoc quod non habeant? non tibi videtur hoc repugnans eſſe, amice? Revera concionari me coëgiſti, Callicle, quod non vis reſpondere.

Cal. Tu vero non poteris dicere, niſi quis tibi reſpondeat?

So. Videor ſane non poſſe, nunc certe longe extendi orationes, quia mihi non vis reſpondere. ſed, o bone, dic per amicitiae praeſidem, non tibi videtur repugnans eſſe, ſi quis, qui prae ſe fert quemquam bonum ſe feciſſe, huic ut probrum obiicit quod, licet per ipſum bonus exſtiterit ac ſit, improbum tamen ſe praebeat?

Cal. Mihi ſane videtur.

So. Nonne audis talia dicentes hos, qui profitentur ſe homines inſtituere ad virtutem?

Cal. Ego vero; at quid dicere poſſis de hominibus nihili?

So. Quid vero de iis dicere poſſis qui profitentes ſe civitati praeeſſe idque ſpectare ut quam optima exſi-

ἔσται, πάλιν αὐτῆς κατηγοροῦσιν ὅταν τύχωσιν, ὡς πονηροτάτης; οἴει τι διαφέρειν τούτους ἐκείνων; Ταὐτόν, ὦ μακάριε, ἐστὶ σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλήσιον, ὥςπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον, σὺ δὲ δι' * ἄγνοιαν B τὸ μὲν πάγκαλόν τι οἴει εἶναι, τὴν ῥητορικήν, τοῦ δὲ καταφρονεῖς· τῇ δὲ ἀληθείᾳ κάλλιόν ἐστι σοφιστικὴ ῥητορικῆς, ὅσωπερ νομοθετικὴ δικαστικῆς καὶ γυμναστικὴ ἰατρικῆς. μόνοις δ' ἔγωγε καὶ ᾤμην τοῖς δημηγόροις τε καὶ σοφισταῖς οὐκ ἐγχωρεῖν μέμφεσθαι τούτῳ τῷ πράγματι ὃ αὐτοὶ παιδεύουσιν, ὡς πονηρόν ἐστιν εἰς σφᾶς, ἢ τῷ αὐτῷ λόγῳ τούτῳ ἅμα καὶ ἑαυτῶν κατηγορεῖν, ὅτι οὐδὲν ὠφελήκασιν οὓς φασιν ὠφελεῖν. οὐχ οὕτως * ἔχει; C

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Καὶ προέσθαί γε δήπου τὴν εὐεργεσίαν ἄνευ μισθοῦ, ὡς τὸ εἰκός, μόνοις τούτοις ἐνεχώρει, εἴπερ ἀληθῆ ἔλεγον· ἄλλην μὲν γὰρ εὐεργεσίαν τις εὐεργετηθείς, οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην, ἴσως ἂν ἀποστερήσειε τὴν χάριν, εἰ πρόοιτο αὐτῷ ὁ παιδοτρίβης καὶ μή, ξυνθέμενος αὐτῷ μισθόν, ὅτι μάλιστα ἅμα μεταδιδοὺς τοῦ τάχους λαμβάνοι τὸ ἀργύριον· οὐ γὰρ τῇ βρα*δυτῆτι, οἶμαι, ἀδικοῦσιν οἱ ἄνθρωποι, ἀλλ' ἀδικίᾳ· D ἦ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν εἴ τις αὐτὸ τοῦτο ἀφαιρεῖ, τὴν ἀδικίαν, οὐδὲν δεινὸν αὐτῷ μή ποτε ἀδικηθῇ, ἀλλὰ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι, εἴπερ τῷ ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν. οὐχ οὕτως;

ΚΑΛ. Φημί.

ΣΩ. Διὰ ταῦτ' ἄρα, ὡς ἔοικε, τὰς μὲν ἄλλας ξυμβουλὰς ξυμβουλεύειν λαμβάνοντα ἀργύριον, οἷον οἰκοδομίας πέρι ἢ τῶν ἄλλων τεχνῶν, οὐδὲν αἰσχρόν.

* ΚΑΛ. Ἔοικέ γε. E

ΣΩ. Περὶ δέ γε ταύτης τῆς πράξεως, ὅντιν' ἄν τις τρόπον ὡς βέλτιστος εἴη καὶ ἄριστα τὴν αὐτοῦ οἰκίαν διοι-

ſtat, rurſum eam accuſant, ſi caſus ita fert, tamquam improbiſſimam? opinaris aliquid differre inter hos et illos? Idem, o praeſtantiſſime, eſt ſophiſta et rhetor, vel cognati quid ac ſimile, quemadmodum dixi Polo, tu vero propter inſcientiam unum cenſes oppido pulchrum eſſe, rhetoricam, alterum autem deſpicis; revera tamen tanto pulchrior eſt ſophiſtica quam rhetorica, quanto legum ſcribendarum ſcientia rationi iudiciali et gymnaſtica medicinae praeſtat. ſolis videlicet equidem exiſtimabam concionatoribus et rhetoribus non convenire ut probrum obiicere iis, quos ipſi inſtituiſſent, hoc quod improbi eſſent in ipſos, aut eadem hac oratione ſe ipſos ſimul accuſare, quod nihil profuiſſent iis quibus ſe dicerent profuiſſe. non ita ſe habet?

Cal. Sane quidem.

So. Quin etiam deferre beneficium ſine mercede, ut patet, his ſolis conveniret, ſi vera dixi; alio enim quisquam beneficio affectus, veluti celer factus per palaeſtrae magiſtrum, forſitan hunc defraudet gratia, ſi tradat ipſi palaeſtrae magiſter facultatem illam nec, conſtituta mercede, quam maxime tradens celeritatem ſimul ſumat pecuniam; non enim tarditate, credo, iniuſte faciunt homines, ſed iniuſtitia; nonne?

Cal. Ita.

So. Iccirco ſi quis hoc ipſum adimit, iniuſtitiam, non verendum ei eſt ne umquam iniuriam accipiat, ſed ſolus tuto hoc beneficium deferet, ſi quidem revera poterit quis bonos efficere. nonne ita eſt?

Cal. Aio.

So. Hanc igitur ob cauſam, ut perſpicitur, in ceteris quidem rebus conſilium dare mercede accepta, velut in aedificatione ceterisve artibus, non eſt turpe.

Cal. Videtur ſane.

So. In hoc autem, quomodo aliquis quam optimus eſſe optimeque ſuam ipſe rem domeſticam vel civitatem

κοῖ ἢ πόλιν, αἰσχρὸν νενόμισται μὴ φάναι ξυμβουλεύειν, ἐὰν μή τις αὐτῷ ἀργύριον διδῷ· ἢ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Δῆλον γὰρ ὅτι τοῦτο αἴτιόν ἐστιν, ὅτι μόνη αὕτη τῶν εὐεργεσιῶν τὸν εὖ παθόντα ἐπιθυμεῖν ποιεῖ ἀντ' εὖ ποιεῖν, ὥςτε καλὸν δοκεῖ τὸ σημεῖον εἶναι, εἰ ὁ εὖ ποιήσας ταύτην τὴν εὐεργεσίαν ἀντ' εὖ πείσεται· εἰ δὲ μή, οὔ. ἔστι ταῦτα οὕτως ἔχοντα;

* ΚΑΛ. Ἔστιν. 521

ΣΩ. Ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν τῆς πόλεως; διόρισόν μοι· τὴν τοῦ διαμάχεσθαι Ἀθηναίοις, ὅπως ὡς βέλτιστοι ἔσονται, ὡς ἰατρόν, ἢ ὡς διακονήσοντα καὶ πρὸς χάριν ὁμιλήσοντα; Τἀληθῆ μοι εἰπέ, ὦ Καλλίκλεις· δίκαιος γὰρ εἶ, ὥςπερ ἤρξω παῤῥησιάζεσθαι πρὸς ἐμέ, διατελεῖν ἃ νοεῖς λέγων. καὶ νῦν εὖ καὶ γενναίως εἰπέ.

ΚΑΛ. Λέγω τοίνυν ὅτι ὡς διακονή*σοντα. B

ΣΩ. Κολακεύσοντα *) ἄρα με, ὦ γενναιότατε, παρακαλεῖς.

ΚΑΛ. Εἴ σοι Μυσόν γε ἥδιον καλεῖν, ὦ Σώκρατες· ὡς εἰ μὴ ταῦτά γε ποιήσεις —

ΣΩ. Μὴ εἴπῃς ὃ πολλάκις εἴρηκας, ὅτι ἀποκτενεῖ με ὁ βουλόμενος, ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω ὅτι Πονηρός γε ὢν ἀγαθὸν ὄντα, μηδ' ὅτι ἀφαιρήσεται, ἐάν τι ἔχω, ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω ὅτι Ἀλλ' ἀφελόμενος οὐχ ἕξει ὅ τι χρήσεται αὐτοῖς, ἀλλ', ὥςπερ με * ἀδίκως ἀφείλετο, οὕτω καὶ λαβὼν ἀδίκως χρήσεται, εἰ δὲ ἀδίκως, αἰσχρῶς, εἰ δὲ αἰσχρῶς, κακῶς. C

ΚΑΛ. Ὥς μοι δοκεῖς, ὦ Σώκρατες, πιστεύειν μηδ' ἂν ἓν τούτων παθεῖν, ὡς οἰκῶν ἐκποδὼν καὶ οὐκ ἂν εἰςαχθεὶς εἰς δικαστήριον ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου!

ΣΩ. Ἀνόητος ἄρα εἰμί, ὦ Καλλίκλεις, ὡς ἀληθῶς, εἰ μὴ οἴομαι ἐν τῇδε τῇ πόλει ὁντινοῦν ἄν, ὅ τι τύχοι, τοῦτο παθεῖν. τόδε μέντοι εὖ οἶδ' ὅτι, ἐάνπερ εἰςίω εἰς

---

*) ἴσ. Ὡς κολακεύσοντα.

administrare possit, turpe existimatur non profiteri se consilium dare, nisi quis pecuniam numeret; nonne?

Cal. Ita.

So. Patet enim hanc esse causam, quod solum hoc beneficium eum in quem conferatur ita alliciat ut cupiat illud remunerari; quocirca pulchrum hoc videtur indicium esse, si ei, qui bene fecit, hoc beneficium redditur, sin, non est pulchrum. itane haec se habent?

Cal. Habent vero.

So. Ad utram iam me adhortaris civitatis curationem? defini mihi: ad hanc qua contendam ut Athenienses quam optimi exsistant, instar medici, an ad eam qua iis ministrem voluptatisque causa eos tractem? Vera mihi dic, Callicle; par est enim te, quemadmodum coepisti libere mecum loqui, porro dicere quae sentis. nunc quoque probe ac fidenter dic.

Cal. Dico igitur, ad eam qua ministres.

So. Ad adulandum igitur me, o honestissime, provocas.

Cal. Si Mysum mavis in iudicium vocare, Socrate, esto; nam nisi hoc feceris —

So. Ne dicas quod saepius protulisti, occisurum me esse quicumque voluerit, ut ne ego rursus dicam: Improbus utique bonum; neque, spoliaturum esse si quid habeam, ne ego rursus dicam: At si spoliaverit, non habebit quid eo faciat, sed, quemadmodum iniuste spoliaverit, ita etiam adeptus iniuste eo utetur, et si iniuste, turpiter, si vero turpiter, male.

Cal. Quam mihi videris, Socrate, confidere tibi nihil horum posse accidere, quasi procul habites nec possis in iudicium adduci etiam ab improbissimo vilissimoque homine!

So. Insipiens igitur sim, Callicle, revera, nisi credam in hac civitate cuivis, quodcumque casus ferat, id posse accidere. hoc tamen sat scio, si adducar in iudi-

δικαστή*ριον περὶ τούτων τινὸς κινδυνεύων, ὃ σὺ λέγεις, D πονηρός τίς με ἔσται ὁ εἰςάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ' ἄνθρωπον εἰςαγάγοι· καὶ οὐδέν γε ἄτοπον εἰ ἀποθνήσκοιμι. βούλει σοι εἴπω διότι ταῦτα προςδοκῶ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οἶμαι μετ' ὀλίγων Ἀθηναίων, ἵνα μὴ εἴπω μόνος, ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν. ἅτε οὖν οὐ πρὸς χάριν λέγων τοὺς λόγους οὓς λέγω ἑκάστοτε, ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ * πρὸς τὸ ἥδιστον, καὶ οὐκ ἐθέλων ποιεῖν ἃ σὺ E παραινεῖς, τὰ κομψὰ ταῦτα, οὐχ ἕξω ὅ τι λέγω ἐν τῷ δικαστηρίῳ· ὁ αὐτὸς δέ μοι ἥκει λόγος ὅνπερ πρὸς Πῶλον ἔλεγον· κρινοῦμαι γὰρ ὡς ἐν παιδίοις ἰατρὸς ἂν κρίνοιτο κατηγοροῦντος ὀψοποιοῦ. σκόπει γάρ, τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄνθρωπος ἐν τούτοις ληφθείς, εἰ αὐτοῦ κατηγοροῖ τις λέγων ὅτι Ὦ παῖδες, πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ὁ ἀνὴρ *) καὶ αὐτοὺς καὶ τοὺς νεωτάτους ὑμῶν διαφθείρει, τέμνων τε καὶ κάων καὶ ἰσχναίνων * καὶ πνί- 522
γων ἀπορεῖν ποιεῖ, πικρότατα πώματα διδοὺς καὶ πεινῆν καὶ διψῆν ἀναγκάζων, οὐχ ὥςπερ ἐγὼ πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ εὐώχουν ὑμᾶς. — τί ἂν οἴει ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα τὸν ἰατρὸν ἔχειν εἰπεῖν; ἢ εἰ εἴποι τὴν ἀλήθειαν ὅτι Ταῦτα πάντα ἐγὼ ἐποίουν, ὦ παῖδες, ὑγιεινῶς, ὁπόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικαστάς; οὐ μέγα;

ΚΑΛ. Ἴσως οἴεσθαί γε χρή.

ΣΩ. Οὐκοῦν οἴει ἐν πάσῃ ἀπορίᾳ ἂν αὐτὸν ἔχεσθαι ὅ τι * χρὴ εἰπεῖν; B

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τοιοῦτον μέντοι καὶ ἐγὼ οἶδα ὅτι πάθος πάθοιμι ἂν εἰςελθὼν εἰς δικαστήριον· οὔτε γὰρ ἡδονὰς ἃς ἐκπεπόρικα ἕξω αὐτοῖς λέγειν, ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελείας νομίζουσιν, ἐγὼ δὲ οὔτε τοὺς πορίζοντας ζηλῶ

---

*) γρ. ἀνήρ.

cium in huiusmodi discrimen vocatus, id quod tu dicis, improbum fore aliquem qui me ſit adducturus; nullus enim probus hominem nihil iniuriae facientem adducet; et minime mirandum, ſi morti obiiciar. vis tibi dicam quid ſit quod hoc ſuſpicer?

Cal. Sane quidem.

So. Arbitror me paucis cum Athenienſibus, ne dicam ſolum, ſtudere verae rationi civili et res civiles gerere ſolum ex iis qui nunc ſunt. iam quia non gratiam aucupans verba facio quaecumque facio, ſed optimum ſpectans, non iucundiſſimum, nec volo adhibere illas quas tu nunc ſuades delicias, non habebo quid dicam in iudicio. idem vero poſſum dicere quod Polo dixi: iudicabor enim, ſicut apud puerulos iudicetur medicus accuſante coco. perpende enim, quomodo defendere ſeſe poſſit huiusmodi homo apud illos comprehenſus, ſi quis eum accuſet dicens: O pueri, multis affecit malis hic vir non modo vos ipſos, ſed etiam natu minimos veſtrûm corrumpit: ſecando videlicet et emaciando et ſuffocando facit ut neſciant quo ſe vertant, amariſſima iis medicamenta dans et eſurire ſitireque cogens, quum ego contra multis et variis vos deliciis oblectaverim. — quid opinaris hoc interclusum malo medicum habiturum eſſe dicere? vel, ſi dicat verum: Haec omnia ego feci, o pueri, ſanitatis veſtrae cauſa, quantum opinaris clamorem ſublaturos eſſe huiusmodi iudices? nonne magnum?

Cal. Videtur quidem ita exiſtimandum eſſe.

So. Cenſesne fore ut prorſus neſciat quid dicere ipſum oporteat?

Cal. Sane quidem.

So. Tale vero aliquid etiam mihi ſcio eventurum eſſe, ſi adducar in iudicium; neque enim voluptates quas ipſis comparaverim habebo recenſere, quas illi merita et emolumenta iudicant, quum ego contra nec iis qui

οὔτε οἷς πορίζεται· ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθείρειν ἀπορεῖν ποιοῦντα ἢ τοὺς πρεσβυτέρους κατηγορεῖν *) λέγοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ, οὔτε τὸ ἀληθὲς ἕξω εἰπεῖν ὅτι Δικαίως πάντα ταῦτα ἐγὼ λέγω καὶ πράττω, C τὸ ὑμέτερον δὴ τοῦτο, ὦ ἄνδρες δικασταί, οὔτε ἄλλο οὐδέν· ὥστε ἴσως, ὅ τι ἂν τύχω, τοῦτο πείσομαι.

ΚΑΛ. Δοκεῖ οὖν σοι, ὦ Σώκρατες, καλῶς ἔχειν ἄνθρωπος ἐν πόλει οὕτω διακείμενος καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν;

ΣΩ. Εἰ ἐκεῖνό γε ἐν αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας· εἰ βεβοηθηκὼς εἴη αὑτῷ, μήτε περὶ ἀνθρώπους μήτε περὶ * θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς D μήτε εἰργασμένος· αὕτη γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος καὶ μόνος ὑπὸ μόνου, καὶ εἰ διὰ ταύτην τὴν ἀδυναμίαν ἀποθνήσκοιμι, ἀγανακτοίην ἄν· εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε, εὖ * οἶδα ὅτι ῥᾳδίως E ἴδοις ἄν με φέροντα τὸν θάνατον. αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται, ὅστις μὴ παντάπασιν ἀλόγιστός τε καὶ ἄνανδρός ἐστι, τὸ δὲ ἀδικεῖν φοβεῖται· πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς Ἅιδου ἀφικέσθαι πάντων ἔσχατον κακῶν ἐστίν. εἰ δὲ βούλει, σοὶ ἐγώ, ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον λέξαι.

ΚΑΛ. Ἀλλ' ἐπείπερ γε καὶ τἆλλα ἐπέρανας, καὶ τοῦτο πέρανον.

* ΣΩ. Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν σὺ 523 μὲν ἡγήσει μῦθον, ὡς ἐγῷμαι **), ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. Ὥςπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ

---

*) ἄλλ. κακηγορεῖν.

**) γρ. ἐγὼ οἶμαι.

parant invideam nec iis quibus parantur; et si quis me vel iuniores dicat corrumpere, ita cum iis agendo ut nesciant quo se vertant, vel seniores criminari acerbis orationibus vel privatim vel publice, neque verum habebo dicere: Iuste omnia haec ego dico et facio, et in vestram quidem rem, o iudices, neque aliud quicquam: ut forsitan, quicquid casus ferat, id mihi accidat.

Cal. Videtur autem tibi, Socrate, bene habere homo in civitate qui ita comparatus est nec potest sibi ipse auxiliari?

So. Utique, si istud ipsi subsit, Callicle, quod tu saepius confessus es: si hoc se iuverit auxilio, quod neque adversus homines neque adversus deos iniusti quid vel dixerit vel fecerit; hoc enim quod sibi ipse fert auxilium saepius affirmavimus praestantissimum esse. itaque si quis convincat me non posse hoc auxilio me ipsum alterumve iuvare, pudeat me, sive coram multis sive coram paucis convincar sive solus a solo, et si propterea quod auxiliari mihi non possim, morti obiiciar, indigne id feram, sin propter adulantis rhetoricae inopiam peream, sat scio te visurum esse aequo me animo mortem ferentem. ipsam enim mortem nemo formidat, nisi prorsus insipiens sit atque ignavus, iniusta vero facinora formidat; animo videlicet multis impleto maleficiis ad inferos migrare omnium extremum est malorum. si vis, ego tibi, hoc ita se habere, narratione sum expositurus.

Cal. Sane quidem, quoniam cetera absolvisti, etiam hoc absolve.

So. Audi igitur, ut dicunt, oppido pulchram narrationem, quam tu quidem existimabis fabulam, ut opinor, ego vero narrationem; nam ut vera dicturus sum quae dicere aggredior. Quemadmodum enim Homerus dicit, partiti sunt imperium inter se Iuppiter et Neptunus et Pluto, postquam a patre relictum acceperant. erat autem haec lex de hominibus statuta Saturno re-

ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, * ἐς μακά- B
ρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεως τε καὶ δίκης *) δεσμωτήριον, ὃ δὴ τάρταρον καλοῦσιν, ἰέναι. τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο. ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία ὅτι φοι*τῷέν σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. εἶπεν C
οὖν ὁ Ζεύς Ἀλλ' ἐγώ, ἔφη, παύσω τοῦτο γιγνόμενον· νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται· ἀμπεχόμενοι γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται. πολλοὶ οὖν, ἦ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν. οἱ οὖν δικασταὶ ὑπό τε τού*των ἐκπλήττονται, καὶ ἅμα D
καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὑτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται, καὶ τὰ αὑτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι· τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ αὐτό **)· * ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τού- E
των· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων τῶν ξυγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνων τε καὶ Ῥαδάμανθυν, * ἕνα δὲ 524
ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ ἐξ ἧς φέρετον

*) ἄλλ. δίκης τε καὶ τίσεως.
**) γρ. αὐτὸ αὐτῶν. ἄλλ. αὐτῶν.

gnante, cui quum ſemper, tum etiamnunc dii parent, ut, quicumque hominum iuſte vitam traduxiſſet ac pie, quum mortuus eſſet, in beatorum inſulas migraret ibique habitaret in omni felicitate expers malorum, qui vero iniuſte impieque vixiſſet, in ultionis ac poenae carcerem, quem quidem tartarum dicunt, abiret. horum vero iudices Saturno regnante et nuper etiam, quum Iuppiter imperium teneret, vivi erant vivorum, eo ipſo die iudicantes, quo illi mortem erant obituri. male igitur iudicia exercebantur. iccirco Pluto et curatores in beatorum inſulis accedentes ad Iovem dicebant, ventitare ſibi homines utroque indignos. tum Iuppiter Ego, inquit, faciam ne in poſterum hoc fiat; nunc enim male iudicia exercentur; nam amicti, inquit, qui iudicantur, iudicantur, quia vivi iudicantur. multi iccirco, ait, qui animos pravos habent, induti ſunt corporibus pulchris et nobilitatibus et divitiis, et, quando iudicium exercetur, veniunt ipſis multi teſtes teſtificatum iuſte eos vixiſſe. iudices vero quum his procedentibus percutiuntur, tum ipſi quoque amicti iudicant, quum animus ipſorum oculis, auribus totoque ſit corpore praetextus; hi videlicet omnes iis officiunt et ſui proprii et iudicandorum amictus. primum igitur, inquit, faciendum eſt ut deſinant praeſentire mortem; nunc enim praeſentiunt; et hoc quidem dictum iam eſt Prometheo ut illud adimat; deinde nudi iudicandi ſunt ab omnibus illis; mortui enim debent iudicari, et iudicem oportet nudum eſſe, ita ut mortuus ipſo animo ipſum animum ſpectet cuiusque, ſtatim ut is mortuus eſt, deſtitutum ab omnibus cognatis relictoque in terra omni illo ornatu, ut iuſte exerceatur iudicium. equidem quum haec prius cognoviſſem quam vos, conſtitui iudices filios meos, duos ex Aſia, Minoem et Rhadamanthum, unum ex Europa, Aeacum. hi ergo quum mortui erunt, iudicabunt in campo, in trivio illo unde ducunt duae

τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις.

Ταῦτ' ἔστιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ * εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι λογίζομαι B ξυμβαίνειν. Ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυεῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν. ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος, τό τε σῶμα τὴν φύσιν τὴν αὑτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα, ἔνδηλα πάντα· οἷον εἴ τινος μέγα ἦν τὸ * σῶμα φύσει ἢ τροφῇ ἢ C ἀμφότερα ζῶντος, τούτου καὶ ἐπειδὰν ἀποθάνῃ ὁ νεκρὸς μέγας, καὶ εἰ παχύς, παχὺς καὶ ἀποθανόντος, καὶ τἆλλα οὕτως· καὶ εἰ αὖ ἐπετήδευε κομᾶν, κομήτης τούτου καὶ ὁ νεκρός, μαστιγίας αὖ εἴ τις ἦν καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμάτων ζῶν, καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα ἔχον, κατεαγότα τε εἴ του ἦν μέλη ἢ διεστραμμένα ζῶντος, καὶ τεθνεῶτος ταῦτα ἔνδηλα· * ἑνὶ δὲ λόγῳ, οἷος εἶναι παρε- D σκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος ἦν πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρόνον. Ταὐτὸν δή μοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι, ὦ Καλλίκλεις· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ * τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστή- E σας θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορ-

viae, ad beatorum insulas una, altera ad tartarum; et illos quidem ex Asia Rhadamanthus iudicabit, ex Europa vero profecturos Aeacus; Minoi autem munus assignabo honorarium diiudicandi, si quid haesitent alteri, ut quam iustissimum agatur iudicium de migratione hominum.

Haec sunt, Callicle, quae ego auditu percepta confido vera esse, et ex his orationibus hoc colligo esse consequens. Mors videlicet est, ut mihi videtur, nihil aliud nisi duarum rerum dissolutio, animi et corporis. quando vero dissolutae sunt inter se, haud multo minus quaeque earum suum retinet habitum, quo erat quum viveret homo; et corpus quidem suam tenet naturam, suos cultus et affectiones, easque manifestas cunctas; velut si cuius corpus magnum erat natura vel pastu vel utroque viventis, huius etiam mortui cadaver magnum est, si pingue, pingue etiam mortui cadaver et sic reliqua; si porro studebat comam alere, comatum est etiam huius cadaver, sin verbero quis erat et cicatrices, plagarum vestigia, verberibus aliisve vulneribus acceptas in corpore habebat vivus, huius etiam mortui corpus conspicitur easdem habens; fractaque si cuius erant membra vel distorta vivi, eadem etiam in mortuo apparent: uno verbo, quomodo comparatum erat alicuius corpus viventis, eadem conspiciuntur etiam in mortuo aut omnia aut plurima satis diu. Eadem vero mihi videtur etiam animi ratio esse, Callicle: manifesta sunt omnia in animo, si nudatus est corpore, et quae naturâ in eo insunt et affectiones illae, quas ex singularum rerum studio traxit animus hominis. iam quum venerunt ad iudicem, et illi quidem ex Asia ad Rhadamanthum, Rhadamanthus ante se eos constituit et cuiusque spectat animum, nesciens cuius sit, sed saepenumero magni regis prehendens vel alius cuiuspiam regis dominatorisve animum, nihil sani in eo animadvertit, sed verberibus reperit foedatum cicatricumque plenum periu-

κιῶν καὶ ἀδικίας, ἃ * ἑκάστῳ ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο 525
εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζο-
νείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι,
καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας τῶν
πράξεων ἀξυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυ-
χὴν εἶδεν. ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς
φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πά-
θη. προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, * ὑπ' ἄλλου B
ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι, ἢ
παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πά-
σχοντα, ἃ ἂν πάσχῃ, φοβούμενοι βελτίους γίγνωνται. εἰσὶ
δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες ὑπὸ θεῶν τε
καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν·
ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέ-
λεια καὶ ἐνθάδε καὶ ἐν Ἅιδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδι-
κίας ἀπαλλάττεσθαι. οἳ * δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ C
διὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ πα-
ραδείγματα γίγνεται, καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται
οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται οἱ τούτους
ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ
φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς πα-
ραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δεσμωτηρίῳ,
τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ νουθε-
*τήματα. ὧν ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι, εἰ ἀλη- D
θῆ λέγει Πῶλος, καὶ ἄλλον ὅστις ἂν τοιοῦτος τύραννος ᾖ·
οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι τοὺς τούτων τῶν παραδειγμά-
των ἐκ τυράννων καὶ βασιλέων καὶ δυναστῶν καὶ τὰ τῶν
πόλεων πραξάντων γεγονότας· οὗτοι γὰρ διὰ τὴν ἐξουσίαν
μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι. Μαρτυ-
ρεῖ δὲ τούτοις καὶ Ὅμηρος· βασιλέας γὰρ καὶ δυνάστας
ἐκεῖνος πεποίηκε τοὺς ἐν Ἅιδου τὸν * ἀεὶ χρόνον τιμωρου- E
μένους, Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν· Θερσίτην δὲ καὶ
εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκε μεγάλαις
τιμωρίαις ξυνεχόμενον ὡς ἀνίατον· οὐ γάρ, οἶμαι, ἐξῆν αὐτῷ·

riis et maleficiis conceptarum, quae quidem veſtigia cuiusque actio in animo expreſſit, omniaque conſpicit obliqua propter mendacium et falſitatem, nihil autem recti, quia neglecto veritatis ſtudio educatus eſt; itaque propter licentiam, luxuriam, laſciviam et intemperantiam in agendo discrepantia ac turpitudine refertum conſpicit animum, conſpectumque cum ignominia hunc amandat recta in cuſtodiam, quo ſi advenit, patienda ei ſunt quae conveniunt mala; convenit autem cuique qui poena tenetur, ſi recte punitur, ut vel melior exſiſtat et iuvetur, vel exemplum ceteris fiat, ut videlicet alii videntes eum patientem quae patiatur, metu adducti meliores exſiſtant. ſunt vero ii qui iuvantur poenaque afficiuntur et a diis et ab hominibus hi, qui ſanabilia peccata admiſerunt; per dolores tamen et cruciatus obtingit iis utilitas illa et hic et apud inferos; non enim aliter poſſunt iniuſtitia liberari. qui autem facinora perpetrarunt iniuſtiſſima et talia propter maleficia inſanabiles exſtiterunt, ex his exempla illa ſumuntur, iique ipſi quidem nullam iam utilitatem capiunt, ut qui inſanabiles ſint, alii vero capiunt, qui eos vident propter facinora maximas et acerbiſſimas et truculentiſſimas luentes poenas in perpetuum, reapſe exempli loco ſuspenſos ibi apud inferos in carcere, omnibus iniuſtis eo venientibus ſpectaculo et admonitioni. quorum unum dico etiam Archelaum futurum eſſe, ſi vera dicit Polus, et quicumque huiusmodi ſit tyrannus; arbitror vero etiam plurimos, qui exempli loco proponantur, eſſe eos qui tyranni, reges rerumque civilium adminiſtratores fuerint; hi enim propter licentiam maxima et improbiſſima facinora committunt. Teſtatur hoc etiam Homerus; reges enim et dominatores ille fecit apud inferos in perpetuum puniri, Tantalum et Siſyphum et Tityum, Therſiten vero et ſi quis alius privatus erat pravus, nemo fecit magnis poenis affici ut inſanabilem; non enim, opinor, tantorum flagitiorum licentiam habebat;

διὸ καὶ εὐδαιμονέστερος ἦν ἢ οἷς ἐξῆν. ἀλλὰ γάρ, ὦ Καλλίκλεις, ἐκ τῶν δυναμένων εἰσὶ καὶ οἱ σφόδρα πονη*ροὶ 526
γιγνόμενοι ἄνθρωποι. οὐδὲν μὴν *) κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι· καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνομένων· χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου ἄξιον, ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶναι· ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι. ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τοῦ δι*καίως διαχειρίζειν B
ἃ ἄν τις ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονε καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, Ἀριστείδης ὁ Λυσιμάχου. οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν. Ὅπερ οὖν ἔλεγον, ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδέν, οὔθ' ὅστις οὔθ' ὧντινων, ὅτι δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς τάρταρον, ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι· ὁ δὲ ἐκεῖ*σε ἀφικόμενος τὰ προς- C
ήκοντα πάσχει. ἐνίοτε δ' ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας, ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός, μάλιστα μέν, ἔγωγέ φημι, ὦ Καλλίκλεις, φιλοσόφου τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ εἰς μακάρων νήσους ἀπέπεμψε. ταὐτὰ δὲ ταῦτα καὶ ὁ Αἰακός. [ἑκάτερος δὲ τούτων ῥάβδον ἔχων δικάζει· ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται μόνος, ἔχων χρυσοῦν σκῆπτρον, ὥς φησιν * Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν αὐτὸν D

Χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν.]

Ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι καὶ σκοπῶ ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην ἔχων τὴν ψυχήν. χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων, τὴν ἀλήθειαν σκοπῶν, πειράσομαι τῷ ὄντι, ὡς ἂν δύνωμαι, βέλτιστος ὢν καὶ ζῆν καὶ ἐπειδὰν ἀποθνήσκω ἀποθνήσκειν· παρα*καλῶ δὲ καὶ τοὺς E
ἄλλους πάντας ἀνθρώπους, καθ' ὅσον δύναμαι, καὶ δὴ

*) ἴσ. μέν.

quocirca etiam beatior erat quam illi qui licentiam habebant. enimvero, Callicle, potentes iidem ſunt maxime improbi homines; nil quidem impedit quominus etiam in his boni viri exſiſtant, et omni digni ſunt admiratione, ſi qui exſiſtunt; difficile eſt enim, Callicle, multisque dignum laudibus, in magna maleficiorum licentia iuſte vivere; at pauci exſiſtunt huius generis. nam et hic et alibi extiterunt, puto etiam futuros eſſe honeſtos et hac virtute praeſtantes, ut iuſte adminiſtrent quaecumque ipſorum fidei committantur: et unus quidem admodum celeber fuit etiam apud reliquos Graecos, Ariſtides Lyſimachi filius. plurimi vero, o praeſtantiſſime, mali exſiſtunt dominatorum. Quod igitur dico, quum Rhadamanthus ille huiusmodi virum prehendit, nihil aliud de hoc ſcit neque quis ſit neque unde oriundus, niſi hoc, eum eſſe improbum; quod ſi cognovit, amandat eum ad tartarum, nota appoſita, num ſanabilis an inſanabilis videatur eſſe; ille vero, quum illuc advenit, poena quae ei convenit afficitur. nonnumquam ſi alium conſpicit, qui pie vixit et cum veritate, viri privati vel alius cuiusquam, maxime, ut equidem aio, Callicle, philoſophi qui quod ſuum eſſet fecerit, non aliena geſſerit negotia in vita, laetatur de hoc et ad beatorum eum inſulas mittit. idem etiam Aeacus facit. [uterque autem virgam tenens iudicat, Minos vero inſpectans ſolus ſedet, tenens aureum ſceptrum, ſicut ait Ulixes Homeri ſe vidiſſe illum

Aureo cum ſceptro et ius dantem manibus aequum.]

Equidem, Callicle, his narrationibus fidem habeo ſpectoque ut reperiar apud iudicem quam ſaniſſimo praeditus animo. miſſos igitur faciens quos hominum multitudo exiſtimat honores et veritatem ſpectans conabor revera quam optime me habens et vivere et, quum moriendum eſt, mori. adhortor vero quum reliquos homines omnes, quantum poſſum, tum etiam te

καὶ σὲ ἀντιπαρακαλῶ ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα
τοῦτον, ὃν ἐγώ φημι ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων
εἶναι, καὶ ὀνειδίζω σοι ὅτι οὐχ οἷός τ' ἔσει σαυτῷ βοηθῆ-
σαι, ὅταν ἡ δίκη σοι ᾖ καὶ ἡ κρίσις ἣν νῦν δὴ ἐγὼ ἔλε-
γον, ἀλλ' ἐλθὼν παρὰ τὸν δικαστὴν τὸν τῆς Αἰγίνης υἱόν,
ἐπειδάν σου ἐπι*λαβόμενος ἄγῃ, χασμήσει καὶ ἰλιγγιάσεις 527
οὐδὲν ἧττον, ἢ ἐγὼ ἐνθάδε, σὺ ἐκεῖ, καί σε ἴσως τυπτήσει
τις καὶ ἐπὶ κόῤῥης ἀτίμως καὶ πάντως προπηλακιεῖ.

Τάχα δ' οὖν ταῦτα μῦθός σοι δοκεῖ λέγεσθαι, ὥςπερ
γραός, καὶ καταφρονεῖς αὐτῶν· καὶ οὐδέν γ' ἂν ἦν θαυ-
μαστὸν καταφρονεῖν τούτων, εἴ πῃ ζητοῦντες εἴχομεν αὐ-
τῶν βελτίω καὶ ἀληθέστερα εὑρεῖν· νῦν δὲ ὁρᾷς ὅτι τρεῖς
ὄντες ὑμεῖς, οἵπερ σοφώτατοί ἐστε τῶν νῦν Ἑλλήνων, σύ
τε καὶ Πῶλος καὶ Γοργίας, * οὐκ ἔχετε ἀποδεῖξαι ὡς δεῖ B
ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, ὅςπερ καὶ ἐκεῖσε φαίνεται
ξυμφέρων, ἀλλ' ἐν τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχομέ-
νων μόνος οὗτος ἠρεμεῖ ὁ λόγος, ὡς εὐλαβητέον ἐστὶ τὸ
ἀδικεῖν μᾶλλον ἢ τὸ ἀδικεῖσθαι, καὶ παντὸς μᾶλλον ἀνδρὶ
μελετητέον οὐ τὸ δοκεῖν εἶναι ἀγαθόν, ἀλλὰ τὸ εἶναι, καὶ
ἰδίᾳ καὶ δημοσίᾳ· ἐὰν δέ τις κατά τι κακὸς γίγνηται, κο-
λαστέος ἐστί, καὶ τοῦτο δεύτερον ἀγαθὸν μετὰ τὸ εἶναι δί-
*καιον, τὸ γίγνεσθαι καὶ κολαζόμενον διδόναι δίκην· καὶ C
πᾶσαν κολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς
ἄλλους, καὶ περὶ ὀλίγους καὶ περὶ πολλούς, φευκτέον, καὶ
τῇ ῥητορικῇ οὕτω χρηστέον, ἐπὶ τὸ δίκαιον ἀεί, καὶ τῇ ἄλ-
λῃ πάσῃ πράξει.

Ἐμοὶ οὖν πειθόμενος ἀκολούθησον ἐνταῦθα, οἷ ἀφι-
κόμενος εὐδαιμονήσεις καὶ ζῶν καὶ τελευτήσας, ὡς ὁ λό-
γος σημαίνει· καὶ ἔασόν τινα σοῦ καταφρονῆσαι ὡς ἀνοή-
του, καὶ προπηλακίσαι, ἐὰν βούληται, καὶ ναὶ μὰ Δία
*σύ γε θαῤῥῶν πατάξαι τὴν ἄτιμον ταύτην πληγήν· οὐδὲν D
γὰρ δεινὸν πείσει, ἐὰν τῷ ὄντι ᾖς καλὸς κἀγαθός, ἀσκῶν
ἀρετήν· κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες, τότε ἤδη, ἐὰν
δοκῇ ἡμῖν χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς, ἤ, ὁποῖ-

vicissim ad hanc vitam, ad hoc certamen, quod censeo omnium quae hìc instituantur praestantissimum esse, et exprobro tibi quod non poteris tibi ipse opem ferre, quando, ut supra dixi, causa tua iudicabitur, sed accedens ad iudicem Aeginae filium, quum prehensum te adducet, rictum distendes et haesitabis ibi non minus, quam ego hìc, et fortasse infringet tibi aliquis colaphum, ut ignominia te afficiat, omnique te modo conculcabit.

Fortasse haec tibi videntur fabulae loco anilis dici eaque despicis, neque esset mirabile haec despici, sicubi quaerentes possemus meliora eis et veriora invenire; nunc autem vides vos trìs, qui sapientissimi estis Graecorum huius memoriae, te, Polum et Gorgiam, non posse demonstrare, aliam quampiam sequendam esse vitam atque hanc, quam illuc quoque apparet conducere, sed e tot orationibus, reliquis refutatis, sola haec stabilis relinquitur, cavendum esse magis iniuriam ne faciamus, quam ne accipiamus, prorsusque virum debere eniti ac contendere, ut non videatur esse bonus, sed ut vere sit, et privatim et publice; si quis vero pravitate aliqua laboret, eum castigandum esse, quod quidem secundum ab illo, esse iustum, bonum sit, fieri videlicet et castigatione poenas dare; omnem autem adulationem et adversus se ipsum et adversus ceteros, tum paucos tum multos, fugiendam, et rhetoricam semper iusti causa adhibendam esse, ut reliqua omnia quae geramus.

Iam mihi obtemperans sequere illuc, quo profectus eris beatus tam vivus quam mortuus, ut oratio declarat, et sine alterum te despicere tamquam insipientem ac conculcare, si velit, et per Iovem fidenter tibi infligere ignominiosam illam plagam; nihil enim indigni patieris, si revera es honestus ac bonus, studens virtuti; et quum communiter ei studuimus, tum denique, si nobis videtur necessarium esse, aggrediemur ad res civiles,

ον ἄν τι ἡμῖν δοκῇ, τότε βουλευσόμεθα, βελτίους ὄντες βουλεύεσθαι ἢ νῦν. αἰσχρὸν γὰρ ἔχοντάς γε, ὡς νῦν φαινόμεθα ἔχειν, ἔπειτα νεανιεύεσθαι ὥς τι ὄντας, οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν, καὶ ταῦτα περὶ τῶν μεγίστων· * εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας. E
Ὥσπερ οὖν ἡγεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι, ὃς ἡμῖν σημαίνει ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου, καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. τούτῳ οὖν ἑπώμεθα καὶ τοὺς ἄλλους παρακαλῶμεν, μὴ ἐκείνῳ ᾧ σὺ πιστεύων ἐμὲ παρακαλεῖς· ἔστι γὰρ οὐδενὸς ἄξιος, ὦ Καλλίκλεις.

vel, quodcumque nobis videbitur, de hoc tum deliberabimus, magis idonei ad deliberandum facti quam nunc ſumus. turpe eſt enim nobis ita habentibus, ut nunc nos habere patet, ſuperbire quaſi ſimus aliquid, quibus numquam idem videatur de isdem et graviſſimis illis quidem rebus: eo proceſſimus incultus. Tamquam duce igitur oratione utamur nunc apparente, quae nobis declarat hanc eſſe optimam vivendi rationem, iuſtitiae ceterisque virtutibus ſtudentem et vivere et mori. hanc ergo ſequamur, ad hanc etiam ceteros adhortemur, non ad illam, cui tu confidens me adhortaris; pro nihilo eſt enim habenda, Callicle.

Φ Α Ι Δ Ω Ν

ΕΧΕΚΡΑΤΗΣ ΦΑΙΔΩΝ

ΣΩΚΡΑΤΗΣ ΚΕΒΗΣ ΣΙΜΜΙΑΣ ΚΡΙΤΩΝ
Ο ΤΩΝ ΕΝΔΕΚΑ ΥΠΗΡΕΤΗΣ

Αὐτός, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ 57
ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του
ἤκουσας;

ΦΑΙΔ. Αὐτός, ὦ Ἐχέκρατες.

ΕΧ. Τί οὖν δή ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ
θανάτου, καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἀκούσαιμι. καὶ
γὰρ οὔτε τῶν πολιτῶν τῶν *) Φλιασίων οὐδεὶς πάνυ τι
ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφῖκται * χρό- B
νου συχνοῦ ἐκεῖθεν, ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός
τ' ἦν περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀπο-
θάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχε φράζειν.

ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης * ἄρα ἐπύθεσθε ὃν 58
τρόπον ἐγένετο;

ΕΧ. Ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις, καὶ ἐθαυμά-
ζομέν γε ὅτι, πάλαι γενομένης αὐτῆς, πολλῷ ὕστερον φαί-
νεται ἀποθανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων;

ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, ξυνέβη· ἔτυ-
χε γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ
πλοίου ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν.

ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστιν;

ΦΑΙΔ. Τοῦτό ἐστι τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι,
ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους

---

*) γρ. πολιτῶν Φλιασίων.

ECHECRATES PHAEDO

SOCRATES CEBES SIMMIAS CRITO UNDECIMVIRORUM MINISTER

Ech. Ipſene, Phaedo, adfuiſti Socrati illo die quo venenum bibit in carcere, an ex alio quo audiſti?

Phaed. Ipſe, Echecrate, adſui.

Ech. Quidnam eſt igitur quod dixit vir ante mortem, et quomodo mortuus eſt? libenter enim audierim. etenim neque civium Phliaſiorum omnino quisquam commeat nunc Athenas, neque hoſpes advenit longo ſpatio illinc, qui nobis certi aliquid nunciare potuiſſet de his rebus, praeterquam ſcilicet, veneno poto ipſum mortuum eſſe; de ceteris vero nemo aliquid habebat dicere.

Phaed. Ne iudicium quidem comperiſtis quo modo factum fuerit?

Ech. Vero, haec quidem nobis nunciavit aliquis, et admirati ſane ſumus quod, illo diu iam facto, multo poſt eſſet mortuus. quale tandem hoc erat, Phaedo?

Phaed. Forte quadam ipſi, Echecrate, hoc cecidit; forte enim pridie quam capite damnaretur puppis coronata eſt navigii quod Delum Athenienſes mittunt.

Ech. Hoc vero quid, quaeſo, eſt?

Phaed. Hoc eſt navigium, ut dicunt Athenienſes, in quo Theſeus olim in Cretam bis ſeptenos illos duxit

ᾤχετο ἄ*γων καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλ- B
λωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους
θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ
ἐκείνου κατ᾽ ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρ-
ξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τού-
τῳ καθαρεύειν [τὴν πόλιν] καὶ δημοσίᾳ μηδένα ἀποκτιννύ-
ναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν
δεῦρο· τοῦτο δ᾽ ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύ-
χωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ * δ᾽ ἐστὶ τῆς θεω- C
ρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν
τοῦ πλοίου· τοῦτο δ᾽ ἔτυχεν, ὥςπερ λέγω, τῇ προτεραίᾳ
τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ ὁ πολὺς χρόνος ἐγένετο
τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ, ὁ μεταξὺ τῆς δίκης τε καὶ
τοῦ θανάτου.

ΕΧ. Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαί-
δων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα, καὶ τίνες οἱ παρα-
γενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχον-
τες παρεῖναι, ἀλλ᾽ ἔρημος ἐτελεύτα φίλων;

ΦΑΙΔ. *Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες καὶ πολ- D
λοί γε.

ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέστα-
τα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγχάνει
οὖσα.

ΦΑΙΔ. Ἀλλὰ σχολάζω τε καὶ πειράσομαι ὑμῖν διη-
γήσασθαι· καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους, καὶ αὐ-
τὸν λέγοντα καὶ ἄλλου ἀκούοντα, ἔμοιγε ἀεὶ πάντων
ἥδιστον.

ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους
γε τοιούτους ἑτέρους ἔχεις. ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκρι-
βέστατα διελθεῖν πάντα.

ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια * ἔπαθον παρα- E
γενόμενος· οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς
ἐπιτηδείου ἔλεος εἰςῄει· εὐδαίμων γάρ μοι ὁ ἀνὴρ ἐφαί-
νετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων,
ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα· ὥςτε μοι παρίστα-
σθαι ἐκεῖνον μηδ᾽ εἰς Ἅιδου ἰόντα ἄνευ θείας μοίρας

falvosque et hos et fe ipfum recepit. iam vero Apollini voverant, ut traditur, tum, fi falvi reverfuri effent, quotannis fe legationem facram miffuros effe Delum, quam quidem ut femper, fic hodieque ex illo tempore quotannis deo mittunt. quando vero incepit legatio, lex eft apud ipfos, ut per hoc tempus puros fe fervent nec publice quemquam morte afficiant, donec Delum pervenerit navigium et huc reverterit. haec autem nonnumquam longi res eft temporis, fiquid venti eos intercluferint. incipit autem legatio, quum facerdos Apollinis coronavit puppim navigii; quod quidem, ut dico, forte factum eft pridie quam ipfe condemnaretur. hanc igitur ob caufam multum illud temporis obtigit Socrati in carcere, interiectum fcilicet medium inter iudicium ac mortem.

Ech. Quid vero ipfa de morte, Phaedo? quae dicta et facta funt, et quinam adfuerunt familiarium viro? an magiftratus non fiverunt aliquos adeffe, fed deftitutus mortem obit ab amicis?

Phaed. Minime vero, fed adfuerunt fatis multi.

Ech. Haec igitur omnia ftude quam accuratiffime nobis renunciare, nifi occupatione aliqua distineris.

Phaed. Nulla fane distineor et conabor vobis enarrare; etenim recordari de Socrate mihi quidem, et ipfi dicenti et ex altero audienti, femper omnium eft iucundiffimum.

Ech. At vero, Phaedo, qui audient fimiliter atque tu animati funt. itaque conare quam potes diligentiffime perfequi omnia.

Phaed. Equidem admirabiliter affectus fui quum adeffem; neque enim, licet morti intereffem viri familiaris, miferatione commovebar; nam beatus mihi vir videbatur, Echecrate, et propter mores et propter fermones, quod videlicet tam intrepide ac generofe mortem fustinebat: quocirca cogitatio animum fubit, illum nec ad inferos migrantem fine divina quadam forte migrare, fed illuc

ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον εὖ πράξειν, εἴπερ τις πώποτε καὶ * ἄλλος. διὰ δὴ ταῦτα οὐδὲν πάνυ μοι ἐλεινὸν 59
εἰσῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι, παρόντι *) πένθει· — οὔτε αὖ ἡδονή, ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων, ὥσπερ εἰώθειμεν· καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν· ἀλλ' ἀτεχνῶς ἄτοπόν τί μοι πάθος παρῆν καί τις ἀήθης κρᾶσις ἀπό τε τῆς ἡδονῆς ξυγκεκραμένη ὁμοῦ καὶ τῆς λύπης, ἐνθυμουμένῳ ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾶν. καὶ πάντες οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, τοτὲ **) μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες, εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα * καὶ τὸν τρόπον αὐτοῦ. B

ΕΧ. Πῶς γὰρ οὔ;

ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχε, καὶ αὐτὸς ἔγωγε ἐτεταράγμην καὶ οἱ ἄλλοι.

ΕΧ. Ἔτυχον δέ, ὦ Φαίδων, τίνες παραγενόμενοι;

ΦΑΙΔ. Οὗτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων παρῆν καὶ Κριτόβουλος καὶ ὁ πατὴρ αὐτοῦ Κρίτων, καὶ ἔτι Ἑρμογένης καὶ Ἐπιγένης καὶ Αἰσχίνης καὶ Ἀντισθένης· ἦν δὲ καὶ Κτήσιππος ὁ Παιανιεὺς καὶ Μενέξενος καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δέ, οἶμαι, ἠσθένει.

ΕΧ. Ξένοι δέ τινες πα*ρῆσαν; C

ΦΑΙΔ. Ναί, Σιμμίας τέ γε ὁ Θηβαῖος καὶ Κέβης καὶ Φαιδώνδης, καὶ Μεγαρόθεν Εὐκλείδης τε καὶ Τερψίων.

ΕΧ. Τί δέ; Ἀρίστιππος καὶ Κλεόμβροτος παρεγένοντο;

ΦΑΙΔ. Οὐ δῆτα· ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι.

ΕΧ. Ἄλλος δέ τις παρῆν;

ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους παραγενέσθαι.

ΕΧ. Τί οὖν δή; τίνες, φής, ἦσαν οἱ λόγοι;

ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. Ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέ*ρας εἰώθειμεν D

---

*) ἴσ. παρόντα.

**) γρ. ποτέ.

quoque ſi profectus fuiſſet, fore ut praeclare cum eo ageretur, ſi umquam cum alio quopiam; hanc igitur ob cauſam nulla plane miſeratione permovebar, quod tamen conſentaneum videbitur eſſe, quum interſuerim luctui; — neque contra voluptatem inde cepi quod in philoſophia verſabamur, ut conſueveramus, ſermones enim huius fere generis erant; ſed profecto mirabilis mihi inerat affectio et inſolita quaedam permixtio e voluptate ſimul ac maerore conflata, quum reputarem, iam iamque illi eſſe moriendum, omnesque qui aderamus ita fere affecti fuimus, ut modo rideremus, interdum lacrymaremus: unus autem noſtrûm etiam inſigniter, Apollodorus; noſti enim haud dubie virum eiusque ingenium.

Ech. Quippini?

Phaed. Ille igitur prorſus ſe ſic habebat, et ego ipſe perturbatus eram itemque ceteri.

Ech. Quinam vero, Phaedo, aderant?

Phaed. Hicce Apollodorus e civibus noſtris adfuit, etiam Critobulus eiusque pater Crito, praeterea Hermogenes, Epigenes, Aeſchines et Antiſthenes; aderant etiam Cteſippus Paeanienſis, Menexenus et alii quidam civium; Plato vero, opinor, aegrotabat.

Ech. Num hoſpites aliqui aderant?

Phaed. Sane quidem, Simmias Thebanus, Cebes et Phaedondes, Megaris vero Euclides et Terpſio.

Ech. Quid? Ariſtippusne et Cleombrotus aderant?

Phaed. Minime vero; in Aegina enim dicebantur eſſe.

Ech. Num alius quis praeterea aderat?

Phaed. Hos fere arbitror adfuiſſe.

Ech. Iam quos dicis ſermones eſſe habitos?

Phaed. Ego tibi a principio omnia conabor enarrare. Etenim quum alias ſemper tum etiam prioribus

φοιτᾶν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, ξυλλεγόμενοι
ἕωθεν εἰς τὸ δικαστήριον, ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον
γὰρ ἦν τοῦ δεσμωτηρίου. περιεμένομεν οὖν ἑκάστοτε ἕως ἀ-
νοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων· ἀνεῴγε-
το γὰρ οὐ πρῴ· ἐπειδὴ δὲ ἀνοιχθείη, εἰςῇμεν παρὰ τὸν Σω-
κράτη καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ καὶ τότε
πρωϊαίτερον ξυνελέγημεν· τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ, ἐπειδὴ
ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἑσπέ*ρας, ἐπυθόμεθα ὅτι τὸ E
πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη· παρηγγείλαμεν οὖν ἀλλήλοις
ἥκειν ὡς πρωϊαίτατα εἰς τὸ εἰωθός· καὶ ἥκομεν· καὶ ἡμῖν
ἐξελθὼν ὁ θυρωρός, ὅσπερ εἰώθει ὑπακούειν, εἶπε περιμένειν
καὶ μὴ πρότερον παριέναι, ἕως ἂν αὐτὸς κελεύσῃ· Λύουσι
γάρ, ἔφη, οἱ ἕνδεκα Σωκράτη καὶ παραγγέλλουσιν, ὅπως ἂν
τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ. Οὐ πολὺν δ' οὖν χρόνον ἐπι-
σχὼν ἧκε καὶ ἐκέλευσεν ἡμᾶς εἰςιέναι. εἰςελθόντες οὖν κα-
τε*λαμβάνομεν τὸν μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ 60
Ξανθίππην (γιγνώσκεις γάρ) ἔχουσάν τε τὸ παιδίον αὐτοῦ
καὶ παρακαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξυνθίππη, ἀνευ-
φήμησέ τε καὶ τοιαῦτ' ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυ-
ναῖκες, ὅτι Ὦ Σώκρατες, ὕστατον δὴ σὲ προςεροῦσι νῦν
οἱ ἐπιτήδειοι καὶ σὺ τούτους. Καὶ ὁ Σωκράτης βλέψας
εἰς τὸν Κρίτωνα Ὦ Κρίτων, ἔφη, ἀπαγέτω τις ταύτην οἴ-
καδε. Καὶ ἐκείνην μὲν ἀπῆγόν τινες τῶν τοῦ Κρίτωνος
βοῶσάν τε καὶ κοπτο*μένην· ὁ δὲ Σωκράτης ἀνακαθιζό- B
μενος ἐπὶ τὴν κλίνην ξυνέκαμψέ τε τὸ σκέλος καὶ ἔτριψε
τῇ χειρί, καὶ τρίβων ἅμα Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες,
ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς
θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυ-
πηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παραγίγνεσθαι τῷ
ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν
τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥςπερ ἐκ
μιᾶς κορυφῆς ξυνημμένω δύ' ὄντε. καί μοι δοκεῖ, ἔ*φη, C
εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν ξυνθεῖναι, ὡς ὁ
θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ
ἠδύνατο, ξυνῆψεν εἰς ταὐτὸν αὐτῶν τὰς κορυφάς, καὶ
διὰ ταῦτα, ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ

diebus consueveramus ventitare et ego et ceteri ad Socratem, congregati mane in iudicio, in quo etiam iudicatus est; erat enim prope carcerem. praestolabamur igitur semper donec aperiretur carcer, colloquentes inter nos; non enim aperiebatur bene mane; ubi apertus erat, introibamus ad Socratem, et plerumque per diem eramus cum ipso. atque etiam tum maturius congregati eramus; pridie enim quum e carcere exiremus vespere, audiveramus navigium Delo revertisse; constituimus igitur inter nos ut veniremus quam maturissime ad locum consuetum; atque venimus: et nobis egressus ianitor, qui solebat aperire, dixit ut praestolaremur nec ante introiremus, quam ipse iussisset; Solvunt enim, ait, undecimviri Socratem et denunciant ipsi hodie moriendum esse. Non ita multo post redit iussitque nos ingredi. ingressi vero offendimus Socratem modo solutum et Xanthippen (nosti enim istam) cum puerulo ipsius assidentem. atque quum nos conspexisset Xanthippe, eiulavit et talia dixit, qualia solent mulieres: O Socrates, postremum igitur nunc te alloquentur familiares et tu ipsos. Tum Socrates adspiciens Critonem O Crito, ait, abducat quis hanc domum. Et illam quidem abduxerunt aliqui de Critonis servis vociferantem ac plangentem, Socrates autem surgens in lecto inflexit crus manuque fricuit et inter fricandum Quam pugnans, inquit, videtur res esse quam vocant homines voluptatem, quam admirabili naturà ad eum qui videtur contrarius esse, dolorem, propterea quod simul ea nolunt adesse homini, sin autem aliquis sectatur alterum et accipit, propemodum cogitur semper accipere etiam alterum, quasi in uno vertice inter se colligata sint haec duo. atque mihi videtur, inquit, Aesopus, si id animadvertisset, fabulam fuisse compositurus hanc, deum, quum reconciliare voluisset illa inter se pugnantia, nec potuisset, colligasse in unum eorum vertices; et iccirco, cuicumque alterum adesset, subsequi

ὕστερον καὶ τὸ ἕτερον. ὥσπερ οὖν καὶ αὐτῷ ἐμοὶ ἔοικεν, ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ. Ὁ οὖν Κέβης ὑπολαβὼν Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, εὖ γ' ἐποίησας ἀναμνήσας με· περὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας, D
ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον, καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὔηνος πρώην, ὅ τί ποτε διανοηθείς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐήνῳ ἀποκρίνασθαι, ὅταν με αὖθις ἔρηται (εὖ οἶδα γὰρ ὅτι ἐρήσεται), εἰπὲ τί χρή με λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα (ἤδη *) * γὰρ ὡς οὐ ῥᾴδιον εἴη), E
ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος, εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν. ἦν γὰρ δὴ ἄττα τοιάδε. Πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον, Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου. Καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ, ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε * καὶ ἐπικελεύειν, ὥσπερ οἱ τοῖς θέου- 61
σι διακελευόμενοι, καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅπερ ἔπραττον, τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν, ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος. νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν· ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι ποιήσαντα * ποιήματα, πειθόμενον τῷ ἐνυπνίῳ. οὕτω B
δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους, ἀλλ' οὐ

*) γρ. ᾔδειν.

poſtea etiam alterum. quemadmodum ad me ipſum quoque, quum a compede fuerit in crure dolor, venire iam videtur ſubſequens voluptas. Tum Cebes eum excipiens At mehercule, Socrate, inquit, bene facis quod me admones; nam de poematis quae feciſti, componens Aeſopi fabulas et hymnum in Apollinem, quum alii quidam me iam interrogarunt, tum etiam Evenus nuper, quorſum tandem ſpectans, quum huc veniſſes, feceris illa, nihil umquam ante facere ſolitus. quodſi tua refert habere me quod Eveno reſpondeam, ſi rurſus me rogarit (ſat enim ſcio eum eſſe rogaturum), dic quid oporteat me reponere. Narra igitur, inquit, ipſi, Cebes, verum: me non huc ſpectantem, ut ipſius vel poematum eius aemulus exſiſterem, illa feciſſe (intellexi enim non eſſe id facile), ſed ut ſomnia quaedam quid ſignificarent experirer et religione me ſolverem, ſi forte hanc me muſicam iuberent factitare. erant autem haec fere. Saepius ad me ventitans idem ſomnium in praeterita vita, alias in alia ſpecie ſe offerens, idem vero dicens, O Socrate, inquit, muſicam factita et tracta. Et ego quidem priore tempore, quod faciebam, ad hoc arbitrabar me illud adhortari et incitare, quemadmodum videlicet currentem hortamur, ita me quoque ſomnium ad id, quod facerem, incitare. ad muſicam factitandam, quippe philoſophiam iudicans ſummam eſſe muſicam, me autem in hac exerceri. nunc vero, quum iudicium factum eſſet et dies feſti dei vetaret ad mortem me duci, iudicavi, ſi forte me iuberet ſomnium hanc popularem muſicam factitare, me non reluctari ei oportere, ſed illam factitare; tutius enim eſſe non prius diſcedere, quam religione me ſolviſſem faciendis poematis, obtemperans ſomnio. itaque primum in deum feci carmen, cui quum maxime ſacra fiebant, hoc autem in deum condito mecum reputans, poetam oportere, ſi poeta futurus eſſet, componere fabulas, non

λόγους, καὶ αὐτὸς οὐκ ἦ μυθολογικός, διὰ ταῦτα δή, οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτων ἐποίησα οἷς πρώτοις ἐνέτυχον. ταῦτα οὖν, ὦ Κέβης, Εὐήνῳ φράζε, καὶ ἐῤῥῶσθαι καί, ἂν σωφρονῇ, ἐμὲ διώκειν. ἄπειμι δέ, ὡς ἔοι*κε, τήμερον· κελεύουσι γὰρ Ἀθηναῖοι. C
Καὶ ὁ Σιμμίας Οἷον παρακελεύει, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐήνῳ; πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν, ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ' ὁπωστιοῦν ἄν σοι ἑκὼν εἶναι πείσεται. Τί δαί; ἦ δ' ὅς, οὐ φιλόσοφος Εὐηνός; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν καὶ Εὐηνὸς καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὐτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι. Καὶ ἅμα λέγων ταῦτα καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης ἐπὶ * τὴν γῆν, καὶ καθεζόμενος οὕτως ἤδη τὰ λοιπὰ διελέγετο. D

Ἤρετο οὖν αὐτὸν ὁ Κέβης Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἂν τῷ ἀποθνήσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δέ, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ ξυγγεγονότες; Οὐδέν γε σαφές, ὦ Σώκρατες. Ἀλλὰ μὴν καὶ ἐγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω· ἃ μέντοι *) τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν· καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα ἐ*κεῖσε ἀποδημεῖν διασκοπεῖν τε καὶ μυθολογεῖν περὶ E
τῆς ἀποδημίας τῆς ἐκεῖ, ποίαν τιν' αὐτὴν οἰόμεθα εἶναι· τί γὰρ ἂν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ; Κατὰ τί οὖν δή ποτε οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ὅπερ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διῃτᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. * Ἀλλὰ προθυμεῖσθαι χρή, ἔφη· τάχα γὰρ ἂν 62
καὶ ἀκούσαις. ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστί, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τἆλλα, ἔστιν ὅτε καὶ

*) ἄλλ. μὲν οὖν.

orationes, me autem fabularum fingendarum non esse peritum, iccirco, quae mihi in promptu erant quasque memoria tenebam Aesopi fabulas, ex his in versus redegi primas quasque. haec igitur, Cebes, Eveno renuncia, et iube eum salvere meque, si sapiat, consectari. abibo vero hinc, ut patet, hodie; iubent enim Athenienses. Tum Simmias Qui tandem, inquit, ad hoc adhortaris, Socrate, Evenum? etenim iam multum eram cum viro; prout vero intellexi, nullo plane pacto libenter tibi obtemperabit. Quid ita? ait ille, non philosophus est Evenus? Mihi quidem videtur, inquit Simmias. Non igitur recusabit neque Evenus neque alius quis, qui ita, ut decet, huius rei est particeps; nec tamen vim sibi afferet; hoc enim dicunt nefas esse. Atque haec dicens demisit crura a lecto ad solum, sedensque deinde reliqua disseruit.

Quaesivit vero ex ipso Cebes: Quo modo hoc dicis, Socrate, nefas esse vim sibi afferre, nec tamen recusaturum esse philosophum, quin mortuum sequatur? Quid? Cebes, nihilne audistis de his rebus tu et Simmias cum Philolao congressi? Nihil quidem certi, Socrate. At vero ipse quoque ex audito de hoc genere loquor, ac tamen quae audivi, ea non gravabor dicere; nam haud dubie etiam vel maxime decet illuc demigraturum disquirere et fabulari de hoc, qualem arbitremur hanc esse demigrationem; quid enim aliud quis etiam agat per hoc usque ad solis occasum tempus? Quam igitur tandem ob causam negant fas esse se ipsum occidere, Socrate? equidem, quod tu nunc ipsum interrogasti, et Philolaum iam audivi, quum apud nos commoraretur, et alios quosdam dicentes, h. c non esse faciendum; certi vero quid ea de re a nemine umquam audivi. At eniti oportet, inquit; fortasse enim etiam audies. certe tamen mirum tibi videbitur, hoc solum e reliquis omnibus simplex esse, neque umquam hoc ita accidere homini, quemadmodum cetera, ut nonnum-

οἷς βέλτιον τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται εἰ τούτοις τοῖς ἀνθρώποις μὴ ὅσιόν ἐστιν αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλ' ἄλλον δεῖ περιμένειν εὐεργέτην. Καὶ ὁ Κέβης ἠρέμα ἐπιγελάσας Ἴττω Ζεύς, ἔφη, τῇ αὑτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη ὁ Σω*κράτης, οὕτω γ' εἶναι ἄλογον· οὐ μέντοι ἀλλ' B
ἴσως γ' ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν ἀποῤῥήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διϊδεῖν· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι· ἢ σοὶ οὐ δοκεῖ οὕτως; Ἔμοιγ', ἔφη ὁ Κέβης. Οὐκοῦν, ἦ δ' ὅς, καὶ * σὺ ἂν C
τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτιννύοι, μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ καί, εἴ τινα ἔχοις τιμωρίαν, τιμωροῖο ἄν; Πάνυ γ', ἔφη. Ἴσως τοίνυν ταύτῃ οὐκ ἄλογον μὴ πρότερον αὑτὸν ἀποκτιννύναι δεῖν, πρὶν ἂν ἀνάγκην τινὰ ὁ θεὸς ἐπιπέμψῃ, ὥσπερ καὶ τὴν νῦν ἡμῖν παροῦσαν. Ἀλλ' εἰκός, ἔφη ὁ Κέβης, τοῦτό γε φαίνεται· ὃ μέντοι νῦν δὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν, ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτό*πῳ, εἴπερ ὃ νῦν δὴ ἐλέγομεν εὐλόγως ἔχει, D
τὸ θεόν τε εἶναι τὸν ἐπιμελόμενον ἡμῶν καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν οἵπερ ἄριστοί εἰσι τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ ἔχει λόγον. οὐ γάρ που αὐτός γε ἑαυτοῦ οἴεται ἄμεινον ἐπιμελήσεσθαι ἐλεύθερος γενόμενος· ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν οἰηθείη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογί*ζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ' E
ὅτι μάλιστα παραμένειν, διὸ ἀλογίστως ἂν φεύγοι· ὁ δὲ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὑτοῦ βελτίονι. καίτοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον εἶναι εἰκός, ἢ ὃ

quam et nonnullis melius ſit mori quam vivere; quibus autem melius eſt mori, mirabile ſine dubio tibi videtur, îsdem hominibus nefas eſſe ſibimet ipſis bene facere, ſed alium iis exſpectandum eſſe huius beneficii auctorem. Atque Cebes leniter arridens Scierit Iuppiter, inquit, ſua lingua loquutus. Etenim videri poſſit, ait Socrates, iſta quidem ratione repugnare, verumtamen eſt haud dubie aliqua huius rei ratio. illud quidem quod myſteriis de hoc genere traditur effatum, in cuſtodia quadam nos eſſe homines, nec licere cuiquam ea ſe liberare vel aufugere, grave quoddam mihi videtur nec facile perſpectu; verumtamen hoc certe arbitror, Cebes, bene dici, deos eſſe qui nos curent nosque homines in mancipiis eſſe deorum; annon tibi ita videtur? Mihi vero, ait Cebes. Nonne, inquit, tu quoque, ſi quid de mancipiis tuis ſe ipſum occidiſſet, licet non declaraſſes te velle illud occiſum, ſuccenſeres ei et, ſi qua poſſes, poena id afficeres? Sane quidem, inquit. Forſitan igitur hac ratione non ſit pugnans, non licere ſe ipſum occidere, prius quam neceſſitatem aliquam deus attulerit, qualis haec eſt nunc nobis allata. Conſentaneum, ait Cebes, hoc quidem videtur, iſtud tamen quod modo dicebas, philoſophos libenter morituros eſſe, videtur, Socrate, repugnans eſſe, ſiquidem quod modo dicebamus, rationi conſentaneum eſt, deum nos curare nosque ipſius mancipia eſſe. non aegre enim ferre prudentiſſimos hoc ſervitio exire, in quo praeſunt ipſis qui optimi ſunt rerum omnium praeſides, dii, non eſt conſentaneum. neque enim certe ſe ipſum opinatur melius curaturum eſſe libertatem adeptum, immo inſipiens homo forſitan opinetur hoc, fugiendum eſſe a domino, non reputans neutiquam a bono fugiendum, ſed vel maxime manendum eſſe, prudens contra cupiet, ni fallor, perpetuo ſe eſſe apud eum qui ipſo ſit melior. hac vero ratione, Socrate, contrarium eſſe liquet, ac

νῦν δὴ ἐλέγετο· τοὺς μὲν γὰρ φρονίμους ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ' ἄφρονας χαίρειν.

Ἀκούσας οὖν ὁ Σωκράτης ἡσθῆναί τέ μοι ἔδοξε τῇ
τοῦ * Κέβητος πραγματείᾳ, καὶ ἐπιβλέψας εἰς ἡμᾶς Ἀεί 63
τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι ὅ τι ἄν τις εἴπῃ. Καὶ ὁ Σιμμίας Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, νῦν γε δοκεῖ τί μοι καὶ αὐτῷ λέγειν Κέβης· τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὐτῶν φεύγοιεν καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπο-
λείπων καὶ ἄρχοντας ἀγαθούς, ὡς αὐτὸς ὁμο*λογεις, θεούς. B
Δίκαια, ἔφη, λέγετε· οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με πρὸς ταῦτα ἀπολογήσασθαι, ὥσπερ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. Φέρε δή, ἦ δ' ὅς, πειραθῶ πρὸς ὑμᾶς πιθανώτερον ἀπολογήσασθαι, ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθούς, ἔπειτα καὶ παρ' ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ·
νῦν δὲ εὖ ἴστε ὅτι * παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι C
ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διϊσχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διϊσχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ' εὔελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι καί, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; πότερον αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν ἡμῖν με-
τα*δοίης; κοινὸν γὰρ δὴ ἔμοιγε δοκεῖ καὶ ἡμῖν εἶναι ἀγα- D
θὸν τοῦτο· καὶ ἅμα σοι ἡ ἀπολογία ἔσται, ἐὰν ἅπερ λέγεις ἡμᾶς πείσῃς. Ἀλλὰ πειράσομαί γε, ἔφη. πρῶτον δὲ Κρίτωνα τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βούλεσθαί μοι δοκεῖ πάλαι εἰπεῖν. Τί δέ, ὦ Σώκρατες, ἔφη ὁ Κρίτων, ἄλλο γε, ἢ πάλαι μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον,

modo dicebatur: fapientes enim decet aegre ferre quum moriendum eſt, infipientes vero gaudere.

Haec quum audiffet Socrates, laetari mihi vifus eft Cebetis fedulitate, atque intuens in nos Semper fane, inquit, Cebes rationes quasdam indagat, nec tam cito fidem habet, fi quis quid dicit. Tum Simmias At vero, inquit, Socrate, nunc quidem videtur mihi ipfi quoque aliquid dicere Cebes; nam cur viri vere fapientes dominos meliores ipfis fugiant et libenter discedant ab iis? ac mihi videtur Cebes te petere his verbis, quod tam facile fers et nos relinquere et rectores bonos, ut ipfe fateris, deos. Iufta, inquit, dicitis; puto enim vos dicere, oportere me contra haec defendere, ut in iudicio. Sane quidem, ait Simmias. Agedum, inquit, conabor apud vos probabilius me defendere, quam apud iudices. ego enim, inquit, Simmia et Cebes, nifi putarem primum me venire ad deos item fapientes ac bonos, deinde etiam ad homines mortuos iis, qui hic funt, meliores, haud recte facerem non aegre ferens mortem; nunc autem probe fcitote ad viros me fperare venturum effe bonos; quamquam hoc quidem non plane pro certo affirmaverim; illud vero, ad deos dominos admodum bonos me venturum effe, bene fcitote me, fi quicquam id genus, pro certo effe affirmaturum. quocirca non perinde aegre fero, fed potius confido aliquid effe quod ad mortuos pertineat, et quidem, quemadmodum etiam antiquitus dictum eft, longe melius quid bonis quam malis. Quid igitur, ait Simmias, Socrate? utrum per te hanc fententiam tenens cogitas abire, an etiam nobiscum eam communicabis? commune videlicet mihi videtur nobis quoque effe bonum hoc, fimulque tua haec erit defenfio, fi quae dicis nobis perfuaferis. Conabor quidem, inquit. primum vero videamus, quid fit quod Crito iam diu, ut mihi videtur, dicere voluerit. Quid aliud, Socrate, ait Crito, nifi, iam diu mihi dicere eum qui daturus tibi eft venenum,

ὅτι χρή σοι φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι· φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον διαλεγομένους, δεῖν δὲ οὐδὲν τοιοῦτον προςφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, * ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τούς τι τοιοῦτον ποιοῦντας. Καὶ ὁ Σωκράτης Ἔα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον τὸ ἑαυτοῦ παρασκευαζέτω ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ, καὶ τρίς. Ἀλλὰ σχεδὸν μέν τι ᾔδη, ἔφη ὁ Κρίτων· ἀλλά μοι πάλαι πράγματα παρέχει. Ἔα αὐτόν, ἔφη. E

Ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι τὸν λόγον ἀποδοῦναι, ὥς μοι φαίνεται εἰκότως ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν βίον θαῤῥεῖν μέλλων * ἀποθανεῖσθαι 64 καὶ εὔελπις εἶναι ἐκεῖ μέγιστα οἴσεσθαι ἀγαθά, ἐπειδὰν τελευτήσῃ. πῶς ἂν οὖν δὴ τοῦθ' οὕτως ἔχοι, ὦ Σιμμία τε καὶ Κέβης; ἐγὼ πειράσομαι φράσαι. κινδυνεύουσι γάρ, ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, λεληθέναι τοὺς ἄλλους ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. εἰ οὖν τοῦτο ἀληθές, ἄτοπον δήπου ἂν εἴη προθυμεῖσθαι μὲν ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτο, ἥκοντος δὲ δὴ αὐτοῦ ἀγανακτεῖν ὃ πάλαι προὐθυμοῦντό τε καὶ ἐπετήδευον. Καὶ ὁ Σιμμίας γελάσας Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρα*τες, οὐ πάνυ γέ με νῦν δὴ B γελασείοντα ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν τοὺς πολλοὺς αὐτὸ τοῦτο ἀκούσαντας δοκεῖν εὖ πάνυ εἰρῆσθαι εἰς τοὺς φιλοσοφοῦντας καὶ ξυμφάναι ἄν, τοὺς μὲν παρ' ἡμῖν ἀνθρώπους καὶ πάνυ, ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι καὶ σφᾶς γε οὐ λελήθασιν ὅτι ἄξιοί εἰσι τοῦτο πάσχειν. Καὶ ἀληθῆ γ' ἂν λέγοιεν, ὦ Σιμμία, πλήν γε τοῦ σφᾶς μὴ λεληθέναι· λέληθε γὰρ αὐτοὺς ᾗ τε θανατῶσι καὶ ᾗ ἄξιοί εἰσι θανάτου καὶ οἵου θανάτου οἱ ὡς ἀληθῶς φιλόσοφοι. εἴπωμεν γάρ, * ἔφη, πρὸς ἡμᾶς αὐτούς, χαί- C ρειν εἰπόντες ἐκείνοις· ἡγούμεθά τι τὸν θάνατον εἶναι; Πάνυ γ', ἔφη ὑπολαβὼν ὁ Σιμμίας. Ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν, καὶ εἶναι τοῦτο τὸ τεθνάναι χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυ-

te admonendum esse, ut quam minimum loquaris; ait enim nimium incalescere loquentes, nihil vero huiusmodi adhibendum esse veneno; sin minus, interdum cogi, ut bis et ter bibant, qui ita faciant. Tum Socrates Iube, inquit, valere istum; ipse modo paratus esto ad bis, et, si opus fuerit, ter dandum. Sane quidem id sciebam, ait Crito; sed dudum mihi negotium facessit. Mitte istum, inquit.

At vobis videlicet iudicibus volo rationem reddere, cur mihi videatur iure vir, qui vere in philosophia traduxerit vitam, confidere, quum moriendum ipsi sit, magnaque spe teneri fore, ut maxima illic consequatur bona, quando e vita excesserit. quomodo igitur hoc se ita habebit, Simmia et Cebes? ego conabor explicare. nimirum videntur, quicumque recte tractant philosophiam, id quod ceteros latet, nihil aliud spectare nisi hoc, ut emoriantur et mortui sint. quod si verum est, pugnaret profecto appetere eos per totam vitam nihil aliud nisi hoc, quum vero id venerit, aegre ferre, id ipsum scilicet, quod appetierint atque spectaverint. Tum Simmias ridens At mehercule, inquit, Socrate, me neutiquam nunc ad ridendum propensum coëgisti ridere. arbitror enim volgus hoc ipsum audiens existimaturum, omnino recte hoc dictum esse de iis, qui philosophentur, et assensurum esse, nostrates quidem homines vel maxime, revera philosophantes mortem appetere, nec se ipsum quidem latere dignos esse quibus id contingat. Et vera quidem dixerit, Simmia, praeter illud, se ipsum id non latere; latet enim illud, quatenus mortem appetant et quatenus digni sint morte qualique morte ii qui vere sunt philosophi. loquamur enim, inquit, inter nos, valere iubentes istud: an censemus mortem aliquid esse? Sane quidem, reposuit Simmias. Num aliud quicquam nisi animi a corpore discessum, ut hoc sit mortuum esse, quum separatim ab animo disiunctum per se ipsum fuerit corpus, separatim quoque ani-

χὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι;
ἆρα μὴ ἄλλο τι ὁ θάνατος ἢ τοῦτο; Οὔκ, ἀλλὰ τοῦτο, ἔφη.
Σκέψαι δή, ὦ 'γαθέ, ἐὰν ἄρα καὶ σοὶ ξυνδοκῇ, ἅπερ καὶ ἐμοί·
ἐκ γὰρ τούτων μᾶλ*λον οἶμαι ἡμᾶς εἴσεσθαι περὶ ὧν σκο- D
ποῦμεν. φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι
περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σιτίων τε
καὶ ποτῶν; Ἥκιστά γε, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας. Τί
δέ; τὰς τῶν ἀφροδισίων; Οὐδαμῶς. Τί δέ; τὰς ἄλλας τὰς
περὶ τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοι-
οῦτος; οἷον ἱματίων διαφερόντων κτήσεις καὶ ὑποδημάτων
καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα πότερον
τιμᾶν δοκεῖ σοι ἢ ἀτιμάζειν, καθ' ὅσον μὴ πολ*λὴ ἀνάγκη E
μετέχειν αὐτῶν; Ἀτιμάζειν ἔμοιγε δοκεῖ, ἔφη, ὅ γε ὡς
ἀληθῶς φιλόσοφος. Οὐκοῦν ὅλως δοκεῖ σοι, ἔφη, ἡ τοῦ
τοιούτου πραγματεία οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθ'
ὅσον δύναται ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετρά-
φθαι; Ἔμοιγε. Ἆρ' οὖν πρῶτον μὲν ἐν τοῖς τοιούτοις
δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα * τὴν ψυ- 65
χὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας διαφερόντως τῶν ἄλ-
λων ἀνθρώπων; Φαίνεται. Καὶ δοκεῖ γέ που, ὦ Σιμμία,
τοῖς πολλοῖς ἀνθρώποις, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ
μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν, ἀλλ' ἐγγύς τι τείνειν
τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν αἳ διὰ τοῦ
σώματός εἰσιν. Πάνυ μὲν οὖν ἀληθῆ λέγεις. Τί δὲ δὴ
περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν; πότερον ἐμπόδιον
τὸ σῶμα ἢ οὔ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν ξυμ-
παραλαμβάνῃ; οἷον τὸ τοιόνδε * λέγω· ἆρα ἔχει ἀλήθειάν B
τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις; ἢ τά γε τοιαῦτα
καὶ οἱ ποιηταὶ ἀεὶ ἡμῖν θρυλλοῦσιν, ὅτι οὔτ' ἀκούομεν
ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν; καίτοι εἰ αὗται τῶν περὶ τὸ
σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσὶ μηδὲ σαφεῖς, σχολῇ αἵ
γε ἄλλαι· πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν· ἢ σοι
οὐ δοκοῦσιν; Πάνυ μὲν οὖν, ἔφη. Πότε οὖν, ἦ δ' ὅς, ἡ
ψυχὴ τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώμα-
τος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότε ἐξαπατᾶται ὑπ'

mus a corpore disiunctus per se ipse: num quid aliud est mors nisi hoc? Nihil aliud vero, inquit. Considera quaeso, o bone, num idem tibi videatur quod mihi; ex his enim magis arbitror nos perspecturos esse ea, de quibus quaerimus. an videtur tibi philosophi viri esse incubuisse in voluptates, quae dicuntur, huiusmodi, quales sunt cibi et potus? Minime vero, Socrates, ait Simmias. Quid? in venereas? Nequaquam. Quid? reliquum corporis cultum videtur tibi magni aestimare talis vir? velut pallia magnifica habere et calceos ceteraque corporis lenocinia, utrum in honore haec habere tibi videtur, an pro nihilo ducere, nisi si prorsus necesse est iis uti? Pro nihilo ille ducere mihi videtur, inquit, is quidem qui vere est philosophus. Nonne in universum tibi videtur, ait, huiusmodi viri studium non ad corpus spectare, sed, quoad potest, hoc abstinere, ad animum vero tendere? Mihi vero. Annon igitur primum in talibus rebus philosophum patet disiungere quam maxime animum a corporis communitate prae reliquis hominibus? Apparet. Quin etiam existimat, opinor, Simmia, hominum multitudo, ei, qui nulla harum rerum delectetur nec earum particeps sit, operae non esse pretium vivere, sed propinquum esse mortuo hunc, qui nihil curet voluptates corpore percipiendas. Prorsus verum est quod dicis. Quid vero de sapientia comparanda? utrum impedimento est corpus necne, si quis id in quaestionis societatem assumit? velut hoc dico: num veri quid visu et auditu percipiunt homines? an haec quidem poetae quoque perpetuo nobis decantant, nos neque audire aliquid clari neque videre? quamquam si hi corporis sensus non clari sunt neque certi, vix ac ne vix quidem reliqui erunt; omnes enim sane his deteriores sunt; an tibi non videntur? Sane quidem, inquit. Quando igitur, ait, animus veritatem attingit? nam quum corpore conatur aliquid comprehendere, dubium non est quin tum decipiatur

αὐτοῦ. * Ἀληθῆ λέγεις. Ἆρ' οὖν οὐκ ἐν τῷ λογίζεσθαι, C
εἴπερ που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶν ὄντων;
Ναί. Λογίζεται δέ γέ που τότε κάλλιστα, ὅταν αὐτὴν τού-
των μηδὲν παραλυπῇ, μήτε ἀκοὴ μήτε ὄψις, μήτε ἀλγηδὼν
μήτε τις ἡδονή, ἀλλ' ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται
ἐῶσα χαίρειν τὸ σῶμα, καί, καθ' ὅσον δύναται, μὴ κοινω-
νοῦσα αὐτῷ μηδ' ἁπτομένη ὀρέγηται τοῦ ὄντος. Ἔστι
ταῦτα. Οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλι-
στα ἀτι*μάζει τὸ σῶμα καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐ- D
τὴ καθ' αὑτὴν γίγνεσθαι; Φαίνεται. Τί δὲ δὴ τὰ τοιάδε,
ὦ Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτὸ ἢ οὐδέν; Φαμὲν
μέντοι νὴ Δία. Καὶ αὖ καλόν γέ τι καὶ ἀγαθόν; Πῶς δ'
οὔ; Ἤδη οὖν πώποτέ τι τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἶ-
δες; Οὐδαμῶς, ἦ δ' ὅς. Ἀλλ' ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ
τοῦ σώματος ἐφήψω αὐτῶν; λέγω δὲ περὶ πάντων, οἷον με-
γέθους πέρι, ὑγιείας, ἰσχύος καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάν-
των τῆς οὐσίας, ὃ τυγχά*νει ἕκαστον ὄν· ἆρα διὰ τοῦ σώ- E
ματος τἀληθέστατον αὐτῶν θεωρεῖται, ἢ ὧδ' ἔχει· ὃς ἂν
μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρασκευάσηται αὐτὸ ἕκα-
στον διανοηθῆναι περὶ οὗ σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι
τοῦ γνῶναι ἕκαστον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν ἐκεῖνος ἂν
τοῦτο ποιήσειε καθαρώτατα, ὅςτις ὅτι μάλιστα αὐτῇ τῇ δια-
νοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ
διανοεῖσθαι μήτε ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν * μετὰ 66
τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ
χρώμενος αὐτὸ καθ' αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειροίη θη-
ρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅτι μάλιστα ὀφθαλμῶν τε
καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν ξύμπαντος τοῦ σώματος, ὡς
ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθει-
άν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ; ἆρ' οὐχ οὗτός ἐστιν,
ὦ Σιμμία, εἴπερ τις καὶ ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος;
Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις, ὦ Σώκρατες.
Οὐκοῦν ἀνάγκη, * ἔφη, ἐκ πάντων τούτων παρίστασθαι B
δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε καὶ
πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν ὅτι Κινδυνεύει τοι ὥς-
περ ἀτραπός τις ἐκφέρειν ἡμᾶς μετὰ τοῦ λόγου ἐν τῇ

ab illo. Verum dicis. Nonne vero cogitando; ſi quoquam, manifeſtum ei fit aliquid eorum quae ſunt? Ita. Cogitat autem, uti arbitror, ita optime, ſi nihil horum ſimul eum afficit, neque auditus neque viſus, neque dolor neque voluptas aliqua, ſed vel maxime per ſe ipſo eſt miſſum faciens corpus, et, quoad poteſt, neque ſe coniungens cum eo neque tangens iſtud appetit id quod eſt. Sunt iſta. Nonne etiam hic philoſophi animus maxime ſpernit corpus et ſugit ab eo, cupit autem per ſe ipſe eſſe? Patet. Quid vero haec, Simmia? an dicimus aliquid iuſtum eſſe per ſe, necne? Dicimus vero mehercule. Itemque honeſtum aliquid eſſe et bonum? Quidni? Iamne umquam aliquid horum oculis vidiſti? Minime vero, inquit. An alio quopiam corporis ſenſu percepiſti illa? loquor autem de omnibus, velut de magnitudine, de ſanitate, de robore et uno verbo de eo, quod reliquorum omnium quidque per ſe eſt: num corpore veriſſima eorum natura perſpicitur, an ita habet, ut, qui maxime noſtrûm et accuratiſſime ſeſe comparaverit ad rem quamque per ſe perſpiciendam de qua quaerat, is proxime accedat ad cuiusque cognitionem? Sane quidem. Nonne igitur hic id faciet puriſſime, qui vel maxime ipſa cogitatione aggreditur ad ſingula, neque viſum interponens in cogitando neque alium quempiam adſciſcens ſenſum ad contemplationem, ſed qui mera cogitatione per ſe ipſa agente unumquodque merum et per ſe poſitum conatur indagare, ſeiunctus quam maxime ab oculis et auribus et univerſo paene corpore, ut quod perturbet nec ſinat animum acquirere veritatem ac ſapientiam, cum coniunctus eſt cum ipſo? nonne hic, Simmia, ſi quisquam, aſſequetur id quod vere eſt? Mirum, ait Simmias, quam vera dicis, Socrate. Nonne neceſſe eſt, inquit, ex omnibus his huiusmodi fere exſiſtere cogitationem in animo vere philoſophantium, ut inter ſe haec fere loquantur: Videtur ſane quaſi ſemita quaedam ſermone adiuvante in quaeſtione eo nos ducere

σκέψει, ὅτι, ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ ξυμπεφυρμένη ᾖ
ἡμῶν ἡ ψυχὴ μετὰ τοῦ τοιούτου κακοῦ, οὐ μήποτε κτησό-
μεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ
ἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα
διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δὲ ἄν τι*νες νόσοι προσπέ- C
σωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν· ἐρώτων
δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ
φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς, ὥστε, τὸ λεγόμενον, ὡς
ἀληθῶς τῷ ὄντι ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται
οὐδέποτε οὐδέν· καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας
οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι·
διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι ἡμῖν
γίγνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ * τὸ D
σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου
ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ πάντα ταῦτα. τὸ δ'
ἔσχατον πάντων, ὅτι, ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ'
αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητή-
σεσιν αὖ πανταχοῦ παραπίπτον θόρυβον παρέχει καὶ τα-
ραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθο-
ρᾶν τἀληθές, ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι, εἰ μέλλομέν
ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ
τῇ ψυχῇ θεατέον * αὐτὰ τὰ πράγματα· καὶ τότε, ὡς ἔοι- E
κεν, ἡμῖν ἔσται, οὗ ἐπιθυμοῦμέν τε καί φαμεν ἐρασταὶ
εἶναι, φρονήσεως, ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος ση-
μαίνει, ζῶσι δὲ οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος
μηδὲν καθαρῶς γνῶναι, δυεῖν θάτερον, ἢ οὐδαμοῦ ἔστι
κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασι· τότε γὰρ αὐτὴ καθ'
αὑτὴν ἡ ψυχὴ ἔσται χω*ρὶς τοῦ σώματος, πρότερον δ' οὔ· 67
καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα
τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι
μηδὲ κοινωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμ-
πλώμεθα τῆς τούτου φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐ-
τοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς· καὶ οὕτω μὲν
καθαροί, ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης,

ut ſumamus, quamdiu corpus habeamus et commixtus ſit animus noſter cum eiusmodi malo, numquam fore ut ſatis nobis acquiramus quod appetamus; dicimus autem hoc eſſe verum; innumerabiles enim occupationes nobis iniungit corpus propter victus neceſſitatem; praeterea, ſi qui morbi ingruunt, ii noſtram impediunt veri indagationem; amoribus porro et cupiditatibus et timoribus et ſimulacris omnis generis nugisque implet nos compluribus, ut revera, quod proverbii loco dicitur, propter illud nec ſapere umquam ullo modo nobis liceat; nam bella quoque, ſeditiones ac pugnas alia nulla res nobis excitat niſi corpus eiusque cupiditates; ex opum enim acquirendarum ſtudio omnia bella nobis exſiſtunt, opes vero cogimur nobis acquirere propter corpus, addicti huius miniſterio; itaque vacare non poſſumus philoſophiae propter haec omnia. extremum omnium hoc eſt, quod, etiam ſi vacamus ab illo et pergimus ad rem aliquam conſiderandam, illud item quaeſtionibus noſtris ubique interveniens tumultum excitat et turbam adeoque animum percutit, ut non queat propter illud conſpicere verum. at revera nobis liquet, ſi velimus umquam pure aliquid cognoſcere, nobis abstinendum iſto ipſoque animo ſpectandas eſſe res, et ita, ut patet, nobis continget, quam appetimus et cuius amatores nos eſſe profitemur, ſapientia, quando videlicet e vita exceſſerimus, ut oratio docet, vivis vero non obtinget. nam ſi nihil poſſumus cum corpore pure cognoſcere, alterutrum fieri debet, ut aut numquam nobis liceat acquirere ſapientiam, aut poſt mortem; tum enim ipſe per ſe erit animus ſeparatim a corpore, non prius; et quamdiu vivimus, ita, ut videtur, proxime aberimus a ſcientia, ſi quam minimum cum corpore commercium et commune habemus, niſi ſi prorſus neceſſarium eſt, nec contaminamus nos illius natura, ſed puros ab eo nos ſervamus, donec deus ipſe nos liberaverit; et ita quidem puri, utpote disiuncti a corporis

ὡς τὸ εἰκός, μετὰ τοιούτων τε ἐσόμεθα καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές (τοῦτο δ' ἐστὶν ἴσως * τἀ- B ληθές)· μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. Τοιαῦτα οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον εἶναι πρὸς ἀλλήλους λέγειν τε καὶ δοξάζειν πάντας τοὺς ὀρθῶς φιλομαθεῖς· ἢ οὐ δοκεῖ σοι οὕτως; Παντός γε μᾶλλον, ὦ Σώκρατες. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ ταῦτ' ἀληθῆ, ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ, οἷ ἐγὼ πορεύομαι, ἐκεῖ ἱκανῶς, εἴπερ που ἄλλοθι, κτήσασθαι τοῦτο, οὗ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ἐν τῷ παρελθόντι βίῳ γέγονεν· ὥστε ἥ γε ἀποδημία ἡ νῦν ἐμοὶ * προστεταγμένη μετὰ ἀγαθῆς ἐλπίδος C γίγνεται καὶ ἄλλῳ ἀνδρὶ ὃς ἡγεῖταί οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. Κάθαρσις δὲ εἶναι ἆρα οὐ τοῦτο ξυμβαίνει, ὅπερ πάλαι ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχὴν καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος ξυναγείρεσθαί τε καὶ ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα μόνην καθ' αὑ*τήν, ἐκλυομένην ὥσπερ ἐκ D δεσμῶν ἐκ τοῦ σώματος; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γ', ἦ δ' ὅς. Λύειν δέ γε αὐτήν, ὥς φαμεν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος· ἢ οὔ; Φαίνεται. Οὐκοῦν, ὅπερ ἐν ἀρχῇ ἔλεγον, γελοῖον ἂν εἴη, ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄν*τα τοῦ τεθνάναι οὕτω ζῆν, κἄπειθ', ἥκοντος αὐ- E τῷ τούτου, ἀγανακτεῖν; οὐ *) γελοῖον; Πῶς δ' οὔ; Τῷ ὄντι ἄρα, ἔφη, ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει· εἰ γὰρ διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν, τούτου δὲ γιγνομένου εἰ φο-

*) ἴσ. ἦ οὐ γελοῖον;

dementia, ut consentaneum est, et cum talibus versabimur et cognoscemus per nos ipsi quicquid sincerum est (hoc vero est haud dubie verum); impuro enim purum attingere vereor ut liceat. Talia arbitror, Simmia, necesse esse inter se loqui et iudicare omnes qui sapientiam recte appetunt; annon tibi ita videtur? Omni vero modo, Socrate. Itaque, ait Socrates, si haec vera sunt, amice, magna est spes fore ut, si eo pervenerim quo proficiscor, satis ibi, si usquam alibi, adipiscar hoc, ad quod tantum studii in praeterita vita contulimus; quocirca migratio nunc mihi iniuncta bona cum spe suscipitur etiam ab alio viro, qui existimat mentem sibi ita comparatam esse, ut sit propemodum purgata. Sane quidem, ait Simmias. Purgatio vero nonne haec erit (id quod paullo ante in sermone nostro diximus), separare quam maxime a corpore animum eumque assuefacere per se ipsum ex omnibus corporis partibus se colligere et in unum locum cogere, et vivere, quoad potest, tam in praesenti quam in posterum per se ipsum, exsolutum tamquam vinculis corpore? Sane quidem, inquit. Nonne mors appellatur haec solutio ac separatio animi a corpore? Ita, ait ille. Solvere autem ipsum, ut dicimus, student semper maxime et soli ii qui philosophantur recte, et hoc ipsum spectat philosophorum meditatio, ut solvant et separent animum a corpore; nonne? Patet. Nonne igitur, quod initio dixi, ridiculum foret, si vir per vitae cursum ita se compararet, ut quam proxime abesset a morte, et deinde, hac ad ipsum veniente, aegre eam ferret? an non esset ridiculum? Quidni? Revera igitur, inquit, Simmia, ii qui recte in philosophiam incumbunt mori meditantur, et mors minimum iis ex omnibus hominibus timorem incutit. ex his vero iudica: quum enim infensi sint omni modo corpori ipsumque per se cupiant animum habere, hoc assequuti

βοῖντο καὶ ἀγανακτοῖεν, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ
ἄσμενοι ἐκεῖσε ἴοιεν, οἷ ἀφικομένοις ἐλπίς ἐστιν, οὗ * διὰ 68
βίου ἤρων, τυχεῖν (ἤρων δὲ φρονήσεως), ᾧ τε *) διεβέ-
βληντο, τούτου ἀπηλλάχθαι ξυνόντος αὐτοῖς; ἤ, ἀνθρωπί-
νων μὲν παιδικῶν καὶ γυναικῶν καὶ υἱέων ἀποθανόντων,
πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς Ἅιδου ἐλθεῖν, ὑπὸ ταύτης
ἀγόμενοι τῆς ἐλπίδος τῆς τοῦ ὄψεσθαί τι ἐκεῖ ὧν ἐπεθύ-
μουν καὶ ξυνέσεσθαι, φρονήσεως δὲ ἄρα τις τῷ ὄντι ἐρῶν
καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ
ἄλλοθι ἐντεύξεσθαι αὐτῇ ἀξίως λόγου ἢ ἐν Ἅιδου, ἀγανα-
κτήσει τε ἀπο*θνήσκων καὶ οὐκ ἄσμενος εἶσιν αὐτόσε; B
οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι γ' ᾖ, ὦ ἑταῖρε, φιλόσοφος·
σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει, μηδαμοῦ ἄλλοθι καθαρῶς
ἐντεύξεσθαι φρονήσει ἀλλ' ἢ ἐκεῖ· εἰ δὲ τοῦτο οὕτως ἔχει,
ὅπερ ἄρτι ἔλεγον, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ φοβοῖτο τὸν
θάνατον ὁ τοιοῦτος; Πολλὴ μέντοι νὴ Δία, ἦ δ' ὅς.
Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο ἀνδρός, ὃν
ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ
ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος; ὁ αὐτὸς δέ
*που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότι- C
μος, ἤτοι τὰ ἕτερα τούτων ἢ καὶ ἀμφότερα. Πάνυ γ', ἔφη,
ἔχει οὕτως ὡς λέγεις. Ἆρ' οὖν, ἔφη, ὦ Σιμμία, οὐ καὶ ἡ
ὀνομαζομένη ἀνδρεία τοῖς οὕτω διακειμένοις μάλιστα προς-
ήκει; Πάντως δήπου, ἔφη. Οὐκοῦν καὶ ἡ σωφροσύνη,
ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπι-
θυμίας μὴ ἐπτοῆσθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως,
ἆρ' οὐ τούτοις μόνοις προςήκει τοῖς μάλιστα τοῦ σώματος
ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶ*σιν; Ἀνάγκη, ἔφη. D
Εἰ γὰρ ἐθέλεις, ἦ δ' ὅς, ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀν-
δρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Πῶς δή,
ὦ Σώκρατες; Οἶσθα, ἦ δ' ὅς, ὅτι τὸν θάνατον ἡγοῦνται
πάντες οἱ ἄλλοι τῶν μεγίστων κακῶν εἶναι. Καὶ μάλα, ἔφη.
Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖ-
οι τὸν θάνατον, ὅταν ὑπομένωσιν; Ἔστι ταῦτα. Τῷ δεδιέναι

*) ἴσ. δέ.

ſi timerent idque aegre ferrent, non magna haec inſipientia eſſet, niſi videlicet laeti eo proficiſcerentur, ubi, quum perveniſſent, ſperare poſſent fore, ut quod in vita deſideraſſent aſſequerentur (deſideraverant autem ſapientiam), ab eius vero, cui infenſi fuiſſent, liberarentur ſocietate et contagione? an, humanis quidem deliciis et mulieribus et filiis mortuis, multi iam ſponte voluerunt ad inferos migrare, hac ducti ſpe, ſe ibi quos cupiebant viſuros eſſe atque cum iis verſaturos, ſapientiam vero qui revera deſiderat eandemque hanc ſpem concepit, nusquam alibi ſe conſequuturum eſſe illam ita ut par ſit niſi apud inferos, hic aegre feret mortem nec laetus abibit illuc? immo exiſtimare debemus, ſi vere eſt, amice, philoſophus; nam omnino ita ipſi videbitur, nusquam alibi pure ſe nacturum eſſe philoſophiam niſi illic; quod quidem ſi ita ſe habet, nonne, quod modo dicebam, magna eſſet inſipientia, ſi mortem huiusmodi vir timeret? Magna vero mehercule, ait ille. Nonne, ſi quem virum vides aegre ferentem, quum moriendum ei eſt, ſatis tibi hoc teſtificatur, eum non ſapientiae, ſed corporis ſtudioſum quendam fuiſſe? idem vero eſt haud dubie etiam pecuniae et honoris cupidus, vel alterutrius horum vel utriusque. Prorſus, inquit, habet ita ut dicis. Nonne etiam, ait, Simmia, fortitudo quae nuncupatur viris ita comparatis maxime convenit? Prorſus iſto modo, inquit. Nonne etiam temperantia, quam volgus quoque vocat temperantiam, ſi cupiditatibus non es attonitus, ſed contemnis illas modeſteque te geris, nonne, inquam, his ſolis convenit qui maxime corpus contemnunt et in philoſophia vivunt? Neceſſe eſt, ait ille. Etenim ſi vis, inquit, reputare ceterorum fortitudinem ac temperantiam, videbitur tibi eſſe abſurda. Cur? quaeſo, Socrate. Noſti, inquit, mortem ducere reliquos omnes in maximis malis. Sane quidem, ait. Nonne vero metu maiorum malorum ſuſtinent fortes iſti mortem, ut eam ſuſtineant? Sunt iſta. Eo igitur

ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες πλὴν οἱ φιλόσοφοι· καίτοι ἄτοπόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ *μὲν οὖν. Τί δὲ οἱ κόσμιοι αὐτῶν; οὐ ταὐτὸν τοῦτο πεπόνθασιν, ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καίτοι φαμέν γέ που ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς ξυμβαίνει τούτῳ ὅμοιον εἶναι τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται ὑπ' ἄλλων κρατούμενοι· καίτοι καλοῦσί γε ἀκολασίαν το ὑπὸ * τῶν ἡδονῶν ἄρχεσθαι, ἀλλ' ὅμως ξυμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν· τοῦτο δ' ὅμοιόν ἐστιν, ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Ἔοικε γάρ. Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ [πρὸς ἀρετὴν] ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, καὶ μείζω πρὸς ἐλάττω, ὥσπερ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀνθ' οὗ δεῖ ἅπαντα ταῦτα καταλλάττεσθαι, φρό*νησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ, καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ξυλλήβδην ἀληθὴς ἀρετή, μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ, τὸ δ' ἀληθὲς τῷ ὄντι ᾖ κάθαρ*σίς τις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρεία καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ. καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκ-

E
69
B
C

quod timidi sunt et metu fortes sunt omnes praeter philosophos; quamquam absurdum est, metu et timiditate quemquam esse fortem. Sane quidem. Quid vero modesti ex illis? nonne eadem haec ipsorum est ratio, ut videlicet incontinentia quadam temperantes sint? quamquam dicimus, opinor, hoc fieri non posse; sed tamen istis accidit huic similis affectio ratione ineptae huius temperantiae; verentes enim aliis ne voluptatibus priventur, hasque concupiscentes, aliis abstinent aliis succumbentes; et quamquam vocant quidem incontinentiam hoc, a voluptatibus regi, tamen accidit iis ut superati a voluptatibus superent alias voluptates; hoc vero simile est illi quod modo dicebamus, quodammodo ex incontinentia eos ad temperantiam esse redactos. Consentaneum est. At, o beate Simmia, vide ne non sit haec recta commutatio, voluptates cum voluptatibus et dolores cum doloribus et metum cum metu commutare, maiorem cum minore, sicut numos, sed ille sit unus numus rectus, quicum oporteat omnia haec commutari, sapientia, omniaque, quae hoc et cum hoc emantur ac vendantur, revera exstent, et fortitudo et temperantia et iustitia et in universum vera virtus, cum sapientia, sive adsint sive absint voluptates et timores et reliqua omnia generis eiusdem; quae si separentur a sapientia et inter se permutentur, vereor ne adumbrata quaedam virtutis imago exsistat, quae revera servilis sit nec sinceri ac veri aliquid habeat, veritas autem vide ne omnino sit purgatio quaedam ab omnibus his rebus, et temperantia, iustitia, fortitudo ipsaque sapientia quaedam sit purgatio. ac videntur etiam illi qui mysteria nobis condiderunt non contemnendi quidam fuisse, sed revera iam pridem verborum involucris significasse fore ut, qui initiatus et perfectus non esset, in coeno iaceret, purgatus vero et perfectus, quum illuc pervenisset, cum diis habitaret. sunt enim, dicunt ii qui in mysteriis versantur, multi quidem thyrsigeri, at Bac-

χοι δέ τε παῦροι· οὗτοι δ' εἰσὶ * κατὰ τὴν ἐμὴν δόξαν οὐκ D
ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς. ὧν δὴ καὶ ἔγωγε κα-
τὰ τὸ δυνατὸν οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ
τρόπῳ προὐθυμήθην γενέσθαι. εἰ δὲ ὀρθῶς προὐθυμήθην
καί τι ἠνυσάμην, ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἐὰν
θεὸς ἐθέλῃ, ὀλίγον ὕστερον, ὡς ἐμοὶ δοκεῖ.

Ταῦτ' οὖν ἐγώ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ἀπο-
λογοῦμαι, ὡς εἰκότως ὑμᾶς τε ἀπολείπων καὶ τοὺς ἐνθάδε
δεσπότας οὐ χαλεπῶς φέρω οὐδ' ἀγανακτῶ, ἡγούμενος κά-
κεῖ * οὐδὲν ἧττον ἢ ἐνθάδε δεσπόταις τε ἀγαθοῖς ἐντεύξε- E
σθαι καὶ ἑταίροις [τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει]. εἴ τι
οὖν ὑμῖν πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθη-
ναίων δικασταῖς, εὖ ἂν ἔχοι.

Εἰπόντος δὴ τοῦ Σωκράτους ταῦτα, ὑπολαβὼν ὁ Κέ-
βης ἔφη· Ὦ Σώκρατες, τὰ μὲν ἄλλα ἔμοιγε δοκεῖ καλῶς
λέγεσθαι, τὰ δὲ περὶ τῆς ψυ*χῆς πολλὴν ἀπιστίαν παρέχει 70
τοῖς ἀνθρώποις, μή, ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, οὐδα-
μοῦ ἔτι ᾖ, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπολ-
λύηται, ᾗ ἂν ὁ ἄνθρωπος ἀποθάνῃ, εὐθὺς ἀπαλλαττομένη
τοῦ σώματος, καὶ ἐκβαίνουσα, ὥσπερ πνεῦμα ἢ καπνὸς
διασκεδασθεῖσα, οἴχηται διαπτομένη καὶ οὐδὲν ἔτι οὐδαμοῦ
ᾖ· ἐπεί, εἴπερ εἴη που αὐτὴ καθ' ἑαυτὴν ξυνηθροισμένη
καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν ὧν σὺ νῦν δὴ διῆλ-
θες, πολλὴ ἂν ἐλπὶς εἴη καὶ καλή, ὦ Σώκρα*τες, ὡς ἀλη- B
θῆ ἐστὶν ἃ σὺ λέγεις. ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης πα-
ραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθα-
νόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνη-
σιν. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης· ἀλλὰ
τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολο-
γῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν εἴτε μή; Ἔγωγ' οὖν, ἔφη ὁ
Κέβης, ἡδέως ἂν ἀκούσαιμι ἥντινα δόξαν ἔχεις περὶ αὐ-
τῶν. Οὔκουν γ' ἂν οἶμαι, ἦ δ' ὃς ὁ Σωκράτης, εἰπεῖν τι-
νὰ νῦν ἀκούσαντα, οὐδ' εἰ κω*μῳδοποιὸς εἴη, ὡς ἀδολεσχῶ C
καὶ οὐ περὶ προσηκόντων τοὺς λόγους ποιοῦμαι. εἰ οὖν

chorum copia rara eſt; hi vero ſunt, ut mea fert opinio, alii nulli, niſi qui recte philoſophati ſunt: quorum quidem ego quoque ut unus exſiſterem, quoad poteram, nihil omiſi in vita, ſed omni modo contendi. num recte contenderim et aliquid aſſequutus ſim, illuc profecti certo cognoſcemus, ſi deus voluerit, paullo poſt, ut mihi videtur.

Haec igitur, inquit, Simmia et Cebes, defenſionis cauſa dixi ut probarem, iure me, vos relinquentem et qui hic ſunt dominos, non moleſte et aegre id ferre, utpote exiſtimantem, illic quoque non minus quam hic dominos bonos me nacturum eſſe atque amicos [licet multitudini incredibile ſit auditu]. quodſi vobis magis perſuaſit defenſio mea, quam Athenienſium iudicibus, bene habet.

Quae quum Socrates dixiſſet, Cebes eum excipiens O Socrate, inquit, cetera quidem mihi videntur bene dicta eſſe, ſed de animo addubitantes multum verentur homines, ne, quum diſceſſerit e corpore, nusquam amplius ſit, ſed illa die pereat et exſtinguatur, qua homo moriatur, ſtatim ut diſceſſerit e corpore, neque excedens, ſicut ventus vel ſumus diſſipatus, evaneſcat nec amplius aliquid usquam ſit; alioquin, ſicubi eſſet ipſe in ſe collectus liberatusque his malis quae tu modo perſequutus es, magna ſpes eſſet et pulchra, Socrate, vera eſſe ea quae tu dicis. at hoc ſcilicet haud exiguam deſiderat confirmationem ac demonſtrationem, exſtare animum mortui hominis vimque aliquam habere atque prudentiam. Vera, inquit, dicis, Socrates, o Cebes; ſed quid tandem faciamus? an vis de his ipſis confabulemur, num probabile ſit ita ſe habere necne? Equidem, ait Cebes, libenter audierim, quae tua ſit ea de re ſententia. Minime quidem arbitror, ait Socrates, dicturum eſſe nunc quempiam id audientem, etiam ſi comicus poeta ſit, me nugas proferre nec de rebus ad me quicquam pertinentibus verba facere. quocirca ſi vide-

δοκεῖ, χρὴ διασκοπεῖσθαι· σκεψώμεθα δ' αὐτὸ τῇδέ πῃ, εἴτε ἄρα ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων εἴτε καὶ οὔ. παλαιὸς μὲν οὖν ἔστι τις λόγος, οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι ἢ εἶεν ἂν ἡμῶν αἱ * ψυχαὶ ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν D ἐγίγνοντο μὴ οὖσαι, καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταῦτ' *) εἶναι, εἰ τῷ ὄντι φανερὸν γένοιτο ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν καὶ ξυλλήβδην, ὅσαπερ ἔχει γένεσιν, περὶ πάντων ἴδωμεν, ἆρ' οὑτωσὶ γίγνεται ἅπαντα, οὐκ ἄλλο*θεν ἢ ἐκ τῶν ἐναντίων τὰ E ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα δὴ μυρία οὕτως ἔχει. τοῦτ' οὖν σκεψώμεθα, ἆρα **) ἀναγκαῖον, ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου· οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι. Ναί. Οὐκοῦν κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον * ὕ- 71 στερον ἔλαττον γενήσεται; Ἔστιν, ἔφη, οὕτως. Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον. Πάνυ γε. Τί δέ; ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος, καὶ ἐὰν δικαιότερον, ἐξ ἀδικωτέρου; Πῶς γὰρ οὔ; Ἱκανῶς οὖν, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα. Πάνυ γε. Τί δ' αὖ; ἔστι τι καὶ τοιόνδε ἐν αὐτοῖς οἷον μεταξὺ ἀμφοτέρων πάντων τῶν ἐναντίων δυεῖν ὄντοιν δύο γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ * τὸ ἕτερον, ἀπὸ δ' αὖ τοῦ ἑτέρου B πάλιν ἐπὶ τὸ ἕτερον; μείζονος μὲν γὰρ πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις, καὶ καλοῦμεν οὕτω

---

*) ἴσ. αὐτάς.

**) ἴσ. σκεψώμεθα οὖν εἰ κτλ.

tur, perſcrutandum eſt; quaeramus vero de eo, num apud inferos ſint animi mortuorum hominum necne, hac fere ratione. antiquum videlicet eſt effatum, quod meminimus, animos eſſe hinc profectos illic et rurſus huc proficiſci naſcique ex mortuis. iam ſi hoc ſic ſe habet, ut rurſus naſcantur e mortuis viventes, nonne erunt animi noſtri illic? minime enim rurſus naſcerentur, niſi exſtarent, et idoneum hoc erit argumentum animos exſtare, ſi revera liquerit non aliunde naſci viventes niſi e mortuis. quod ſi non eſt ita, alia opus erit ratione. Sane quidem, ait Cebes. Nec vero tantum in hominibus, inquit, hoc explora, ſi facilius vis percipere, verum etiam in omnibus animantibus et plantis et omnino in omnibus quae naſcuntur videamus, num ita naſcantur omnia, non aliunde ſcilicet niſi e contrariis contraria, cuiuscumque aliquid eſt contrarium, velut honeſtum turpis contrarium eſt et iuſtum iniuſti et alia innumerabilia ſe ſic habent. videamus igitur, num neceſſe ſit, cuiuscumque aliquid ſit contrarium, id ipſum non aliunde naſci niſi ex hoc, quod eius contrarium ſit; velut ſi quid maius ſit, neceſſe eſt, opinor, ex eo, quod ante minus fuerit, poſtea maius illud fieri. Ita. Nonne etiam ſi minus fit, ex eo, quod ante maius fuit, poſtea minus fiet? Sunt, inquit, iſta. Quin etiam e validiore fit imbecillius et e tardiore celerius. Sane quidem. Quid? ſi quid deterius fit, nonne e meliore naſcitur, et ſi iuſtius, ex iniuſtiore? Quî aliter? Satis igitur, inquit, tenemus hoc, omnia ita naſci, e contrariis videlicet contraria. Sane quidem. Quid autem? eſtne tale quid in illis, velut duae generationes mediae inter utraque quaeque contraria, progredientes illae quidem ab altero ad alterum rurſusque revertentes ab altero ad alterum? inter maiorem enim et minorem rem media ſunt incrementum et decrementum, et dicimus ita

τὸ μὲν αὐξάνεσθαι, τὸ δὲ φθίνειν. Ναί, ἔφη. Οὐκοῦν καὶ διακρίνεσθαι καὶ ξυγκρίνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάντα οὕτω, κἂν εἰ μὴ χρώμεθα τοῖς ὀνόμασιν ἐνιαχοῦ, ἀλλ' ἔργῳ γοῦν πανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαί τε αὐτὰ ἐξ ἀλλήλων γένεσίν τε εἶναι ἑκατέρου εἰς ἄλληλα; Πάνυ γ', ἦ δ' ὅς. Τί οὖν; ἔφη, τῷ * ζῆν ἔστι τι ἐναντίον, ὥσπερ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; C
Πάνυ μὲν οὖν, ἔφη, Τί; Τὸ τεθνάναι, ἔφη. Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴπερ ἐναντία ἐστί, καὶ αἱ γενέσεις εἰσὶν αὐτοῖν μεταξὺ δύο δυεῖν ὄντοιν; Πῶς γὰρ οὔ; Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν, ὧν νῦν δὴ ἔλεγον, ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις, σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύ*δειν, καὶ τὰς D
γενέσεις αὐτοῖν τὴν μὲν καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι. ἱκανῶς σοι, ἔφη, ἢ οὔ; Πάνυ μὲν οὖν. Λέγε δὴ καὶ σύ μοι, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου· οὐκ ἐναντίον μὲν φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι; Ἔγωγε. Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; Ναί. Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; Τὸ τεθνηκός, ἔφη. Τί δέ, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν ὅτι τὸ ζῶν. Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται. Φαί*νεται, ἔφη. Εἰσὶν ἄρα, ἔφη, αἱ ψυ- E
χαὶ ἡμῶν ἐν Ἅιδου. Ἔοικεν. Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦτα ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνήσκειν σαφὲς δήπου· ἢ οὔ; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; οὐκ ἀνταποδώσομεν τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν ἐναντίαν τινὰ γένεσιν; Πάντως που, ἔφη. Τίνα ταύτην; Τὸ ἀναβιώσκεσθαι. Οὐκοῦν, ἦ δ' ὅς, εἴπερ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς * ζῶντας αὕτη, τὸ ἀναβιώ- 72
σκεσθαι; Πάνυ γε. Ὁμολογεῖται ἄρα ἡμῖν καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων· τούτου δὲ ὄντος, ἱκανόν που

alterum crefcere, alterum decrefcere. Ita, inquit. Nonne etiam fecerni et concrefcere, frigefcere et incalefcere et omnia, etiamfi nullis utamur vocabulis interdum, re tamen ubique ita fe habere neceffe eft, ut fiant ex fe invicem mutuaque fit inter ipfa generatio? Sane quidem, ait ille. Quid igitur? inquit, vitae num quid contrarium eft, ficut vigiliae fomnus? Sane quidem, ait. Quid? Mors, inquit. Nonne ex fe invicem nafcuntur hae, fiquidem inter fe contrariae funt, et generationes earum funt duae mediae inter ipfas duas? Quidni fint? Alteram igitur rerum contrariarum quas modo memorabam copulationem ego tibi, inquit, dicam, ipfam eiusque generationes, tu vero mihi refer alteram. unum dico dormire, alterum vigilare, et e fomno vigiliam nafci et e vigilia fomnum, generationum vero unam effe obdormifcere, alteram expergifci. an fatis perfpicis, inquit, necne? Satis vero. Iam tu quoque mihi dic, inquit, fimiliter de vita et morte: nonne contraria inter fe effe cenfes vivere et mori? Ego vero. Nafci autem ex fe invicem? Ita. E vivente igitur quid nafcitur? Mortuum, ait ille. Quid vero, inquit, e mortuo? Neceffe eft, ait, confiteri vivens nafci. E mortuis igitur, Cebes, viventia et viventes nafcuntur. Patet, inquit. Sunt ergo, inquit, animi noftri apud inferos. Confentaneum eft. Nonne etiam generationum illarum ex his profectarum altera quidem perfpicua eft? emori videlicet perfpicuum, opinor, an non eft? Sane quidem, ait. Iam quomodo, inquit, faciemus? non reddemus ei contrariam generationem, fed ex hac parte claudicabit natura? an neceffe eft reddere emoriendo contrariam generationem? Omnino quidem, inquit. Quamnam? Revivifcendi. Nonne igitur, inquit, fi eft revivifcere, e mortuis ad viventes progredietur haec generatio revivifcendi? Sane quidem. Convenit igitur inter nos etiam hoc modo, viventes e mortuis nafci non minus quam mortuos e viventibus; hoc vero fi ita effet,

ἐδόκει τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν. Ἰδὲ τοίνυν, ἔφη, ὦ Κέβης, ὅτι οὐδ᾽ ἀδίκως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ· εἰ γὰρ μὴ ἀεὶ ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις γιγνόμενα, ὡςπερεὶ κύκλῳ περιϊόντα, ἀλλ᾽ εὐθεῖά B
τις εἴη ἡ γένεσις ἐκ τοῦ ἑτέρου μόνον εἰς τὸ καταντικρὺ καὶ μὴ ἀνακάμπτοι πάλιν ἐπὶ τὸ ἕτερον μηδὲ καμπὴν ποιοῖτο, οἶσθ᾽ ὅτι πάντα τελευτῶντα τὸ αὐτὸ σχῆμα ἂν σχοίη καὶ τὸ αὐτὸ πάθος ἂν πάθοι καὶ παύσαιτο γιγνόμενα. Πῶς λέγεις; ἔφη. Οὐδὲν χαλεπόν, ἦ δ᾽ ὅς, ἐννοῆσαι ὃ λέγω· ἀλλ᾽ οἷον εἰ τὸ καταδαρθάνειν μὲν εἴη, τὸ δ᾽ ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη γιγνόμενον ἐκ τοῦ καθεύδοντος, οἶσθ᾽ ὅτι τελευτῶντα πάντ᾽ ἂν λῆρον * τὸν Ἐνδυ- C
μίωνα ἀποδείξειε καὶ οὐδαμοῦ ἂν φαίνοιτο, διὰ τὸ καὶ τἆλλα πάντα ταὐτὸν ἐκείνῳ πεπονθέναι, καθεύδειν· κἂν εἰ ξυγκρίνοιτο μὲν πάντα, διακρίνοιτο δὲ μή, ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα. ὡςαύτως δέ, ὦ φίλε Κέβης, καὶ εἰ ἀποθνήσκοι μὲν πάντα ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ δὲ ἀποθάνοι, μένοι ἐν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα καὶ μὴ πάλιν ἀναβιώσκοιτο, ἆρ᾽ οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα*) τεθνάναι καὶ μηδὲν ζῆν; εἰ γὰρ ἐκ * μὲν τῶν ἄλλων τὰ ζῶντα γίγνοιτο, τὰ δὲ D
ζῶντα θνήσκοι, τίς μηχανὴ μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ τεθνάναι; Οὐδὲ μία μοι δοκεῖ, ἔφη ὁ Κέβης, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς παντάπασιν ἀληθῆ λέγειν. Ἔστι γάρ, ἔφη, ὦ Κέβης, ὡς ἐμοὶ δοκεῖ, παντὸς μᾶλλον οὕτω, καὶ ἡμεῖς αὐτὰ ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἀλλ᾽ ἔστι τῷ ὄντι καὶ τὸ ἀναβιώσκεσθαι καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίγνεσθαι καὶ τὰς τῶν τεθνεώτων ψυχὰς εἶναι, καὶ ταῖς μέν γ᾽ ἀγαθαῖς ἄμεινον εἶναι, ταῖς E
δὲ κακαῖς κάκιον.

Καὶ μήν, ἔφη ὁ Κέβης ὑπολαβών, καὶ κατ᾽ ἐκεῖνόν γε τὸν λόγον, ὦ Σώκρατες, εἰ ἀληθής ἐστιν, ὃν σὺ εἴωθας

---

*) ἴσ. πάντ᾽ ἂν κτλ.

ſatis videbatur id argumenti fore, neceſſario mortuorum animos exſtare alicubi, unde videlicet rurſus naſcerentur. Videtur mihi, ait, Socrate, ex iis quae inter nos convenerunt, neceſſario iſtud ſequi. Cognoſce vero, inquit, Cebes, non ſine ratione id inter nos convenisse, ut mihi videtur; nam niſi ſemper reſponderet alterum alteri naſcendo, quaſi circulum conficiens, ſed directa eſſet generatio, ex altero tantum ad id quod e regione eſſet poſitum progrediens, nec reflecteretur rurſus ad alterum flexumque faceret, intelligis fore ut omnia ad extremum eandem haberent ſpeciem, idem paterentur et deſinerent naſci. Quomodo dicis? ait. Non difficile, inquit, perſpectu eſt quod dico; ſed velut ſi obdormiſcere quidem eſſet, expergiſci vero ei non reſponderet, exſiſtens illud e dormiendo, intelligis omnia ad extremum ita fore comparata, ut Endymion nihil ad ea eſſet et nullo loco haberetur, quia reliqua omnia eodem atque ille afficerentur ſomno; et ſi concreſcerent omnia, nihil vero ſecerneretur, illico Anaxagoreum illud exiſteret: ſimul omnes res. eadem igitur ratione, o care Cebes, ſi morerentur quidem quaecumque vitae eſſent participia, et, quum mortua eſſent, in eodem manerent ſtatu, quippe mortua, nec rurſus reviviſcerent, nonne prorſus neceſſe eſt omnia ad extremum mortua fore nec quicquam eſſe victurum? nam ſi ex ceteris viventia naſcerentur, viventia autem morerentur, qui poſſet fieri quin omnia conſumerentur moriendo? Nullo mihi videtur modo, ait Cebes, Socrate; immo mihi videris prorſus vera dicere. Eſt videlicet, inquit, Cebes, ut mihi videtur, plane ita, nec decepti nos hoc ipſum confitemur, ſed eſt revera ita, ut animus reviviſcat, ut e mortuis viventes exſiſtant, ut mortuorum animi exſtent et bonis quidem melius ſit, malis vero peius.

Quin etiam, ait Cebes eum excipiens, ex illa quidem ratione, Socrate, ſi vera eſt, quam tu ſolebas cre-

θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις
τυγχάνει οὖσα, καὶ κατὰ τοῦτον ἀνάγκη που ἡμᾶς ἐν προ-
τέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνησκόμεθα·
τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψυχή, πρὶν ἐν
τῷδε * τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι· ὥςτε καὶ ταύτῃ 73
ἀθάνατόν τι ἔοικεν ἡ ψυχὴ εἶναι. Ἀλλ', ὦ Κέβης, ἔφη ὁ
Σιμμίας ὑπολαβών, ποῖαι τούτων αἱ ἀποδείξεις; ὑπόμνη-
σόν με· οὐ γὰρ σφόδρα ἐν τῷ παρόντι μέμνημαι. Ἑνὶ
μὲν λόγῳ, ἔφη ὁ Κέβης, καλλίστῳ, ὅτι ἐρωτώμενοι οἱ ἄν-
θρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ᾗ ἔχει·
καίτοι εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη ἐνοῦσα καὶ ὀρθὸς
λόγος, οὐκ ἂν οἷοί τ' ἦσαν τοῦτο ποιεῖν· ἔπειτα ἐάν τις
ἐπὶ τὰ διαγράμματα ἄ*γῃ ἢ ἄλλο τι τῶν τοιούτων, ἐνταῦ- B
θα σαφέστατα κατηγορεῖ ὅτι τοῦτο οὕτως ἔχει. Εἰ δὲ μὴ
ταύτῃ γε, ἔφη, πείθει, ὦ Σιμμία, ὁ Σωκράτης, σκέψαι ἐὰν
τῇδέ πῇ σοι σκοπουμένῳ ξυνδόξῃ. ἀπιστεῖς γὰρ δὴ πῶς ἡ
καλουμένη μάθησις ἀνάμνησίς ἐστιν. Ἀπιστῶ μὲν ἔγωγ',
ἦ δ' ὃς ὁ Σιμμίας, οὔ, αὐτὸ δὲ τοῦτο, ἔφη, δέομαι πα-
θεῖν, περὶ οὗ ὁ λόγος *), ἀναμνησθῆναι· καὶ σχεδόν γε,
ἐξ ὧν Κέβης ἐπεχείρησε λέγειν, ἤδη μέμνημαι καὶ πείθο-
μαι, οὐδὲν μέντ' ἂν ἧττον ἀκούοιμι νῦν πῇ σὺ ἐπεχείρη-
σας λέγειν. * Τῇδε ἔγωγε, ἦ δ' ὅς. ὁμολογοῦμεν γὰρ δή- C
που, εἴ τίς τι ἀναμνησθήσεται, δεῖν αὐτὸν τοῦτο πρότερόν
ποτε ἐπίστασθαι. Πάνυ γε, ἔφη. Ἆρ' οὖν καὶ τόδε ὁμο-
λογοῦμεν, ὅταν ἐπιστήμη παραγίγνηται τρόπῳ τοιούτῳ, ἀνά-
μνησιν εἶναι; λέγω δέ τινα τρόπον τοῦτον **)· ἐάν τίς τι
ἕτερον ἢ ἰδὼν ἢ ἀκούσας ἤ τινα ἄλλην αἴσθησιν λαβὼν μὴ
μόνον ἐκεῖνο γνῷ, ἀλλὰ καὶ ἕτερον ἐννοήσῃ, οὗ μὴ ἡ αὐτὴ
ἐπιστήμη, ἀλλ' ἄλλη, ἆρ' οὐχὶ τοῦτον ***) δικαίως λέγομεν ὅτι
ἀνεμνήσθη οὗ τὴν ἔννοιαν ἔλα*βεν; Πῶς λέγεις; Οἷον τὰ τοι- D

---

*) ἴσ. αὐτοῦ δὲ τούτου — δέομαι, περὶ οὗ ὁ λόγος.

**) ἴσ. Λέγεις δὲ τίνα τρόπον τοῦτον; Ἐάν τις κτλ.

***) γρ. τοῦτο.

bro proferre, discere nihil aliud esse nisi recordari, etiam ex hac, inquam, necesse sit, in superiore vita nos didicisse quae nunc recordemur; hoc autem fieri nequit, nisi animus noster alicubi ante fuit, quam in hac humana forma exstitit: ut hac etiam ratione immortale quid videatur animus esse. At, Cebes, ait Simmias subiiciens, quales sunt huius rationis demonstrationes? admone me de iis; neque enim admodum in praesenti eas memini. Ut unum proferam argumentum, ait Cebes, idque pulcherrimum: homines, si quis bene eos interrogat, ipsi dicunt omnia quomodo se habeant; quod tamen, nisi scientia in ipsis inesset rectaque ratio, nullo modo possent facere; praesertim quum ad descriptiones aliquis eos ducit vel aliud quicquam generis eiusdem, tum clarissime patet hoc ita se habere. Quodsi hac ratione, Simmia, ait Socrates, non persuaderis, vide num, si ita consideres, assentiare. dubitans scilicet quaeris, quomodo id quod dicitur discere sit recordari. Non dubito equidem, ait Simmias, sed hoc ipso, inquit, mihi opus est, de quo agimus, recordatione; ac propemodum ex iis, quae Cebes instituit explicare, iam recordor et persuasus sum; nihilo tamen minus audire nunc velim, quomodo tu institueris haec explicare. Sic ego institui, inquit. confitemur enim, ni fallor, si quis quid recordetur, oportere hunc illud prius aliquando cognitum habuisse. Sane quidem, inquit. Num etiam hoc confitemur, si cognitio obtingat tali modo, eam esse recordationem? dico autem hunc fere modum *): si quis quid vel videns vel audiens vel alio quo sensu percipiens non id ipsum modo cognoscit, sed etiam aliud quid cogitat, cuius non eadem est notio, sed diversa, nonne hunc iure dicimus recordari id cuius notionem ceperit? Quomodo dicis? Ita, ut exemplum proferam:

---

*) fors. *Quemnam hunc dicis modum? Si quis* cett.

ἄδε· ἄλλη που ἐπιστήμη ἀνθρώπου καὶ λύρας. Πῶς γὰρ οὔ; Οὐκοῦν οἶσθα ὅτι οἱ ἐρασταί, ὅταν ἴδωσι λύραν ἢ ἱμάτιον ἤ τι ἄλλο, οἷς τὰ παιδικὰ αὐτῶν εἴωθε χρῆσθαι, πάσχουσι τοῦτο, ἔγνωσάν τε τὴν λύραν καὶ ἐν τῇ διανοίᾳ ἔλαβον τὸ εἶδος τοῦ παιδὸς οὗ ἦν ἡ λύρα; τοῦτο δ' ἐστὶν ἀνάμνησις· ὥσπερ γε καὶ Σιμμίαν τις ἰδὼν πολλάκις Κέβητος ἀνεμνήσθη, καὶ ἄλλα που μυρία τοιαῦτ' ἂν εἴη. Μυρία μέντοι νὴ Δί', ἔφη ὁ Σιμμίας. Οὐκοῦν, ἦ δ' ὅς, τὸ τοιοῦτον * ἀνάμνησίς τίς ἐστι; μάλιστα μέν- E τοι ὅταν τις τοῦτο πάθῃ περὶ ἐκεῖνα, ἃ ὑπὸ χρόνου καὶ τοῦ μὴ ἐπισκοπεῖν ἤδη ἐπιλέληστο. Πάνυ μὲν οὖν, ἔφη. Τί δέ; ἦ δ' ὅς· ἔστιν ἵππον γεγραμμένον ἰδόντα καὶ λύραν γεγραμμένην ἀνθρώπου ἀναμνησθῆναι, καὶ Σιμμίαν ἰδόντα γεγραμμένον Κέβητος ἀναμνησθῆναι; Πάνυ γε. Οὐκοῦν καὶ Σιμμίαν ἰδόντα γεγραμμένον αὐτοῦ Σιμμίου ἀναμνησθῆναι; Ἔστι * μέντοι, ἔφη. Ἆρ' οὖν οὐ κατὰ 74 πάντα ταῦτα ξυμβαίνει τὴν ἀνάμνησιν εἶναι μὲν ἀφ' ὁμοίων, εἶναι δὲ καὶ ἀπ' ἀνομοίων; Ξυμβαίνει. Ἀλλ' ὅταν γε ἀπὸ τῶν ὁμοίων ἀναμιμνήσκηταί τίς τι, ἆρ' οὐκ ἀναγκαῖον τόδε προςπάσχειν, ἐννοεῖν εἴτε τι ἐλλείπει τοῦτο κατὰ τὴν ὁμοιότητα εἴτε μὴ ἐκείνου οὗ ἀνεμνήσθη; Ἀνάγκη, ἔφη. Σκόπει δή, ἦ δ' ὅς, εἰ ταῦτα οὕτως ἔχει. φαμέν πού τι εἶναι ἴσον, οὐ ξύλον ξύλῳ λέγω οὐδὲ λίθον λίθῳ οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ παρὰ ταῦτα πάντα ἕτερόν τι, αὐτὸ τὸ ἴσον, φῶμέν τι εἶναι ἢ μηδέν; * Φῶμεν μέντοι νὴ Δί', ἔφη ὁ Σιμμίας, θαυμαστῶς γε. B Ἦ καὶ ἐπιστάμεθα αὐτὸ ὃ ἔστιν; Πάνυ γε, ἦ δ' ὅς. Πόθεν λαβόντες αὐτοῦ τὴν ἐπιστήμην; ἆρ' οὐκ ἐξ ὧν νῦν δὴ ἐλέγομεν, ἢ ξύλα ἢ λίθους ἢ ἄλλ' ἄττα ἰδόντες ἴσα, ἐκ τούτων ἐκεῖνο ἐνενοήσαμεν, ἕτερον ὂν τούτων; ἢ οὐχ ἕτερόν σοι φαίνεται; σκόπει δὲ καὶ τῇδε. ἆρ' οὐ λίθοι μὲν ἴσοι καὶ ξύλα ἐνίοτε ταὐτὰ ὄντα τοτὲ μὲν ἴσα φαίνεται, τοτὲ δ' οὔ; Πάνυ μὲν οὖν. Τί δέ; αὐτὰ

alia eſt notio hominis quam lyrae. Quidni ſit? Nonne igitur noſti, amatoribus, quum viderint lyram vel pallium vel aliud quid de iis, quibus deliciae ſuae ſolitae ſint uti, hoc uſu venire, ut cognoſcant lyranſ et mente capiant ſpeciem pueri cuius eſt lyra? hoc autem eſt recordatio; ſicut etiam Simmiam aliquis videns ſaepius Cebetis meminit, et quae alia ſunt innumerabilia generis eiusdem. Innumerabilia vero mehercule, ait Simmias. Nonne, inquit, hoc eſt recordari? maxime tamen, ſi cui hoc uſu venit in rebus, quarum propter temporis longinquitatem et quod de iis non cogitaverat, iam oblitus erat. Sane quidem, ait. Quid? inquit: eſtne ut equum pictum videntes et lyram pictam hominem recordemur et Simmiam videntes pictum Cebetem recordemur? Sane quidem. Nonne etiam ut Simmiam videntes pictum ipſum Simmiam recordemur? Eſt vero, inquit. Nonne igitur in omnibus his accidit ut recordatio exſiſtat ex rebus tum ſimilibus tum disſimilibus? Accidit vero. At quum per ſimilia quisquam aliquid recordatur, nonne neceſſe eſt hoc ſimul ei uſu venire, ut cogitet, numquid illud ad ſimilitudinem abſit, necne ab eo, de quo recordetur? Neceſſe eſt, ait ille. Conſidera igitur, inquit, an haec ita ſe habeant. dicimus videlicet aliquid eſſe aequale, non lignum ligno intelligo neque lapidem lapidi neque aliud quid id genus, ſed ab omnibus his diverſum aliquid, ipſum aequale: dicamusne hoc aliquid eſſe an nihil? Dicamus vero mehercule, ait Simmias, et mirum quidem in modum. Num etiam cognoſcimus quale ſit? Sane quidem, inquit. Unde cepimus eius notionem? nonne ex iis quae modo diximus, quum vel ligna vel lapides vel alia quaedam conſpicimus aequalia, per haec illud cogitamus, quod diverſum eſt ab his? an non diverſum tibi videtur? conſidera etiam ſic: nonne lapides et ligna aequalia interdum, etſi una eademque ſunt, modo aequalia videntur modo inaequalia? Sane quidem. Quid vero? ipſum

τὰ ἴσα ἔστιν ὅτε ἄνισά σοι ἐφάνη, ἢ ἡ * ἰσότης ἀνισότης; Οὐ- C
δεπώποτέ γε, ὦ Σώκρατες. Οὐ ταὐτὸν ἄρ' ἐστίν, ἦ δ' ὅς,
ταῦτά τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον. Οὐδαμῶς μοι φαίνεται, ὦ
Σώκρατες. Ἀλλὰ μὴν ἐκ τούτων γ', ἔφη, τῶν ἴσων, ἑτέρων
ὄντων ἐκείνου τοῦ ἴσου, ὅμως αὐτοῦ τὴν ἐπιστήμην ἐννενόη-
κάς τε καὶ εἴληφας. Ἀληθέστατα, ἔφη, λέγεις. Οὐκοῦν ἢ
ὁμοίου ὄντος τούτοις ἢ ἀνομοίου; Πάνυ γε. Διαφέρει δέ γ',
ἦ δ' ὅς, οὐδέν· ἕως γὰρ ἂν ἄλλο ἰδὼν ἀπὸ ταύτης τῆς ὄψεως
ἄλλο ἐννοήσῃς, εἴτε ὅ*μοιον εἴτε ἀνόμοιον, ἀναγκαῖον, ἔφη, D
αὐτὸ ἀνάμνησιν γεγονέναι. Πάνυ μὲν οὖν. Τί δὲ τόδ'; ἦ
δ' ὅς· ἢ πάσχομέν τι τοιοῦτον περὶ τὰ ἐν τοῖς ξύλοις τε καὶ
οἷς νῦν δὴ ἐλέγομεν τοῖς ἴσοις; ἆρα φαίνεται ἡμῖν οὕτως ἴσα
εἶναι ὥσπερ αὐτὸ ὃ ἔστιν ἴσον, ἢ ἐνδεῖ τι ἐκείνου τῷ μὴ
τοιοῦτον εἶναι *) οἷον τὸ ἴσον, ἢ οὐδέν; Καὶ πολύ γε, ἔφη,
ἐνδεῖ. Οὐκοῦν ὁμολογοῦμεν, ὅταν τίς τι ἰδὼν ἐννοήσῃ
ὅτι, βούλεται μὲν τοῦτο, ὃ νῦν ἐγὼ ὁρῶ, εἶναι οἷον ἄλλο
τι τῶν ὄντων, ἐνδεῖ δὲ καὶ οὐ δύναται τοιοῦτον * εἶναι οἷον E
ἐκεῖνο, ἀλλ' ἔστι φαυλότερον, ἀναγκαῖόν που τὸν τοῦτο ἐν-
νοοῦντα τυχεῖν προειδότα ἐκεῖνο, ᾧ φησὶν αὐτὸ προσεοικέ-
ναι μέν, ἐνδεεστέρως δὲ ἔχειν; Ἀνάγκη. Τί οὖν; τὸ τοι-
οῦτον πεπόνθαμεν καὶ ἡμεῖς, ἢ οὔ, περί τε τὰ ἴσα καὶ
αὐτὸ τὸ ἴσον; Παντάπασί γε. Ἀναγκαῖον ἄρα ἡμᾶς προει-
δέναι τὸ ἴσον πρὸ ἐκείνου τοῦ χρόνου, ὅτε * τὸ πρῶτον 75
ἰδόντες τὰ ἴσα ἐνενοήσαμεν, ὅτι ὀρέγεται μὲν πάντα ταῦτ'
εἶναι οἷον τὸ ἴσον, ἔχει δὲ ἐνδεεστέρως. Ἔστι ταῦτα. Ἀλ-
λὰ μὴν καὶ τόδε ὁμολογοῦμεν, μὴ ἄλλοθεν αὐτὸ ἐννενοηκέ-
ναι μηδὲ δυνατὸν εἶναι ἐννοῆσαι, ἀλλ' ἢ ἐκ τοῦ ἰδεῖν ἢ
ἅψασθαι ἢ ἔκ τινος ἄλλης τῶν αἰσθήσεων· ταὐτὸν δὲ πάν-
τα ταῦτα λέγω. Ταὐτὸν γάρ ἐστιν, ὦ Σώκρατες, πρός γε
ὃ βούλεται δηλῶσαι ὁ λόγος. Ἀλλὰ μὲν δὴ ἔκ γε τῶν αἰ-
σθήσεων δεῖ ἐννοῆσαι, ὅτι πάντα τὰ ἐν ταῖς αἰσθήσεσιν
ἐκείνου τε ὀρέγε*ται τοῦ ὃ ἔστιν ἴσον, καὶ αὐτοῦ ἐνδεέστε- B
ρά ἐστιν· ἢ πῶς λέγομεν; Οὕτως. Πρὸ τοῦ ἄρα ἄρξασθαι

---

*) ἴσ. ἢ ἐνδεῖ τι ἐκείνοις τοῦ τοιοῦτον εἶναι κτλ. ἢ καὶ ἢ ἐνδεῖ τι ἐκείνοις τὸ μὴ τοιοῦτον εἶναι.

aequale num tibi umquam inaequale viſum eſt vel aequalitas inaequalitas? Numquam vero, Socrate. Igitur non ſunt idem, inquit, haec aequalia et ipſum aequale. Nequaquam mihi videntur, Socrate. Iam vero per haec, inquit, aequalia, licet diverſa ſint ab ipſo aequali, tamen eius notionem cogitaſti ac cepiſti. Veriſſime, inquit, dicis. Nonne ut vel ſimilis illis vel disſimilis? Sane quidem. Nihil vero, inquit, differt; dummodo, ſi quid conſpicias, per hunc adſpectum aliud cogites, ſive ſimile ſit ſive disſimile, neceſſario, inquit, hoc eſt recordatio. Sane quidem. Quid vero de hoc ſtatuis? inquit; num uſu nobis venit tale quid in lignis iisque quae nunc memoravimus aequalibus, ut videantur nobis ita aequalia eſſe, ut ipſum per ſe aequale eſt, an deeſt illis aliquid, quo minus talia ſint quale aequale, an nihil deeſt? Et multum quidem, inquit, deeſt. Nonne concedimus, ſi quis videns aliquid ſecum reputet: vult quidem hoc, quod nunc conſpicio, tale eſſe, quale aliud quid eorum quae ſunt, deeſt vero nec poteſt tale eſſe quale illud, ſed deterius eſt, eum, qui haec ſecum reputet, neceſſe eſſe prius cognoviſſe illud, cui dicat ſimile quidem eſſe, ſed deſici? Neceſſe eſt. Quid igitur? num tale quid nobis etiam accidit necne in rebus aequalibus ipſoque aequali? Maxime. Neceſſe igitur eſt nos prius cognoſcere aequale ante tempus illud, quo primum conſpicientes res aequales cogitaverimus, appetere quidem omnia haec ita eſſe ut aequale ſit, deſici autem. Eſt ita. Iam vero etiam hoc concedimus, non aliunde nos illius notionem cepiſſe nec capere poſſe, niſi e viſu vel tactu vel alio quopiam ſenſu: pro eodem enim haec omnia habeo. Idem vero ſunt, Socrate, ad id quod vult declarare oratio. Atqui e ſenſibus oportet nos cognoſcere, omnia quae in ſenſus cadant illud appetere, quod vere eſt aequale, deſici autem; an quomodo cenſemus? Ita. Antequam igitur inciperemus

ἡμᾶς ὁρᾷν καὶ ἀκούειν καὶ τἄλλα αἰσθάνεσθαι τυχεῖν ἔδει που εἰληφότας ἐπιστήμην αὐτοῦ τοῦ ἴσου, ὅ τι ἔστιν, εἰ ἐμέλλομεν τὰ ἐκ τῶν αἰσθήσεων ἴσα ἐκεῖσε ἀνοίσειν, ὅτι προθυμεῖται μὲν πάντα τοιαῦτα εἶναι οἷον ἐκεῖνο, ἔστι δὲ αὐτοῦ φαυλότερα. Ἀνάγκη ἐκ τῶν προειρημένων, ὦ Σώκρατες. Οὐκοῦν γενόμενοι εὐθὺς ἑωρῶμέν τε καὶ ἠκούομεν καὶ τὰς ἄλλας αἰσθήσεις εἴχομεν; Πάνυ γε. * Ἔδει δέ C
γε, φαμέν, πρὸ τούτων τὴν τοῦ ἴσου ἐπιστήμην εἰληφέναι. Ναί. Πρὶν γενέσθαι ἄρα, ὡς ἔοικεν, ἀνάγκη ἡμῖν αὐτὴν εἰληφέναι. Ἔοικεν. Οὐκοῦν εἰ μὲν λαβόντες αὐτὴν πρὸ τοῦ γενέσθαι ἔχοντες ἐγενόμεθα, ἠπιστάμεθα καὶ πρὶν γενέσθαι καὶ εὐθὺς γενόμενοι οὐ μόνον τὸ ἴσον καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλὰ καὶ ξύμπαντα τὰ τοιαῦτα· οὐ γὰρ περὶ τοῦ ἴσου νῦν ὁ λόγος ἡμῖν μᾶλλόν τι ἢ καὶ περὶ αὐτοῦ τοῦ καλοῦ καὶ αὐτοῦ τοῦ ἀγαθοῦ καὶ δικαίου καὶ ὁσίου καί, ὅπερ λέγω, περὶ * ἁπάντων οἷς ἐπισφραγιζόμεθα τοῦτο D
ὃ ἔστι *), καὶ ἐν ταῖς ἐρωτήσεσιν ἐρωτῶντες καὶ ἐν ταῖς ἀποκρίσεσιν ἀποκρινόμενοι. ὥστε ἀναγκαῖον ἡμῖν εἶναι, τούτων ἁπάντων τὰς ἐπιστήμας πρὸ τοῦ γενέσθαι εἰληφέναι. Ἔστι ταῦτα. Καὶ εἰ μέν γε λαβόντες μὴ ἑκάστοτε ἐπιλελήσμεθα, εἰδότας ἀεὶ γίγνεσθαι **) καὶ ἀεὶ διὰ βίου εἰδέναι· τὸ γὰρ εἰδέναι τοῦτ᾽ ἐστί, λαβόντα του ἐπιστήμην ἔχειν καὶ μὴ ἀπολωλεκέναι· ἢ οὐ τοῦτο λήθην λέγομεν, ὦ Σιμμία, ἐπιστήμης ἀποβολήν; Πάντως δήπου, ἔ*φη, ὦ Σώκρα- E
τες. Εἰ δέ γε, οἶμαι, λαβόντες πρὶν γενέσθαι γιγνόμενοι ἀπωλέσαμεν, ὕστερον δὲ ταῖς αἰσθήσεσι χρώμενοι περὶ ταῦτα ἐκείνας ἀναλαμβάνομεν τὰς ἐπιστήμας, ἅς ποτε καὶ πρὶν εἴχομεν, ἆρ᾽ οὐχ, ὃ καλοῦμεν μανθάνειν, οἰκείαν ἂν ἐπιστήμην ἀναλαμβάνειν εἴη, τοῦτο δέ που ἀναμιμνήσκεσθαι λέγοντες ὀρθῶς ἂν λέγοιμεν; Πάνυ γε. Δυνατὸν γὰρ δὴ τοῦτό γ᾽ ἐφάνη, αἰσθόμε*νόν τι ἢ ἰδόντα ἢ ἀκούσαντα ἤ τι- 76
να ἄλλην αἴσθησιν λαβόντα ἕτερόν τι ἀπὸ τούτου ἐννοῆσαι, ὃ ἐπελέληστο, ᾧ τοῦτο ἐπλησίαζεν ἀνόμοιον ὂν ἢ

*) ἴσ. τοῦτο τὸ ὃ ἔστι ἢ τὸ ὃ ἔστι.

**) ἴσ. ἑκάστοτε γιγνόμενοι ἐπελελήσμεθα, εἰδότας ἂν γίγνεσθαι.

videre et audire aliisque fenfibus percipere, oportebat notionem ipfius, quid effet, aequalis nos capere, fi futurum erat ut aequalia fenfibus percepta ad illud referentes cogitaremus, eniti quidem omnia ut talia effent, quale illud effet, deteriora autem eo effe. Neceffe eft, ex iis quae ante diximus, Socrate. Nonne ftatim ut nati fumus, et vidimus et audivimus aliosque fenfus habuimus? Sane quidem. Oportebat autem, ut dicimus, ante hos aequalis notionem nos capere. Etiam. Prius ergo quam nafceremur, ut patet, eam ceperimus neceffe eft. Patet vero. Itaque, fi cepimus eam antequam nafceremur eamque tenentes nati fumus, cognovimus et antequam nafceremur et ftatim ut nati fumus non modo aequale et maius et minus, fed omnia etiam id genus; neque enim magis nunc de aequali nobis oratio habetur quam de ipfo pulchro, de ipfo bono et iufto et pio et, ut dico, de omnibus quae nomine eius, quod vere eft, infignimus in disferendo tum interrogantes tum refpondentes. quocirca neceffe eft, horum omnium notiones nos prius quam nafceremur cepiffe. Eft ita. Ac nifi, quum eas cepiffemus, nafcentes femper illarum oblivifceremur, fore ut fcientes nafceremur totamque per vitam fciremus; fcire enim hoc eft, cognitionem alicuius rei habere perceptam nec amittere; an non hoc oblivionem dicimus, Simmia, cognitionis iacturam? Maxime quidem, inquit, Socrate. Si vero, opinor, quas ante ceperamus quam nafceremur, notiones nafcentes amifimus et ferius fenfus adhibentes rebus hic exftantibus illas recuperamus cognitiones, quas aliquando etiam ante habuimus, nonne, quod vocamus difcere, id erit propriam recuperare cognitionem, et hoc recordari nominantes recte ita nominabimus? Sane quidem. Fieri enim hoc poffe perfpeximus, ut percipientes aliquid vel videndo vel audiendo vel alio quopiam fenfu diverfum quid ab illo cognofceremus, cuius obliti effemus et a quo prope abeffet illud, five fimile effet

ᾧ ὅμοιον *). ὥστε, ὅπερ λέγω, δυεῖν θάτερον, ἤτοι ἐπιστάμενοί τε αὐτὰ γεγόναμεν καὶ ἐπιστάμεθα διὰ βίου πάντες, ἢ ὕστερον οὕς φαμεν μανθάνειν, οὐδὲν ἄλλ' ἢ ἀναμιμνήσκονται οὗτοι, καὶ ἡ μάθησις ἀνάμνησις ἂν εἴη. Καὶ μάλα δὴ οὕτως ἔχει, ὦ Σώκρατες. Πότερον οὖν αἱρεῖ, ὦ Σιμμία; ἐπισταμένους ἡμᾶς γεγονέναι, ἢ ἀναμιμνήσκεσθαι * ὕστερον ὧν πρότερον ἐπιστήμην εἰληφότες ἦμεν; Οὐκ ἔχω, ὦ Σώκρατες, ἐν τῷ παρόντι ἑλέσθαι. Τί δέ; τόδε ἔχεις ἑλέσθαι, καὶ πῇ σοι δοκεῖ περὶ αὐτοῦ; ἀνὴρ ἐπιστάμενος περὶ ὧν ἐπίσταται ἔχοι **) ἂν δοῦναι λόγον ἢ οὔ; Πολλὴ ἀνάγκη, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ δοκοῦσί σοι πάντες ἔχειν διδόναι λόγον περὶ τούτων ὧν νῦν δὴ ἐλέγομεν; Βουλοίμην μέντ' ἄν, ἔφη ὁ Σιμμίας· ἀλλὰ πολὺ μᾶλλον φοβοῦμαι, μὴ αὔριον τηνικάδε οὐκέτι ᾖ ἀνθρώπων οὐδεὶς ἀξίως οἷός τε τοῦτο ποιῆσαι. Οὐκ * ἄρα δοκοῦσί σοι ἐπίστασθαί γε, ἔφη, ὦ Σιμμία, πάντες αὐτά; Οὐδαμῶς. Ἀναμιμνήσκονται ἄρα ἅ ποτε ἔμαθον; Ἀνάγκη. Πότε λαβοῦσαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν; οὐ γὰρ δὴ ἀφ' οὗ γε ἄνθρωποι γεγόναμεν. Οὐ δῆτα. Πρότερον ἄρα. Ναί. Ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἶναι ἐν ἀνθρώπου εἴδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον. Εἰ μὴ ἄρα ἅμα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας· οὗτος γὰρ λείπεται ἔτι ὁ χρόνος. * Εἶεν, ὦ ἑταῖρε, ἀπόλλυμεν δὲ αὐτὰς ἐν ποίῳ ἄλλῳ χρόνῳ; οὐ γὰρ δὴ ἔχοντές γε αὐτὰς γιγνόμεθα, ὡς ἄρτι ὡμολογήσαμεν· ἢ ἐν τούτῳ ἀπόλλυμεν ἐν ᾧπερ καὶ λαμβάνομεν; ἢ ἔχεις ἄλλον τινὰ εἰπεῖν χρόνον; Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλ' ἔλαθον ἐμαυτὸν οὐδὲν εἰπών. Ἆρ' οὖν οὕτως, ἔφη, ἔχει ἡμῖν, ὦ Σιμμία; εἰ μὲν ἔστιν ἃ θρυλλοῦμεν ἀεί, καλόν τε καὶ ἀγαθὸν καὶ πᾶσα ἡ τοιαύτη οὐσία, καὶ ἐπὶ ταύτην τὰ ἐκ τῶν αἰσθήσεων πάντα ἀναφέρομεν, ὑπάρχουσαν πρό* τερον ἀνευρίσκοντες ἡμετέραν οὖσαν, καὶ ταῦτα ἐκείνῃ ἀπεικάζομεν, ἀναγκαῖον, οὕτως ὥσπερ καὶ ταῦτα ***) ἔστιν, οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν εἶναι καὶ πρὶν γεγονέναι

B C D E

*) ἴσ. ὅμοιον ὂν ἢ ἀνόμοιον.

**) ἴσ. ἔχειν.

***) ἴσ. αὐτὰ ἢ αὐτά.

five dissimile. quare, ut dico, alterutrum fieri debet ut aut scientes illa nati simus et sciamus ea in vita omnes, aut, serius quos dicimus discere, ii tantum recordentur, et discere sit recordari. Sane quidem ita se habet, Socrate. Utrum iam eligis, Simmia? scientes nos nasci, an recordari serius, quorum ante cognitionem ceperimus? Non possum, Socrate, in praesentia eligere. Quid vero? hocne potes eligere, et quid tibi videtur de illo? vir videlicet sciens num tibi videtur eorum quae sciat rationem posse reddere, necne? Plane necessarium est, inquit, Socrate. Num etiam videntur tibi omnes posse rationem reddere eorum quae modo diximus? Velim sane, ait Simmias; at vereor potius ne cras mane iam nemo hominum ita ut par est hoc facere queat. Non igitur videntur tibi scire quidem, inquit, Simmia, omnes illa? Minime vero. Recordantur igitur quae olim didicerant? Necesse est. Quando vero ceperunt animi nostri cognitionem istorum? neque enim potuimus capere, ex quo tempore homines nati sumus. Non potuimus. Prius ergo. Ita. Fuerunt igitur, Simmia, animi etiam prius quam essent in hominis specie, separatim a corporibus, et intelligentiam habuerunt. Nisi nascentes simul accipimus, Socrate, has notitias: hoc enim relinquitur adhuc tempus. At, o amice, amittimus eas quonam alio tempore? non enim tenentes eas nascimur, ut modo confessi sumus; an eodem amittimus eas quo etiam accipimus? an habes aliud quodpiam dicere tempus? Minime vero, Socrate, sed imprudens dixi quod nihili est. Num igitur ita, inquit, se nobis habet, Simmia? si vere sunt, quae in ore semper habemus, pulchrum et bonum et quicquid vere exstat, et ad hoc omnia sensibus percepta referimus, prius id exstare reperientes, ut nostri proprium sit, et res hic exstantes cum illo comparamus, num necesse est, sicut hoc sit, sic etiam animum nostrum esse etiam prius quam

ἡμᾶς· εἰ δὲ μὴ ἔστι ταῦτα *), ἄλλως ἂν ὁ λόγος οὗτος εἰ-
ρημένος εἴη; ἆρ' οὕτως ἔχει, καὶ ἴση ἀνάγκη ταῦτά **) τε
εἶναι καὶ τὰς ἡμετέρας ψυχὰς πρὶν καὶ ἡμᾶς γεγονέναι,
καὶ εἰ μὴ ταῦτα ***), οὐδὲ τάδε; Ὑπερφυῶς, ἔφη, ὦ Σώ-
κρατες, ὁ Σιμμίας, δοκεῖ μοι ἡ αὐτὴ ἀνάγκη εἶναι, καὶ εἰς
καλόν γε καταφεύγει ὁ λόγος, εἰς τὸ ὁμοίως εἶναι τήν τε
* ψυχὴν ἡμῶν πρὶν γενέσθαι ἡμᾶς, καὶ τὴν οὐσίαν ἣν σὺ 77
νῦν λέγεις· οὐ γὰρ ἔχω ἔγωγε οὐδὲν οὕτω μοι ἐναργὲς ὂν
ὡς τοῦτο, τὸ πάντα τὰ τοιαῦτα εἶναι ὡς οἷόν τε μάλιστα,
καλόν τε καὶ ἀγαθὸν καὶ τἄλλα πάντα ἃ σὺ νῦν δὴ ἔλεγες·
καὶ ἔμοιγε ἱκανῶς ἀποδέδεικται.

Τί δὲ δὴ Κέβητι; ἔφη ὁ Σωκράτης· δεῖ γὰρ καὶ Κέ-
βητα πείθειν. Ἱκανῶς, ἔφη ὁ Σιμμίας, ὡς ἔγωγε οἶμαι·
καίτοι καρτερώτατος ἀνθρώπων ἐστὶ πρὸς τὸ ἀπιστεῖν τοῖς
λόγοις· ἀλλ' οἶμαι οὐκ ἐνδεῶς τοῦτο πεπεῖσθαι αὐτόν, ὅτι
πρὶν γε*νέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή. εἰ μέντοι καὶ ἐπει- B
δὰν ἀποθάνωμεν ἔτι ἔσται, οὐδ' αὐτῷ μοι δοκεῖ, ἔφη, ὦ
Σώκρατες, ἀποδεδεῖχθαι, ἀλλ' ἔτι ἐνέστηκεν, ὃ νῦν δὴ Κέ-
βης ἔλεγε, τὸ τῶν πολλῶν, ὅπως μὴ ἅμα ἀποθνήσκοντος
τοῦ ἀνθρώπου διασκεδάννυται ****) ἡ ψυχὴ καὶ αὐτῇ τοῦ
εἶναι τοῦτο τέλος ᾖ. τί γὰρ κωλύει γίγνεσθαι μὲν αὐτὴν
καὶ ξυνίστασθαι ἄλλοθέν ποθεν καὶ εἶναι πρὶν καὶ εἰς ἀν-
θρώπειον σῶμα ἀφικέσθαι, ἐπειδὰν δὲ ἀφίκηται καὶ ἀπαλ-
λάττηται τούτου, τότε καὶ αὐτὴν τελευτᾶν καὶ διαφθείρε-
σθαι; Εὖ λέγεις, * ἔφη, ὦ Σιμμία, ὁ Κέβης· φαίνεται C
γὰρ ὥσπερ ἥμισυ ἀποδεδεῖχθαι οὗ δεῖ, ὅτι πρὶν γενέσθαι
ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή· δεῖ δὲ προςαποδεῖξαι, ὅτι καὶ
ἐπειδὰν ἀποθάνωμεν οὐδὲν ἧττον ἔσται, ἢ πρὶν γενέ-
σθαι, εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἕξειν. Ἀποδέδεικται
μέν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ὁ Σωκράτης, καὶ
νῦν, εἰ θέλετε ξυνθεῖναι τοῦτόν τε τὸν λόγον εἰς ταὐτὸν

---

*) ἴσ. αὐτά ἢ αὐτό.
**) ἴσ. αὐτά ἢ αὐτό.
***) ἴσ. αὐτά ἢ αὐτό.
****) ἴσ. διασκεδαννύηται ἢ διασκεδαννῦται.

nati ſimus, ſin hoc non ſit, fruſtra hunc a nobis inſtitutum eſſe ſermonem? itane habet pariterque neceſſe eſt hoc eſſe et animos noſtros eſſe prius quam nati ſimus, et ſi illud non ſit, etiam hoc non eſſe? Mirum in modum, inquit, Socrate, Simmias, videtur mihi eadem neceſſitas eſſe, et pulchre confugit disputatio ad hoc ut ſtatuat, ſimiliter eſſe animum noſtrum prius quam nati ſimus, atque illud quod nunc dicis vere exſtans; nihil enim habeo quod mihi quidem tam perſpicuum ſit quam hoc, omnia id genus eſſe vel maxime, pulchrum et bonum et reliqua omnia, quae tu modo memorabas; et mihi quidem ſatis demonſtratum eſt.

Quid vero Cebes? inquit Socrates; oportet enim etiam Cebeti perſuadere. Satis ipſi perſuaſum eſt, ait Simmias, ut equidem arbitror; quamquam pertinaciſſimus eſt hominum in fide orationibus deroganda; ſed arbitror non parum hoc ipſi perſuaſum eſſe, ante quam naſceremur, fuiſſe animum noſtrum. an vero etiam quum mortui fuerimus adhuc futurus ſit, hoc ne mihi quidem ipſi videtur, inquit, Socrate, demonſtratum eſſe, ſed adhuc obſtat, quam Cebes ſupra protulit, volgi opinio metuentis, ne homine moriente ſimul disſipetur animus et hic illi vivendi ſit finis. quid enim impedit quominus naſcatur ipſe et concreſcat aliunde et exſtet antequam in hominum corpus intret, quum vero intraverit et diſceſſerit ab eo, tum ipſe quoque occidat et exſtinguatur? Bene dicis, inquit, Simmia, Cebes; videtur enim quaſi dimidium demonſtratum eſſe eius quod oportet: antequam naſceremur, fuiſſe animum noſtrum; oportet autem praeterea demonſtrari, etiam quum mortui fuerimus, eum non minus futurum eſſe quam antequam naſceremur, ſi ad exitum adducere volumus demonſtrationem. Demonſtratum vero, Simmia et Cebes, Socrates ait, etiam nunc eſt, ſi voltis connectere hanc rationem cum

καὶ ὃν πρὸ τούτου ὡμολογήσαμεν, τὸ γίγνεσθαι πᾶν τὸ ζῶν ἐκ
τοῦ τεθνεῶτος. εἰ γάρ ἔστι μὲν ἡ ψυχὴ καὶ πρότερον, ἀνάγκη
δ' αὐ*τῇ εἰς τὸ ζῆν ἰούσῃ τε καὶ γιγνομένῃ μηδαμόθεν ἄλλο- D
θεν ἢ ἐκ θανάτου καὶ τοῦ τεθνάναι γίγνεσθαι, πῶς οὐκ ἀνάγ-
κη αὐτῇ καὶ ἐπειδὰν ἀποθάνῃ εἶναι, ἐπειδή γε δεῖ αὖθις αὐ-
τὴν γίγνεσθαι; ἀποδέδεικται μὲν οὖν, ὅπερ λέγεται *), καὶ
νῦν· ὅμως δέ μοι δοκεῖς σύ τε καὶ Σιμμίας ἡδέως ἂν καὶ τοῦ-
τον διαπραγματεύσασθαι τὸν λόγον ἔτι μᾶλλον, καὶ δεδιέναι
τὸ τῶν παίδων, μὴ ὡς ἀληθῶς ὁ ἄνεμος αὐτὴν ἐκβαίνουσαν ἐκ
τοῦ σώματος διαφυσᾷ καὶ διασκεδάννυσιν **), ἄλλως τε * καὶ E
ὅταν τύχῃ τις μὴ ἐν νηνεμίᾳ, ἀλλ' ἐν μεγάλῳ τινὶ πνεύματι
ἀποθνήσκων. Καὶ ὁ Κέβης ἐπιγελάσας Ὡς δεδιότων, ἔφη,
ὦ Σώκρατες, πειρῶ ἀναπείθειν· μᾶλλον δὲ μὴ ὡς ἡμῶν δεδιό-
των, ἀλλ' ἴσως ἔνι τις καὶ ἐν ἡμῖν παῖς ὅςτις τὰ τοιαῦτα φο-
βεῖται· τοῦτον οὖν πειρώμεθα πείθειν, μὴ δεδιέναι τὸν θά-
νατον ὥςπερ τὰ μορμολύκεια. Ἀλλὰ χρή, ἔφη ὁ Σωκράτης,
ἐπᾴδειν αὐτῷ ἑκάστης ἡμέρας, ἕως ἂν ἐξεπᾴσητε. Πόθεν
οὖν, ἔφη, ὦ Σώκρατες, * τῶν τοιούτων ἀγαθὸν ἐπῳδὸν λη- 78
ψόμεθα, ἐπειδὴ σύ, ἔφη, ἡμᾶς ἀπολείπεις; Πολλὴ μὲν ἡ Ἑλ-
λάς, ἔφη, ὦ Κέβης, ἐν ᾗ ἔνεισί που ἀγαθοὶ ἄνδρες, πολλὰ δὲ
καὶ τὰ τῶν βαρβάρων γένη, οὓς πάντας χρὴ διερευνᾶσθαι ζη-
τοῦντας τοιοῦτον ἐπῳδόν, μήτε χρημάτων φειδομένους μήτε
πόνων, ὡς οὐκ ἔστιν εἰς ὅ τι ἂν εὐκαιρότερον ἀναλίσκοιτε χρή-
ματα. ζητεῖν δὲ χρὴ καὶ αὐτοὺς μετ' ἀλλήλων· ἴσως γὰρ ἂν
οὐδὲ ῥᾳδίως εὕροιτε μᾶλλον ὑμῶν δυναμένους τοῦτο ποιεῖν.

Ἀλλὰ ταῦτα μὲν δή, ἔφη, ὑπάρξει, ὁ Κέβης· ὅθεν δὲ
ἀπελίπομεν, ἐπα*νέλθωμεν, εἴ σοι ἡδομένῳ ἐστίν. Ἀλλὰ B
μὴν ἡδομένῳ γε· πῶς γὰρ οὐ μέλλει; Καλῶς, ἔφη, λέγεις.
Οὐκοῦν τοιόνδε τι, ἦ δ' ὃς ὁ Σωκράτης, δεῖ ἡμᾶς ἀνερέ-
σθαι ἑαυτούς ***), τῷ ποίῳ τινὶ ἄρα προςήκει τοῦτο τὸ πά-
θος πάσχειν, τὸ διασκεδαννυσθαι, καὶ ὑπὲρ τοῦ ποίου τινὸς
δεδιέναι μὴ πάθῃ αὐτό, καὶ τῷ ποίῳ τινὶ οὔ ****), καὶ μετὰ

*) ἴσ. ὅπερ λέγω.
**) ἴσ. διασκεδαννῦσιν.
***) ἴσ. αὑτούς.
****) γρ. καὶ τῷ ποίῳ τινί.

illa, quae ante hanc inter nos convenerat, omne quod viveret nasci e mortuo. nam si est animus etiam prius, necessario autem, quum in vitam transit et nascitur, non aliunde nisi e morte statuque mortui nascitur, nonne necesse est eum etiam quum mortuus fuerit exstare, siquidem eum oportet rursus nasci? demonstratum igitur, ut dico, etiam nunc est; attamen mihi videris tu cum Simmia libenter etiam hanc pertractaturus esse quaestionem aliquanto diligentius, atque timere, ne, id quod pueri dixerint, revera ventus eum e corpore excedentem flatu dispergat ac dissipet, praesertim si quis non in tranquillitate, sed vento saeviente moriatur. Tum Cebes arridens: Tamquam timeamus, inquit, Socrate, conare aliud nobis persuadere, vel potius non tamquam nos timeamus, sed inest fortasse etiam in nobis puer qui talia metuat; huic igitur conemur persuadere, ne extimescat mortem tamquam formidines. Oportet igitur vos, ait Socrates, incantare illum quotidie, dum eum exoantetis. Unde vero, inquit, Socrate, talium carminum peritum sumemus, ubi tu, inquit, nos reliqueris? Multa est Graecia, inquit, Cebes, in qua quidem reperiuntur boni viri, multae etiam sunt barbarorum gentes, quas omnes perscrutari vos oportet quaerentes huiusmodi carminum peritum, nec impensae nec labori parcentes; nihil est enim in quod opportunius faciatis impensam. quaerere autem oportet etiam inter vos ipsos; forsitan enim ne reperiatis quidem facile, qui magis quam vos idonei sint ad hoc faciendum.

Hoc sane, inquit, fiet, Cebes; sed unde digressi sumus, eo revertamur, si tibi commodum est. Commodum vero est; quidni sit? Praeclare, ait, dicis. Nonne igitur hoc fere, ait Socrates, oportet e nobis ipsis sciscitari, in quodnam rerum genus cadat haec dissipationis affectio et de quo timere debeamus ne ita afficiatur, et in quodnam non cadat; et deinde etiam

τοῦτο αὖ ἐπισκέψασθαι πότερον ψυχή ἐστι, καὶ ἐκ τούτων θαῤῥεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς; Ἀληθῆ, ἔφη, λέγεις. Ἆρ' οὖν τῷ μὲν ξυντεθέντι τε καὶ ξυνθέτῳ ὄντι φύσει προσήκει τοῦ- C το πάσχειν, διαιρεθῆναι ταύτῃ ᾗπερ ξυνετέθη, εἰ δέ τι τυγχάνει ὂν ἀξύνθετον, τούτῳ μόνῳ προσήκει μὴ πάσχειν ταῦτα, εἴπερ τῳ ἄλλῳ; Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὁ Κέβης. Οὐκοῦν ἅπερ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀξύνθετα, τὰ δὲ ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτά, ταῦτα δὲ εἶναι τὰ ξύνθετα; Ἔμοιγε δοκεῖ οὕτως. Ἴωμεν δή, ἔφη, ἐπὶ ταὐτὰ ἐφ' ἅπερ ἐν τῷ ἔμπροσθεν λόγῳ. αὐτὴ ἡ οὐσία, ἧς λόγον δίδομεν τοῦ εἶναι καὶ ἐρωτῶντες καὶ ἀπο- D κρινόμενοι, πότερον ὡσαύτως ἀεὶ ἔχει καὶ κατὰ ταὐτά, ἢ ἄλλοτ' ἄλλως; αὐτὸ τὸ ἴσον, αὐτὸ τὸ καλόν, αὐτὸ ἕκαστον ὃ ἔστι [τὸ ὂν] μή ποτε μεταβολὴν καὶ ἡντινοῦν ἐνδέχεται, ἢ ἀεὶ αὐτῶν ἕκαστον ὃ ἔστι, μονοειδὲς ὂν αὐτὸ καθ' αὑτό, ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχει καὶ οὐδέποτε οὐδαμῇ οὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἐνδέχεται; Ὡσαύτως, ἔφη, ἀνάγκη, ὁ Κέβης, καὶ κατὰ ταὐτὰ ἔχειν, ὦ Σώκρατες. Τί δὲ τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων ἢ ἵππων ἢ ἱματίων ἢ E ἄλλων ὡντινωνοῦν τοιούτων, ἢ ἴσων ἢ καλῶν ἢ πάντων τῶν ἐκείνοις ὁμωνύμων; ἆρα κατὰ ταὐτὰ ἔχει, ἢ πᾶν τοὐναντίον ἐκείνοις οὔτε αὐτὰ αὑτοῖς οὔτε ἀλλήλοις οὐδέποτε ὡς ἔπος εἰπεῖν οὐδαμῶς κατὰ ταὐτά ἐστιν; Οὕτως αὖ, ἔφη, ταῦτα, ὁ Κέβης, οὐδέποτε ὡσαύτως ἔχει. Οὐκοῦν * τούτων μὲν κἂν ἅψαιο κἂν ἴδοις κἂν 79 ταῖς ἄλλαις αἰσθήσεσιν αἴσθοιο, τῶν δὲ κατὰ ταὐτὰ ἐχόντων οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῆς διανοίας λογισμῷ, ἀλλ' ἔστιν ἀειδῆ τὰ τοιαῦτα καὶ οὐχ ὁρᾶται; Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν ὁρατόν,

anquirere, utrius ſit animus generis, atque ex his vel confidere vel timere animo noſtro? Vera, inquit, dicis. Num igitur in id quod compoſitum et concretum eſt naturâ cadit haec affectio, ut disſolvatur ita ut compoſitum erat, ſi quid autem compoſitionis eſt expers, in hoc ſolum non cadit ut ita afficiatur, ſi in quicquam? Videtur mihi, ait Cebes, ita ſe habere. Nonne quae ſemper eodem modo et uno eodemque ſtatu ſunt, haec maxime conſentaneum eſt compoſitionis expertia eſſe, quae vero alias aliter nec umquam eodem ſe modo habent, haec eſſe compoſita? Mihi quidem videtur ita. Proficiſcamur iam, inquit, ad eadem ad quae in ſuperiore disputatione profecti ſumus. illud per ſe exſtans, quod ita definimus, ut vere ſit, et interrogantes et reſpondentes, utrum uno ſemper et eodem ſtatu eſt, an alias alio? ipſum iuſtum, ipſum pulchrum, ipſum unumquodque vere exſtans, num umquam mutationem qualemcumque in ſe admittit, an ſemper unumquodque eorum, quae vere ſunt eaque ſimplicia ipſa per ſe, uno eodemque modo ſe habet nec ullo umquam modo ullam admittit immutationem? Uno eodemque modo, inquit, neceſſe eſt, Cebes, ſe habere, Socrate. Quid vero multa illa pulchra, velut homines, equi, veſtes alia quaevis generis eiusdem, ſive aequalia ſive pulchra ſive alia quaepiam eiusdem cum his nominis ſunt? num eodem ſe modo habent, an contra atque illa neque ſibimet ipſis neque inter ſe ullo propemodum modo conſtant? Ita vero, Cebes ait, haec ſe habent: numquam uno et eodem ſunt ſtatu. Nonne haec etiam tangere et cernere aliisque ſenſibus percipere poſſis, illa vero eodem ſe modo habentia nihil eſt quo comprehendas praeter mentis cogitationem, ſed oculis percipi cernique talia nequeunt? Prorſus, inquit, vera dicis. Vis igitur ponamus, inquit, duo rerum genera, adſpectabile unum,

τὸ δὲ ἀειδές; Θῶμεν, ἔφη. Καὶ τὸ μὲν ἀειδὲς ἀεὶ κατὰ
ταὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταὐτά; Καὶ
τοῦτο, ἔφη, θῶμεν. Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν
αὐτῶν ἢ τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; Οὐδὲν ἄλλο,
ἔφη. Πο*τέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι B
καὶ ξυγγενέστερον τὸ σῶμα; Παντί, ἔφη, τοῦτό γε δῆ-
λον ὅτι τῷ ὁρατῷ. Τί δὲ ἡ ψυχή; ὁρατὸν ἢ ἀειδές;
Οὐχ ὑπ' ἀνθρώπων γε, ὦ Σώκρατες, ἔφη. Ἀλλὰ μὴν
ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει
ἐλέγομεν· ἢ ἄλλῃ τινὶ οἴει; Τῇ τῶν ἀνθρώπων. Τί
οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν εἶναι ἢ οὐχ ὁρατόν;
Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα; Ναί. Ὁμοιότερον ἄρα ψυχὴ
σώματός ἐστι * τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ; Πᾶσα ἀνάγ- C
κη, ὦ Σώκρατες. Οὐκοῦν καὶ τόδε πάλαι λέγομεν, ὅτι
ἡ ψυχή, ὅταν μὲν τῷ σώματι προςχρῆται εἰς τὸ σκο-
πεῖν τι ἢ διὰ τοῦ ὁρᾶν ἢ διὰ τοῦ ἀκούειν ἢ δι' ἄλλης
τινὸς αἰσθήσεως (τοῦτο γάρ ἐστι τὸ διὰ τοῦ σώματος,
τὸ δι' αἰσθήσεως σκοπεῖν τι), τότε μὲν ἕλκεται ὑπὸ τοῦ
σώματος εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐ-
τὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ ὥςπερ μεθύου-
σα, ἅτε τοιούτων ἐφαπτομένη; Πάνυ γε. Ὅταν δέ γε
αὐτὴ καθ' * αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν D
τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡςαύτως ἔχον, καὶ ὡς
ξυγγενὴς οὖσα αὐτοῦ ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅταν-
περ αὐτὴ καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ, καὶ πέ-
παυταί τε τοῦ πλάνου καὶ περὶ ἐκεῖνα *) ἀεὶ κατὰ ταὐτὰ
ὡςαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη, καὶ τοῦτο αὐ-
τῆς τὸ πάθημα φρόνησις κέκληται. Παντάπασιν, ἔφη,
καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. Ποτέρῳ οὖν
αὖ σοι δοκεῖ τῷ εἴδει καὶ ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν
νῦν * λεγομένων ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστε- E
ρον; Πᾶς ἂν ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, ξυγχωρῆσαι, ὦ Σώ-

---

*) ἴσ. καὶ ὥςπερ ἐκεῖνα, ἀεὶ κτλ.

alterum in conſpectum non cadens? Ponamus vero, inquit. Et id quidem quod in conſpectum non cadat, ſemper eodem ſe modo habere, adſpectabile vero numquam eodem modo? Etiam hoc, ait, ponamus. Agedum, inquit, nonne una noſtri pars corpus, altera animus eſt? Non aliter, inquit, ſe habet. Utri autem generi ſimilius dicemus eſſe magisque cognatum corpus? Cuivis, inquit, id quidem perſpicuum eſt, adſpectabili eſſe ſimilius. Quid vero animus? adſpectabilis eſt an cerni nequit? Ab hominibus certe nequit, ait ille, Socrate. Atqui nos, quae cerni poſſent vel aciem fugerent, poſuimus ad hominum naturam reſpicientes; an ad aliam quampiam opinaris? Ad hominum vero naturam. Quid igitur de animo cenſemus? adſpectabilem eum eſſe an cerni non poſſe? Cerni non poſſe. In conſpectum ergo non cadere? Non. Similior igitur animus corpore eſt eius quod in conſpectum non cadit, illud vero adſpectabili? Prorſus neceſſe eſt, Socrate. Nonne etiam hoc ſupra diximus, animum, ſi corpus adhiberet ad rem aliquam conſiderandam ſive viſu ſive auditu ſive alio quopiam ſenſu (hoc enim eſt corpore aliquid conſiderare, ſenſu id conſiderare), ita trahi a corpore ad illa numquam eodem modo ſe habentia, ipſumque vagari et perturbari et titubare tamquam temulentum, quippe qui huiusmodi res attingeret? Sane quidem. Sin ipſe per ſe conſideraret, illuc ferri ad purum et ſempiternum et immortale eodemque modo ſe habens, et, quippe cognatum ipſi, ſemper cum eo eſſe, quandocumque ipſe per ſe eſſet et ita eſſe ei liceret, atque liberatum tum eſſe ab erratione ſemperque, quemadmodum illa, uno et eodem ſtatu eſſe, quippe qui talia attingeret, et hanc eius affectionem ſapientiam appellari? Prorſus, inquit, pulchre et vere dicis, Socrate. Iam utrius tibi videtur generis et e praegreſſa et ex hac disputatione animus ſimilior eſſe magisque cognatus? Quilibet mihi quidem videtur, ait, cónceſſurus eſſe, So-

κρατες, ἐκ ταύτης τῆς μεθόδου, καὶ ὁ δυςμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡςαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή. Τί δὲ τὸ σῶμα; Τῷ ἑτέρῳ. Ὅρα δὲ καὶ τῇδε *), ὅτι, ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ * μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προςτάττει, τῇ 80
δὲ ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι καὶ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; Ἔμοιγε. Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικεν; Δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει, τῷ μὲν θείῳ καὶ ἀθα*νάτῳ καὶ B
νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡςαύτως καὶ κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι ψυχήν, τῷ δ' ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον αὖ εἶναι σῶμα. ἔχομέν τι παρὰ ταῦτα ἄλλο λέγειν, ὦ φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; Οὐκ ἔχομεν. Τί οὖν; τούτων οὕτως ἐχόντων ἆρ' οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προςήκει, ψυχῇ δὲ αὖ τὸ παράπαν ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι τούτου; Πῶς * γὰρ οὔ; Ἐννοεῖς οὖν, ἔφη, ὅτι, ἐπειδὰν C
ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ, τὸ σῶμα, καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ προςήκει διαλύεσθαι καὶ διαπίπτειν καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον, ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ **) ὥρᾳ, καὶ πάνυ μάλα (ξυμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθέν, ὥςπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον)· ἔνια δὲ * μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε D
καὶ νεῦρα καὶ τὰ τοιαῦτα πάντα, ὅμως ὡς ἔπος εἰπεῖν

*) ἴσ. τόδε.
**) ἴσ. αὐτῇ τῇ.

crate, ex hac expositione, etiamsi prorsus indocilis sit, plane atque omnino similiorem esse animum eodem semper modo se habentis, magis quam non ita se habentis. Quid vero corpus? Alteri. Specta etiam hoc, quum una sint animus et corpus, huic ut serviat regique se patiatur, naturam iniungere, illi vero, ut regat et dominetur; et secundum haec quoque utrum tibi videtur simile divini esse et utrum mortali? an non videtur tibi divinum ita natura esse comparatum ut regat et imperet, mortale autem ita ut regatur ac serviat? Mihi vero. Utrius igitur animus est similis? Dubium non est, Socrate, quin animus quidem divini, corpus autem mortali. Considera dum, Cebes, an ex omnibus adhuc disputatis hoc nobis consequatur: divini, immortalis, mente complectendi, simplicis, dissolutionis expertis semperque uno et eodem modo se habentis simillimum esse animum, humano autem, mortali, mente non comprehendendo, multiformi, dissolubili nec umquam uno et eodem modo se habenti simillimum contra esse corpus. num quid aliud praeter hoc dicere possumus, o care Cebes, negantes ita se hoc habere? Non possumus. Quid igitur? haec quum ita se habeant, nonne in corpus quidem cadit, ut non ita multo post dissolvatur, in animum vero ut omnino dissolutionis sit expers vel aliquid huic propinqui? Quidni cadat? Iam animadvertis, inquit, quum mortuus sit homo, adspectabilem eius partem, corpus, eamque in conspectu iacentem, quod cadaver vocamus, in quod cadat ut dissolvatur et dilabatur flatuque dispergatur, non statim horum aliquid pati, sed satis diu permanere, et quidem, si quis venusto etiam corpore mortuus sit et in ipso aetatis flore, ita maxime id usu venire (nam collapsum corpus et conditum, quemadmodum illi in Aegypto conditi, ad totum paene permanet immensum tempus); nonnullas autem corporis partes, ossa et nervos omniaque id genus, etiamsi illud putrefactum sit, tamen propemodum

ἀθάνατά ἐστιν· ἢ οὔ; Ναί. Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον, αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δεῖ, * ὦ φίλε Κέβης τε καὶ Σιμμία, ἀλλὰ πολλῷ μᾶλλον ὧδε E
ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος ξυνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ καὶ ξυνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι μελε*τῶσα 81
ῥᾳδίως· ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη θανάτου; Παντάπασί γε. Οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οἷ ἀπικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ, ὥσπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; Οὕτω νὴ Δί', ἔφη ὁ Κέβης. Ἐὰν δέ γε, * οἶμαι, μεμιασμένη B
καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα καὶ τοῦτο θεραπεύουσα καὶ ἐρῶσα καὶ γεγοητευμένη ὑπ' αὐτοῦ ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ' ἢ τὸ σωματοειδές, οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι καὶ φάγοι καὶ πίοι καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο, τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀειδές, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν, οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν * αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλ- C
λάξεσθαι; Οὐδ' ὁπωστιοῦν, ἔφη. Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ ξυνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε ξύμφυτον. Πάνυ γε. Ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι καὶ βαρὺ

immortales esse; nonne? Ita. Animus vero qui aciem oculorum fugit, qui in locum similem fertur, eximium illum et purum et luce orbum, qui vere Orcus est, ad bonum et sapientem deum, quo, si deus voluerit, mox meo etiam animo proficiscendum est: hic igitur talis et ita comparatus ut egressus e corpore illico flatu dispergatur et intereat, quemadmodum dicit volgus? multum sane abest, o care Cebes et Simmia, sed potius ita habet: si purus excedit, nihil corporei secum ducens, quippe qui ultro nihil in vita cum corpore commune habuerit, sed fugerit istud et se ipsum collegerit, hoc videlicet semper meditans: hoc autem nihil aliud est nisi recte philosophans et revera facile mori meditans; anne haec sit meditatio mortis? Omnino vero. Nonne igitur ita comparatus ad simile ipsius, quod aciem fugit, abit, ad divinum et immortale et sapiens, quo si pervenit, contingit ipsi beato esse atque erratione, dementia, timoribus, insanis amoribus ceterisque malis humanis liberato: ut, quod dicitur de initiatis, revera reliquam vitam cum diis degat? itane dicamus, Cebes, an aliter? Ita mehercule, ait Cebes. Sin autem, opinor, contaminatus et impurus e corpore excedit, quippe qui corpore semper usus sit, hoc coluerit et amaverit ab eiusque cupiditatibus ac voluptatibus ita deceptus fuerit, ut nihil aliud ei videretur verum esse nisi corporeum, quod et tangi et cerni et edi et bibi et rebus venereis adhiberi potest, id vero quod oculis obscurum est nec in conspectum cadit, mente autem et philosophia comprehenditur, assueverit odisse, extimescere ac fugere: animum igitur, si ita comparatus est, num censes sincerum per se esse abiturum? Nullo vero modo, inquit. Sed constrictum arbitror corporeo, quod consuetudo et contagio corporis, quippe quo semper usus sit et cui magno opere studuerit, ipsi ingeneravit. Sane quidem. Pronum autem, o amice, hoc esse existimare oportet et

καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ
βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φό-
βῳ τοῦ ἀειδοῦς τε καὶ Ἅιδου, ὥσπερ λέγεται, περὶ τὰ μνή-
*ματά τε καὶ τοὺς τάφους καλινδουμένη, περὶ ἃ δὴ καὶ D
ὤφθη ἄττα ψυχῶν σκοτοειδῆ φάσματα *), οἷα παρέχονται
αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι,
ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι, διὸ καὶ ὁρῶνται. Εἰκός γε,
ὦ Σώκρατες. Εἰκὸς μέντοι, ὦ Κέβης, καὶ οὔτι γε τὰς τῶν
ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ
τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι δίκην τίνουσαι τῆς προ-
τέρας τροφῆς, κακῆς οὔσης, καὶ μέχρι γε τούτου πλανῶν-
ται, ἕως ἂν τῇ τοῦ ξυνεπα*κολουθοῦντος τοῦ σωματοειδοῦς E
ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα. ἐνδοῦνται δέ, ὥσπερ
εἰκός, εἰς τοιαῦτα ἤθη, ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύ-
χωσιν ἐν τῷ βίῳ. Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες;
Οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας
μεμελετηκότας καὶ μὴ διευλαβημένους εἰς τὰ τῶν ὄνων γέ-
νη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι· ἢ οὐκ * οἴει; 82
Πάνυ μὲν οὖν εἰκὸς λέγεις. Τοὺς δέ γε ἀδικίας τε καὶ τυ-
ραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε
καὶ ἱεράκων καὶ ἰκτίνων γένη· ἢ ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς
τοιαύτας ἰέναι; Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα.
Οὐκοῦν, ἦ δ' ὅς, δῆλα δὴ καὶ τἆλλα, οἷ ἂν ἑκάστη ἴοι
κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης; Δῆλον δή, ἔφη·
πῶς δ' οὔ; Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ
καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικήν τε καὶ πο-
λιτικὴν ἀρετὴν * ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύ- B
νην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν
ἄνευ φιλοσοφίας τε καὶ νοῦ; Πῇ δὴ οὗτοι εὐδαιμονέστα-
τοι; Ὅτι τούτους εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖ-
σθαι πολιτικόν τε καὶ ἥμερον γένος, ἤ που μελιττῶν ἢ
σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀν-
θρώπινον γένος, καὶ γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους.
Εἰκός. Εἰς δέ γε θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ

---

*) ἄλλ. φαντάσματα.

grave et terrenum et adſpectabile, quo quidem huiusmodi animus infectus deprimitur et retrahitur in locum adſpectabilem, metu Orci, luce orbi, ut dicitur, circum tumulos et ſepulcra oberrans, circum quae ſcilicet viſae etiam ſunt aliquando umbratiles animorum imagines, qualia exhibent ſimulacra huiusmodi animi non pure ſoluti, ſed cum adſpectabili coniuncti, ex quo etiam conſpiciuntur. Conſentaneum id quidem eſt, Socrate. Conſentaneum vero, Cebes, etiam hoc eſt, nequaquam bonorum animos hos eſſe, ſed pravorum, qui circum talia loca cogantur vagari poenas perſolventes prioris vitae male actae, et tamdiu vagentur, dum corporei ad ipſos adhaereſcentis cupiditate rurſus illigentur corpore. illigantur autem, ut conſentaneum eſt, huiusmodi vitae inſtitutis, qualibus dediti etiam erant in vita. Qualia tandem dicis, Socrate? Veluti, qui ligurritioni, laſciviae et vinolentiae dediti fuerunt nec ſibi ab his caverunt, eos in aſinorum et huiusmodi beluarum genera conſentaneum eſt migrare; an cenſes? Sane quidem conſentaneum dicis. Qui vero iniurias, dominatus et rapinas potiſſimum coluerunt, hos in luporum, accipitrum et milvorum genera; an quonam alio dicamus huiusmodi animos migrare? Haud dubie, ait Cebes, in huiusmodi genera. Nonne, inquit, manifeſta etiam reliqua ſunt, quo quisque migraturus ſit ſecundum ſtudii ſui ſimilitudinem? Manifeſtum vero, inquit; quidni ſit? Nonne beatiſſimi, inquit, vel horum ſunt et in optimum locum migrant, qui populari ac civili virtuti ſtuduerunt, quam quidem dicunt temperantiam et iuſtitiam, e conſuetudine et exercitatione proficiſcentem illam quidem ſine philoſophia et ratione? Cur quaeſo hi beatiſſimi? Quia hos conſentaneum eſt in tale rurſus migrare civile ac manſuetum genus, vel apium vel veſparum vel formicarum, vel etiam in idem rurſus humanum genus, et naſci ex ipſis viros modeſtos. Conſentaneum vero. In deorum autem genus, niſi qui philoſophatus ſit et

παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι * [ἄλλῳ ἢ C
τῷ φιλομαθεῖ]. ἀλλὰ τούτων ἕνεκα, ὦ ἑταῖρε Σιμμία τε καὶ
Κέβης, οἱ ὀρθῶς φιλόσοφοι *) ἀπέχονται τῶν κατὰ τὸ σῶ-
μα ἐπιθυμιῶν ἁπασῶν καὶ καρτεροῦσι καὶ οὐ παραδιδόασιν
αὐταῖς αὑτούς, οὔτι οἰκοφθορίαν τε καὶ πενίαν φοβούμε-
νοι, ὥςπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι, οὐδὲ αὖ ἀτιμίαν τε
καὶ ἀδοξίαν μοχθηρίας δεδιότες, ὥςπερ οἱ φίλαρχοί τε καὶ
φιλότιμοι, ἔπειτα ἀπέχονται αὐτῶν. Οὐ γὰρ ἂν πρέποι, ἔφη,
ὦ Σώκρατες, ὁ Κέβης. Οὐ μέντοι μὰ Δί', ἦ δ' ὅς. τοιγάρ-
*τοι τούτοις μὲν ἅπασιν, ἔφη, ὦ Κέβης, ἐκεῖνοι, οἷς τι μέλει D
τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες **) ζῶσι, χαί-
ρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς, ὡς οὐκ εἰ-
δόσιν ὅπῃ ἔρχονται, αὐτοὶ δὲ ἡγούμενοι, οὐ δεῖν ἐναντία τῇ
φιλοσοφίᾳ πράττειν καὶ τῇ ἐκείνης λύσει τε καὶ καθαρμῷ,
ταύτῃ τρέπονται, ἐκείνῃ ἑπόμενοι ᾗ ἐκείνη ὑφηγεῖται. Πῶς,
ὦ Σώκρατες; Ἐγὼ ἐρῶ, ἔφη. γιγνώσκουσι γάρ, ἦ δ' ὅς, οἱ
φιλομαθεῖς ὅτι παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία
*ἀτεχνῶς διαδεδεμένην ἐν τῷ σώματι καὶ προςκεκολλημέ- E
νην, ἀναγκαζομένην δὲ ὥςπερ δι' εἱργμοῦ διὰ τούτου σκο-
πεῖσθαι τὰ ὄντα, ἀλλὰ μὴ αὐτὴν δι' αὑτῆς, καὶ ἐν πάσῃ ἀμα-
θίᾳ καλινδουμένην, καὶ τοῦ εἱργμοῦ τὴν δεινότητα κατιδοῦσα
ὅτι δι' ἐπιθυμίας ἐστίν, ὡς ἂν μάλιστα αὐτὸς ὁ δεδεμένος ξυλ-
λήπτωρ εἴη τῷ δε*δέσθαι· ὅπερ οὖν λέγω, γιγνώσκουσιν οἱ 83
φιλομαθεῖς ὅτι οὕτω παραλαβοῦσα ἡ φιλοσοφία ἔχουσαν αὐ-
τῶν τὴν ψυχὴν ἠρέμα παραμυθεῖται καὶ λύειν ἐπιχειρεῖ, ἐν-
δεικνυμένη ὅτι ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις,
ἀπάτης δὲ ἡ διὰ τῶν ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων, πεί-
θουσα δὲ ἐκ τούτων μὲν ἀναχωρεῖν, ὅσον μὴ ἀνάγκη αὐτοῖς
χρῆσθαι, αὐτὴν δὲ εἰς αὑτὴν ξυλλέγεσθαι καὶ ἀθροίζεσθαι πα-
ρακελευομένη, πιστεύειν δὲ μηδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτὴν αὑτῇ,
ὅ τι ἂν νοήσῃ αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τῶν ὄντων,
ὅ τι * δ' ἂν δι' ἄλλων σκοπῇ ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν B
ἡγεῖσθαι ἀληθές, εἶναι δὲ τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ

---

*) ἄλλ. φιλοσοφοῦντες.

**) ἴσ. σώματι πράττοντες.

plane purus abierit, nemini fas est pervenire. hanc igitur ob causam, o amice Simmia et Cebes, qui vere philosophi sunt, abstinent omnibus corporis voluptatibus, sibi temperant nec illis sese dedunt, nequaquam rei familiaris iacturam et paupertatem timentes, sicut volgus et pecuniae cupidi, neque etiam ignobilitatem et famam inertiae pertimescentes, quemadmodum ii qui principatus et honoris sunt cupidi, sed illam ob causam se abstinent. Nec vero deceret, inquit, Socrate, Cebes. Minime vero mehercule, inquit. icciirco hos omnes, ait, Cebes, ii qui in suo ipsi animo curam aliquam ponunt nec cum corpore facientes vivunt, missos facientes non eadem cum istis via proficiscuntur quippe qua pergant nescientibus, sed existimantes, non esse contra philosophiam faciendum eiusque liberationem ac purgationem, huc se convertunt, illam sequentes quo illa praeit. Quomodo, Socrate? Ego dicam, inquit. cognoscunt enim, ait, qui sapientiam appetunt, philosophiam, quae ipsorum animum nanciscatur revera constrictum corpore atque agglutinatum, ita ut cogatur tamquam per carcerem per hoc spectare quae sunt, non ipse per se, et in omni inscientia volutetur, animadvertentem quam vehementer carcer enitatur, ut ipse constrictus maxime sit adiutor constringendi: quod igitur dico, cognoscunt qui sapientiam appetunt, philosophiam, quae ipsorum animum ita affectum nanciscatur, leniter eum admonere ac liberare conari, commonstrantem fraudis plenam esse spectationem per oculos, fraudis plenam perceptionem per aures reliquosque sensus, persuadentem ipsi ut ab his se revocet, nisi si necesse sit iis uti, et adhortantem ut se ipsum colligat et in unum se cogat, nec ulli alii rei fidem habeat nisi sibi ipsi, pro vero habens id quod cogitaverit ipse per se et ita ut ipsum per se quidque sit, quicquid vero per alia cogitaverit idque in aliis aliter se habens, nihil horum verum putans, hoc quidem docentem sensibile esse atque

ὁρατόν, ὃ δὲ αὐτὴ ὁρᾷ, νοητόν τε καὶ ἀειδές· ταύτῃ οὖν
τῇ λύσει οὐκ οἰομένη δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς
φιλοσόφου ψυχὴ οὕτως ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπιθυ-
μιῶν καὶ λυπῶν καὶ φόβων, καθ᾽ ὅσον δύναται, λογιζομένη
ὅτι, ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ἐπι-
θυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν ἔπαθεν ἀπ᾽ αὐτῶν, ὅσον ἄν
τις οἰηθείη, οἷον ἢ νοσήσας ἤ τι ἀνα*λώσας διὰ τὰς ἐπιθυ- C
μίας, ἀλλ᾽ ὃ πάντων μέγιστόν τε κακὸν καὶ ἔσχατόν ἐστι,
τοῦτο πάσχει καὶ οὐ λογίζεται αὐτό. Τί τοῦτο, ὦ Σώκρατες;
ἔφη ὁ Κέβης. Ὅτι ψυχὴ παντὸς ἀνθρώπου ἀναγκάζεται
ἅμα τε ἡσθῆναι ἢ λυπηθῆναι σφόδρα ἐπί τῳ καὶ ἡγεῖσθαι,
περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτο ἐναργέστατόν τε εἶ-
ναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον. ταῦτα δὲ μάλιστα τὰ
ὁρατά· ἢ οὔ; Πάνυ γε. Οὐκοῦν ἐν τούτῳ τῷ πάθει μά-
λιστα κα*ταδεῖται ψυχὴ ὑπὸ σώματος; Πῶς δή; Ὅτι ἑκάστη D
ἡδονὴ καὶ λύπη ὥσπερ ἧλον ἔχουσα προσηλοῖ αὐτὴν πρὸς
τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν
ταῦτα ἀληθῆ εἶναι, ἅπερ ἂν καὶ τὸ σῶμα φῇ. ἐκ γὰρ τοῦ
ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς χαίρειν ἀναγκάζεται,
οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος γίγνεσθαι καὶ οἵα μη-
δέποτε καθαρῶς εἰς Ἅιδου ἀφικέσθαι, ἀλλ᾽ ἀεὶ τοῦ σώμα-
τος ἀναπλέα ἐξιέναι, ὥστε ταχὺ πάλιν πίπτειν εἰς ἄλλο
σῶμα καὶ ὥσπερ σπειρομένη ἐμφύεσθαι, καὶ ἐκ τού*των E
ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ καὶ μο-
νοειδοῦς ξυνουσίας. Ἀληθέστατα, ἔφη, λέγεις, ὁ Κέβης,
ὦ Σώκρατες. Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ δι-
καίως φιλομαθεῖς κόσμιοί τ᾽ εἰσὶ καὶ ἀνδρεῖοι, οὐχ ὧν
οἱ πολλοὶ ἕνεκά φασιν· ἢ σὺ οἴει; * Οὐ δῆτα ἔγωγε. 84
Οὐ γὰρ ἀλλ᾽ οὕτω λογίσαιτ᾽ ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου,
καὶ οὐκ ἂν οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυ-
τὴν λύειν, λυούσης δὲ ἐκείνης αὐτὴν παραδιδόναι ταῖς
ἡδοναῖς καὶ λύπαις ἑαυτὴν πάλιν αὖ ἐγκαταδεῖν καὶ
ἀνήνυτον ἔργον πράττειν, Πηνελόπης τινὰ ἐναντίως
ἱστὸν μεταχειριζομένην· ἀλλὰ γαλήνην τούτων παρα-

adſpectabile, id vero quod ipſe videat, mente comprehendi nec in conſpectum cadere: huic igitur liberationi quia exiſtimat non eſſe repugnandum veri philoſophi animus, abstinet voluptatibus, cupiditatibus, doloribus ac timoribus, quantum poteſt, ſecum reputans, ſi quis vehementer gaudeat vel timeat vel doleat vel concupiſcat, non tantum ab iis malum, quantum exiſtimaverit quispiam, ipſi accidere, ſi exempli cauſa aegrotet vel ſumtum aliquem faciat propter cupiditates, ſed, quod omnium maximum ſit malum atque extremum, hoc ipſi accidere non id reputanti. Quodnam eſt illud, Socrate? ait Cebes. Quod animus cuiusvis hominis cogitur ſimul gaudere et dolere vehementer re quapiam et exiſtimare, in quo maxime id patiatur, hoc evidentiſſimum eſſe atque veriſſimum, ut non ſit. hae autem maxime ſunt res adſpectabiles; nonne? Sane quidem. Non igitur in hac affectione maxime conſtringitur animus corpore? Quo tandem modo? Quia quaeque voluptas ac dolor clavo quaſi eum affigit corpori et annectit et corporeum efficit, ita ut vera eſſe iudicet, quaecumque corpus quoque exiſtimet. eo enim quod idem ſentit atque corpus isdemque rebus gaudet, fit, opinor, ut eundem cogatur morem vitaeque inſtitutum ſequi, nec umquam ad inferos poſſit purus pervenire, ſed corpore ſemper inquinatus excedat, ita ut mox rurſus cadat in aliud corpus et quaſi ſatione ingeneretur iccircoque expers ſit cum divino et puro et ſimplice conſuetudinis. Veriſſima, inquit, dicis, Cebes, Socrate. Hanc igitur ob cauſam, Cebes, ii qui ſapientiam recte appetunt temperantes ſunt atque fortes, non ob eam quam volgus profert; an tu exiſtimas? Minime vero equidem. Immo vero ita ſentiet animus viri philoſophi, nec arbitrabitur philoſophiam quidem oportere ipſum liberare, ipſum autem, dum illa liberet, voluptatibus ac doloribus ſeſe tradere rurſus conſtringendum opusque irritum facere, quaſi Penelopes telam contrario modo texentem; ſed ita cenſet ſibi

σκευάζουσα, ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον θεωμένη καὶ ὑπ' ἐκείνου τρεφομένη, * ζῆν τε οὕτως οἴεται δεῖν, ἕως ἂν ζῇ, καὶ B ἐπειδὰν τελευτήσῃ, εἰς τὸ ξυγγενὲς καὶ εἰς τὸ τοιοῦτον ἀφικομένη ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν. ἐκ δὲ τῆς τοιαύτης τροφῆς οὐδὲν δεινὸν μὴ φοβηθῇ, ταῦτά γ' ἐπιτηδεύσασα, ὦ Σιμμία τε καὶ Κέβης, ὅπως μὴ διασπασθεῖσα ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος ὑπὸ τῶν ἀνέμων διαφυσηθεῖσα καὶ διαπτομένη οἴχηται καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ.

Σιγὴ οὖν ἐγένετο ταῦτα εἰπόντος τοῦ * Σωκράτους C ἐπὶ πολὺν χρόνον, καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν ὁ Σωκράτης, ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ πλεῖστοι· Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διελεγέσθην. καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο Τί, ἔφη, ὑμῖν τὰ λεχθέντα; μῶν μὴ δοκεῖ ἐνδεῶς λελέχθαι; πολλὰς γὰρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴ γε δή τις αὐτὰ μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν λέγω· εἰ δὲ *) περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ αὐτοὶ εἰπεῖν καὶ * διεξελθεῖν, εἴ πῃ ὑμῖν φαίνεται D βέλτιον **) λεχθῆναι, καὶ αὖ καὶ ἐμὲ ξυμπαραλαβεῖν, εἴ τι μᾶλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν. Καὶ ὁ Σιμμίας ἔφη Καὶ μήν, ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι διὰ τὸ ἐπιθυμεῖν μὲν ἀκοῦσαι, ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν ξυμφοράν. Καὶ ὃς ἀκούσας ἐγέλασέ τε ἠρέμα καί φησι Βαβαί, ὦ Σιμμία! ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους * πείσαιμι ἀν- E θρώπους ὡς οὐ ξυμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ. καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἵ, ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ,

---

*) ἄλλ. εἰ δ' ἔτι. ἴσ. εἰ δέ τι.
**) ἴσ. βέλτιον ἂν λ.

vivendum esse, quoad vivat, ut harum sibi rerum quietem et tranquillitatem comparet, rationem sequatur semperque studeat verum et divinum et supra opinationem positum spectare eoque ali, quum vero mortuus fuerit, ad cognatum et simile profectus liberetur humanis malis. in hoc vero vitae instituto haud sane periculum est, ne, postquam haec quidem tractavit, Simmia et Cebes, extimescat, ne distractus in excessu corporis a ventis dispersus et difflatus evanescat, nec quicquam amplius usquam sit.

Silentium fuit, quum haec dixisset Socrates, satis diu, et tum ipse de iis quae disputata erant secum meditatus est Socrates, ut adspectus indicabat, tum nostrum plurimi; Cebes vero et Simmias paullulum inter se colloquuti sunt. quod Socrates quum animadvertisset, quaesivit ex iis Quid, inquit, vobis videtur de iis quae disseruimus? numquid vobis non satisfaciunt? multas videlicet adhuc habent dubitationes ac reprehensionis ansas, si quis satis ea velit persequi. quodsi aliud quid quaeritis, nihil dico, sin de illis addubitatis, ne cunctemini et ipsi dicere atque exponere, si qua vobis videntur melius posse explicari, et me quoque in quaestionis societatem assumere, si magis arbitramini mecum vobis successurum esse. Tum Simmias At, inquit, Socrate, vera tibi dicam. etenim iam dudum uterque nostrum addubitans alterum urget et instigat ut roget, quoniam cupimus quidem audire, dubitamus vero molestiam tibi exhibere, incommodum tibi fore existimantes propter praesentem calamitatem. Atque ille his auditis risit leniter et Papae, inquit, Simmia! aegre profecto ceteris potero hominibus persuadere, me non pro calamitate habere praesentem casum, quandoquidem neque vobis possum persuadere, sed veremini ne aliquanto difficilior sim, quam in vita praeterita. atque, ut patet, cycnis videor deterior vobis esse ad divinationem, qui, quum sentiunt sibi moriendum esse, canentes etiam praeterito

τότε δὴ πλεῖ*στα καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλ- 85
λουσι παρὰ τὸν θεὸν ἀπιέναι οὗπέρ εἰσι θεράποντες. οἱ δὲ
ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύ-
κνων καταψεύδονται καί φασιν αὐτοὺς θρηνοῦντας τὸν
θάνατον ὑπὸ λύπης ἐξᾄδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν
ὄρνεον ᾄδει, ὅταν πεινῇ ἢ ῥιγοῖ ἤ τινα ἄλλην λύπην λυ-
πῆται, οὐδὲ αὐτὴ ἥ τε ἀηδὼν καὶ ἡ χελιδὼν καὶ ὁ ἔποψ,
ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν· ἀλλ' οὔτε ταῦτά
μοι φαίνεται λυπούμενα ᾄδειν οὔτε οἱ κύκνοι, ἀλλ' ἅτε,
οἶμαι, * τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τ' εἰσὶ καὶ προει- B
δότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσί τε καὶ τέρπον-
ται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν
χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν
κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων
τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον
αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ τούτου γε ἕνεκα
λέγειν τε χρὴ καὶ ἐρωτᾶν ὅ τι ἂν βούλησθε, ἕως ἂν οἱ
Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα. Καλῶς, ἔφη, λέγεις, ὁ
Σιμμίας· καὶ ἐγώ τέ σοι ἐρῶ ὃ ἀ*πορῶ, καὶ αὖ ὅδε, ᾗ C
οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ Σώκρα-
τες, περὶ τῶν τοιούτων ἴσως ὥσπερ καὶ σοί, τὸ μὲν σαφὲς
εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν
τι, τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παν-
τὶ τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι, πρὶν ἂν παντα-
χῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός·
δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι, ἢ
μαθεῖν ὅπῃ ἔχει, ἢ εὑρεῖν, ἤ, εἰ ταῦτα ἀδύνατον, τὸν
γοῦν βέλτιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυσ-
εξε*λεγκτότατον, ἐπὶ τούτου ὀχούμενον ὥσπερ ἐπὶ σχε- D
δίας, κινδυνεύοντα διαπλεῦσαι τὸν βίον, εἰ μή τις δύ-
ναιτο ἀσφαλέστερον καὶ ἀκινδυνότερον ἐπὶ βεβαιοτέρου
ὀχήματος, [ἢ] λόγου θείου τινός, διαπορευθῆναι. καὶ δὴ
καὶ νῦν ἔγωγε οὐκ ἐπαισχυνθήσομαι ἔρεσθαι, ἐπειδὴ καὶ
σὺ ταῦτα λέγεις, οὐδὲ ἐμαυτὸν αἰτιάσομαι ἐν ὑστέρῳ χρό-

tempore, tum plurimum et maxime canunt, in eo laetantes quod abeundum ſibi eſt ad deum cuius ſunt miniſtri. homines autem propter ſuum mortis metum etiam de cycnis mentiuntur eosque dicunt, mortem lugentes, prae maerore animam canendo efflare, nec reputant nullam avem canere, quando eſuriat vel ſrigeat aliove dolore afficiatur, ne luſciniam quidem, hirundinem et upupam, quas quidem dicunt propter maerorem lugentes canere; at neque hae mihi videntur dolentes canere neque cycni; ac potius, quippe, opinor, Apollini dicati, fatidici ſunt et praevidentes quae apud inferos bona ſint canunt et delectantur illo die multo magis quam ſuperiore tempore. ego vero ipſe quoque mihi videor conſervus eſſe cycnorum et ſacer eidem deo, nec minus illis divinationem habere a domino, neque animo abiectiore e vita excedere. itaque, quod ad hoc quidem attinet, dicere debetis et interrogare, quodcumque volueritis, dum Athenienſium permittunt undecimviri. Praeclare, inquit, dicis, Simmias; atque tam ego tibi dicam de quo addubitem, quam hic, quatenus non probet dicta. mihi enim videtur, Socrate, de hoc genere fortaſſe idem quod tibi: ut certi aliquid ſciamus in hac vita vel fieri non poſſe vel plane eſſe difficile; tamen ea quae ſuper his dicantur, non omni modo examinare, non prius deſiſtentem, quam omnibus ex partibus quaerens ſuccumbat, admodum mollis eſſe viri; oportere videlicet in illis unum certe horum impetrare, ut vel diſcamus quomodo ſe habeant, vel inveniamus, vel, ſi id fieri nequeat, optimam ſaltem humanarum rationum ſumentes et quae ad refellendum ſit difficillima, in eaque vehentes tamquam in rate, periclitantes navigemus per vitam, niſi quis poſſit tutius magisque extra periculum in firmiore navigio, ratione aliqua divina, eam transmittere. atque etiam nunc equidem non verebor interrogare, quum tu quoque haec dicas, nec mihimet ipſe hoc crimini dabo poſtero

νῳ, ὅτι νῦν οὐκ εἶπον ἅ ἐμοὶ δοκεῖ. ἐμοὶ γάρ, ὦ Σώκρα-
τες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε σκοπῶ τὰ
εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς εἰρῆσθαι. Καὶ * ὁ E
Σωκράτης Ἴσως γάρ, ἔφη, ὦ ἑταῖρε, ἀληθῆ σοι φαίνεται·
ἀλλὰ λέγε ὅπῃ δὴ οὐχ ἱκανῶς. Ταύτῃ ἔμοιγε, ἦ δ' ὅς, ᾗ
δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας τε καὶ χορδῶν τὸν
αὐτὸν τοῦτον λόγον εἴποι, ὡς ἡ μὲν ἁρμονία ἀόρατόν τι
καὶ ἀσώματον καὶ πάγκαλόν [τι] καὶ θεῖόν ἐστιν ἐν τῇ
ἡρμοσμένῃ λύρᾳ, * αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ σώμα- 86
τά τε καὶ σωματοειδῆ καὶ ξύνθετα καὶ γεώδη ἐστὶ καὶ
τοῦ θνητοῦ ξυγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν
ἢ διατέμῃ ἢ καὶ διαῤῥήξῃ τὰς χορδάς, εἴ τις διϊσχυρίζοι-
το τῷ αὐτῷ λόγῳ ὥσπερ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρ-
μονίαν ἐκείνην καὶ μὴ ἀπολωλέναι· οὐδεμία γὰρ μηχανὴ
[ἂν] εἴη τὴν μὲν λύραν ἔτι εἶναι διεῤῥωγυιῶν τῶν χορ-
δῶν καὶ τὰς χορδὰς θνητοειδεῖς οὔσας, τὴν δὲ ἁρμονίαν
ἀπολωλέναι τὴν τοῦ θείου τε καὶ ἀθανάτου ὁμοφυᾶ * τε B
καὶ ξυγγενῆ, προτέραν τοῦ θνητοῦ ἀπολομένην· ἀλλὰ
φαίη, ὡς ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν, καὶ
πρότερον τὰ ξύλα καὶ τὰς χορδὰς κατασαπήσεσθαι πρίν
τι ἐκείνην παθεῖν· — καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι
ἔγωγε καὶ αὐτόν σε τοῦτο ἐντεθυμῆσθαι, ὅτι τοιοῦτόν τι
μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥσπερ ἐντεταμέ-
νου τοῦ σώματος ἡμῶν καὶ ξυνεχομένου ὑπὸ θερμοῦ
καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τοιούτων τινῶν,
κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων * τὴν ψυχὴν C
ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλ-
ληλα. εἰ οὖν τυγχάνει ἡ ψυχὴ οὖσα ἁρμονία τις, δῆλον
ὅτι, ὅταν χαλασθῇ τὸ σῶμα ἡμῶν ἀμέτρως ἢ ἐπιταθῇ
ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκη
εὐθὺς ὑπάρχει ἀπολωλέναι, καίπερ οὖσαν θειοτάτην,
ὥσπερ καὶ αἱ ἄλλαι ἁρμονίαι αἵ τ' ἐν τοῖς φθόγγοις καὶ
αἱ ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψα-
να τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν, ἕως
ἂν ἢ κατακαυθῇ ἢ κατασα*πῇ. ὅρα οὖν πρὸς τοῦτον D
τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν

tempore, quod nunc non dixerim quae mihi videantur. mihi enim, Socrate, quando et per me et cum hoc perpendo quae dicta ſunt, haud ſane videntur ſatisfacere. Tum Socrates Forſitan, inquit, o amice, verum ſit id quod tibi videtur; at dic qua tandem ratione illa non ſatisfaciant. Hactenus, ait ille, quod etiam de harmonia, lyra et chordis idem quispiam poſſit dicere, harmoniam quidem eſſe aliquid adſpectum fugiens, incorporale, oppido pulchrum et divinum in lyra concinente, ipſam vero lyram et chordas corpora eſſe resque corpori ſimiles, compoſitas, terrenas et mortali cognatas. quocirca quum lyram quis vel fregerit vel disciderit vel etiam ruperit chordas, ſi quis contendat eadem qua tu ratione neceſſe eſſe harmoniam illam adhuc exſtare nec periſſe: fieri non poſſe dicens, ut lyra quidem adhuc exſtet ruptis chordis, ipſaeque chordae, mortali illae quidem ſimiles, harmonia autem perierit divino et immortali cognata ſimilisque, et quidem prius quam mortale illud, ſed neceſſe eſſe uspiam exſtare adhuc ipſam harmoniam, et fore ut prius ligna chordaeque putreſcant, quam illi quicquam accidat; — etenim arbitror equidem, Socrate, te ipſum hoc mente informaſſe tale quid potiſſimum nos iudicare animum eſſe: quum ſcilicet intentum quaſi ſit corpus noſtrum et contineatur calido ac frigido, ſicco et humido et talibus quibusdam, temperationem eſſe et harmoniam horum ipſorum animum noſtrum, quando haec bene et modice inter ſe ſint temperata. quodſi animus eſt harmonia aliqua, dubium non eſt quin, quum remittitur corpus noſtrum immodice aut intenditur a morbis aliisque malis, animus quidem neceſſario ſtatim intereat, licet diviniſſimus ſit, quemadmodum ceterae quoque harmoniae, tum in ſonis tum in quibuslibet opificum operibus, reliquiae vero corporis cuiusque diu permaneant, donec vel comburantur vel putreſcant. iam contra hanc rationem vide quid dicturi ſimus, ſi quis contendat temperationem eſſe ani-

ψυχὴν τῶν ἐν τῷ σώματι ἐν τῷ καλουμένῳ θανάτῳ πρώ-
την ἀπόλλυσθαι.

Διαβλέψας οὖν ὁ Σωκράτης, ὥςπερ τὰ πολλὰ εἰώ-
θει, καὶ μειδιάσας Δίκαια μέντοι, ἔφη, λέγει ὁ Σιμμίας.
εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο;
καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. δοκεῖ
μέντοι μοι χρῆναι πρὸ τῆς ἀποκρίσεως ἔτι πρότερον Κέ-
βητος ἀκοῦσαι, τί αὖ ὅ*δε ἐγκαλεῖ τῷ λόγῳ, ἵνα χρόνου E
ἐγγενομένου βουλευσώμεθα τί ἐροῦμεν, ἔπειτα ἀκούσαντας
ἢ ξυγχωρεῖν αὐτοῖς, ἐάν τι δοκῶσι προςᾴδειν, ἐὰν δὲ μή,
οὕτως ἤδη ὑπερδικεῖν τοῦ λόγου. ἀλλ' ἄγε, ἦ δ' ὅς, ὦ
Κέβης, λέγε τί ἦν ὃ σὲ αὖ θρᾶττον ἀπιστίαν παρέχει.
Λέγω δή, ἦ δ' ὃς ὁ Κέβης. ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν τῷ
αὐτῷ ὁ λόγος εἶναι καί, ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν,
ταὐτὸν ἔγκλημα ἔχειν. * ὅτι μὲν γὰρ ἦν ἡμῶν ἡ ψυχὴ καὶ 87
πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ ἀνατίθεμαι μὴ οὐχὶ
πάνυ χαριέντως καί, εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ
ἱκανῶς ἀποδεδεῖχθαι· ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι
που ἔστιν, οὔ μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ
πολυχρονιώτερον ψυχὴ σώματος, οὐ ξυγχωρῶ τῇ Σιμμίου
ἀντιλήψει· δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ πολὺ δια-
φέρειν. τί οὖν, ἂν φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς, ἐπειδή γε
ὁρᾷς ἀποθανόντος τοῦ ἀνθρώπου τό γε ἀσθενέστερον ἔτι
ὄν; τὸ δὲ πολυ*χρονιώτερον οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι B
ἔτι σώζεσθαι ἐν τούτῳ τῷ χρόνῳ; πρὸς δὴ τοῦτο τόδε
ἐπίσκεψαι εἴ τι λέγω· εἰκόνος γάρ τινος, ὡς ἔοικε, κἀγὼ
ὥςπερ Σιμμίας δέομαι. ἐμοὶ γὰρ δοκεῖ ὁμοίως λέγεσθαι
ταῦτα, ὥςπερ ἄν τις περὶ ἀνθρώπου ὑφάντου πρεσβύ-
του ἀποθανόντος λέγοι τοῦτον τὸν λόγον, ὅτι οὐκ ἀπό-
λωλεν ὁ ἄνθρωπος, ἀλλ' ἔστι που ἴσως, τεκμήριον δὲ
παρέχοιτο θοἰμάτιον ὃ ἠμπείχετο αὐτὸς ὑφηνάμενος, ὅτι
ἔστι σῶν καὶ οὐκ ἀπόλωλε, καὶ εἴ τις ἀπιστοίη αὐτῷ,

mum eorum quae in corpore insint, ideoque in morte quae dicitur primum interire.

Tum Socrates acrius, ut plerumque solebat, aciem intendens et subridens Vera sane, inquit, dicit Simmias. quodsi quis vestrum facilius quam ego id expedire potest, cur non respondet? neque enim male videtur impugnasse orationem. videtur tamen mihi necesse esse, antequam respondeamus, audire quid sit quod Cebes reprehendat in oratione, ut tempus et spatium habeamus ad deliberandum, quid nobis dicendum sit, et deeinde, quum hos audiverimus, vel assentiamur ipsis, si qua videantur cum nobis concinere, sin minus, tum demum defendamus orationem nostram. agedum, inquit, Cebes, dic, quinam te rursus scrupulus pungat et addubitare cogat. Dicam vero, ait Cebes. mihi enim videtur in eodem adhuc stare oratio et eandem quam supra vituperationem subire. de hoc scilicet quod posuimus, animum nostrum ante fuisse quam hanc intraret speciem, sententiam non muto, admodum scite illud et, nisi arrogantiae est id dicere, ita demonstratum esse ut plane satisfaciat; hoc autem, etiam nobis mortuis adhuc uspiam esse animum, non similiter mihi videtur probatum esse. animum non esse validiorem et diuturniorem corpore, hoc quidem non concedo Simmiae id obiicienti; videtur enim mihi in his omnibus satis multum differre. quid igitur, ratio dixerit, adhuc dubitas, quum videas scilicet, mortuo homine imbecillius adhuc esse? diuturnius vero non videtur tibi necessario adhuc salvum esse hoc tempore? huic quod oppono, vide num id alicuius sit momenti. videtur enim mihi (nam similitudine aliqua, ut patet, mihi quoque, sicut Simmiae, utendum est) hoc similiter dici, ac si quis de sene textore mortuo hoc ipsum dicat: non perisse hominem, sed esse uspiam sine dubio, testimonii autem loco proferat pallium quo amictus fuerit ab ipso texto, quod salvum sit nec interierit, et si quis fidem non ha-

ἀνερωτῴη πότερον πο*λυχρονιώτερόν ἐστι, τὸ γένος ἀνθρώ- C
που ἢ ἱματίου ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου, ἀποκρι-
ναμένου δέ τινος ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτο ἀποδε-
δεῖχθαι, ὅτι παντὸς ἄρα μᾶλλον ὅ γε ἄνθρωπος σῶς ἐστίν,
ἐπειδὴ τό γε ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλε. τὸ δ' οἶμαι, ὦ
Σιμμία, οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σὺ ἃ λέγω· πᾶς
γὰρ ἂν ὑπολάβοι ὅτι εὔηθες λέγει ὁ τοῦτο λέγων. ὁ γὰρ
ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦτα ἱμάτια καὶ ὑφη-
νάμενος ἐκείνων μὲν ὕστερος ἀπόλωλε πολλῶν ὄντων, τοῦ
δὲ * τελευταίου, οἶμαι, πρότερος· καὶ οὐδέν τι μᾶλλον τού- D
του ἕνεκα ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ' ἀσθενέ-
στερον. τὴν αὐτὴν δὲ ταύτην, οἶμαι, εἰκόνα δέξαιτ' ἂν καὶ
ψυχὴ πρὸς σῶμα, καί τις λέγων αὐτὰ *) ταῦτα περὶ αὐτῶν
μέτρι' ἂν μοι φαίνοιτο λέγειν, ὡς ἡ μὲν ψυχὴ πολυχρόνιόν
ἐστι, τὸ δὲ σῶμα ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον. ἀλλὰ
γὰρ ἂν φαίη ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρί-
βειν, ἄλλως τε καὶ εἰ πολλὰ ἔτη βιῴη· εἰ γὰρ ῥέοι τὸ σῶμα
καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ ἀεὶ
τὸ κα*τατριβόμενον ἀνυφαίνοι, ἀναγκαῖον μέντ' ἂν εἴη **), E
ὁπότε ἀπολλύοιτο ἡ ψυχή, τὸ τελευταῖον ὕφασμα τυχεῖν αὐ-
τὴν ἔχουσαν καὶ τούτου μόνου προτέραν ἀπόλλυσθαι· ἀπολο-
μένης δὲ τῆς ψυχῆς τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδει-
κνύοι τὸ σῶμα καὶ ταχὺ σαπὲν διοίχοιτο. ὥςτε τούτῳ τῷ λόγῳ
οὔπω ἄξιον πιστεύσαντα θαῤῥεῖν ὡς, ἐπειδὰν ἀποθάνωμεν, ἔτι
που ἡμῶν ἡ ψυχὴ ἔστιν. * εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι 88
ἢ ἃ σὺ λέγεις ξυγχωρήσειε, δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν
καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὴν ψυχήν, ἀλλὰ μη-
δὲν κωλύειν καί, ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ
ἔσεσθαι καὶ πολλάκις γενήσεσθαι καὶ ἀποθανεῖσθαι αὖθις·
οὕτω γὰρ αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομέ-
νην [ψυχὴν] ἀντέχειν· δοὺς δὲ ταῦτα μηκέτι ἐκεῖνο ξυγ-
χωροίη, μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσι καὶ
τελευτῶσάν γε ἔν τινι τῶν θανάτων παντάπασιν ἀπόλλυ-
σθαι· τοῦτον δὲ τὸν θάνατον καὶ ταύτην τὴν * διάλυσιν B

*) ἴσ. ταὐτά.

**) ἴσ. μέντοι εἴη.

beat ipſi, interroget, utrum ſit diuturnius, genus hominum an pallii, quod quidem in uſu ſit et geratur; et ſi quis reſpondeat multo magis hominis naturam, demonſtratum eſſe cenſeat, omni modo hominem eſſe ſalvum, quum id quod citius pereat non interierit. hoc vero, Simmia, non ita ſe habet; nam perpende etiam tu quae dico; quivis enim iudicabit inepte dicere qui hoc dicat. etenim textor ille, qui multa trivit eiusmodi pallia atque texuit, his quidem multis ſerius perit, ſed poſtremo, puto, prius; nihilo tamen magis inde ſequitur hominem eſſe pallio deteriorem et imbecilliorem. eadem vero, opinor, ſimilitudine uti licebit de animo cum corpore collato, et qui eadem illa de his dicat, conſentanea mihi videatur dicere, animum videlicet diuturniorem, corpus autem imbecillius eſſe citiusque perire. unumquemque autem animum dicat ille multa corpora terere, praeſertim ſi multos annos vivat; nam ſi diffluat corpus atque intereat vivo adhuc homine, animus vero ſemper id quod teratur rurſus contexat, neceſſe ſane eſſe, quando intereat animus, poſtremum tum eum veſtimentum habere eoque ſolo priorem interire; exſtincto autem animo tum denique naturam ſuam imbecillam patefacere corpus citoque putreſcens dilabi. quocirca huic rationi nondum par eſt fidem habentes nos confidere fore ut nobis mortuis uspiam adhuc ſit animus noſter. quid enim ſi quis illi qui hoc contendit etiam plus concedat quam tu dicis, dans ei, non ſolum ante ortum noſtrum animum fuiſſe. ſed nihil impedire quominus etiam poſt mortem nonnullorum animi adhuc ſint et futuri ſint et ſaepius exſtituri rurſusque interituri; tam validum enim natura eſſe animum ut crebras generationes ſuſtineat; dans vero haec iam illud non concedat, animum non confici multis illis generationibus nec tandem una aliqua de mortibus prorſus exſtingui: hanc vero mortem et hanc diſſolutionem

τοῦ σώματος, ἢ τῇ ψυχῇ φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ εἶναι ὁτῳοῦν αἰσθάνεσθαι ἡμῶν· εἰ δὲ τοῦτο οὕτως ἔχει *), οὐδενὶ προςήκει **) θάνατον θαῤῥοῦντι μὴ οὐκ ἀνοήτως θαῤῥεῖν, ὃς ἂν μὴ ἔχῃ ἀποδεῖξαι ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκην εἶναι ἀεὶ τὸν μέλλοντα ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὑτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.

Πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν ἀη*δῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους, ὅτι ὑπὸ τοῦ C ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ τὰ πράγματα αὐτὰ ἄπιστα εἴη.

ΕΧ. Νὴ τοὺς θεούς, ὦ Φαίδων, ξυγγνώμην γε ἔχω ὑμῖν· καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς ἐμαυτὸν ἐπέρχεται Τίνι οὖν ἔτι πι*στεύσομεν λόγῳ; ὡς D γὰρ σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπτωκε. θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεὶ τὸ ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν, καὶ ὥσπερ ὑπέμνησέ με ῥηθεὶς ὅτι καὶ αὐτῷ μοι ταῦτα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν, ὥςπερ ἐξ ἀρχῆς, ἄλλου τινὸς λόγου, ὅς με πείσει ὡς τοῦ ἀποθανόντος οὐ ξυναποθνήσκει ἡ ψυχή. λέγε οὖν πρὸς Διός, πῇ ὁ Σωκράτης μετῆλθε τὸν λόγον, καὶ πότερον κἀ*κεῖνος, ὥςπερ ὑμᾶς E φῄς, ἔνδηλός τι ἐγένετο ἀχθόμενος ἢ οὔ, ἀλλὰ πράως ἐβοήθει τῷ λόγῳ, καὶ ἱκανῶς ἐβοήθησεν ἢ ἐνδεῶς· πάντα ἡμῖν δίελθε ὡς δύνασαι ἀκριβέστατα.

ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε παραγενόμενος. τὸ * μὲν οὖν ἔχειν ὅ τι λέγοι ἐκεῖνος, ἴσως 89 οὐδὲν ἄτοπον· ἀλλ' ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ

---

*) ἴσ. ἔχοι.

**) ἴσ. προςήκειν.

corporis quae animo afferat perniciem, neminem dicat scire; fieri enim non posse ut quisquam nostrum cognoscat: hoc autem si ita se habeat, fieri non posse quin insipienter aliquis morti confidat, nisi demonstrare possit animum prorsus immortalem esse interitusque expertem, sin minus, necesse esse, cuicumque moriendum sit, eum metuere de animo suo, ne in ea quae instet separatione a corpore penitus intereat.

Nos omnes his auditis, quae illi dixerant, haud suaviter affecti eramus animo, ut serius diximus inter nos, quod, quum superior disputatio magno nobis opere persuasisset, rursus videbantur nobis perturbare et dubitationem nobis iniicere non solum de orationibus ante dictis, verum etiam de iis quae postea essent dicenda, ne viles essemus iudices vel res ipsae incertae essent.

Ech. Et hercle, Phaedo, veniam equidem do vobis; mihi enim ipsi te nunc audienti hoc fere mecum loqui in mentem venit: Cui tandem iam fidem habebimus orationi? quippe illius, quae admodum probabilis erat, a Socrate expositae rationis fides nunc concidit. mirifice enim ratione illa teneor quum semper tum nunc, harmoniam quandam esse animum nostrum, et recordatus sum propemodum quum explicaretur, mihi ipsi iam ante hoc placuisse. ac profecto rursus tamquam ab initio alia mihi opus est ratione, quae mihi persuasura sit, homine moriente non una mori animum. dic igitur per Iovem, quomodo Socrates aggressus sit ad disputationem, utrum ipse quoque, ut de vobis fateris, visus fuerit nonnihil commotus esse necne, sed aequo animo opem tulerit rationi, et num satis opis tulerit an parum: haec omnia expone quam potes accuratissime.

Phaed. Ego sane, Echecrate, saepius admiratus Socratem numquam magis eo delectatus sum, quam tum praesens. habuisse quidem ipsum quod diceret, minime admirabile sit, verum ego maxime ipsum admi-

πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο, ἔπειτα, ἡμῶν ὡς ὀξέως ᾔσθετο ὃ πεπόνθειμεν ὑπὸ τῶν λόγων, ἔπειτα, ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὥσπερ πεφευγότας καὶ ἡττημένους ἀνεκαλέσατο καὶ προὔτρεψε πρὸς τὸ παρέπεσθαί τε καὶ ξυσκοπεῖν τὸν λόγον.

ΕΧ. Πῶς δή;

ΦΑΙΔ. Ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος παρὰ τὴν κλίνην ἐπὶ * χαμαιζήλου τινός, ὁ δὲ B ἐπὶ πολὺ ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας (εἰώθει γάρ, ὁπότε τύχοι, παίζειν μου εἰς τὰς τρίχας) Αὔριον δή, ἔφη, ἴσως, ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ. Ἔοικεν, ἦν δ' ἐγώ, ὦ Σώκρατες. Οὔκ, ἄν γε ἐμοὶ πείθῃ. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Τήμερον, ἔφη, κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας, ἐάνπερ γε ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι. καὶ ἔγωγ' ἂν * εἰ σὺ εἴην C καί με διαφύγοι ὁ λόγος, ἔνορκον ἂν ποιησαίμην ὥσπερ Ἀργεῖοι, μὴ πρότερον κομήσειν, πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον. Ἀλλ', ἦν δ' ἐγώ, πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τε εἶναι. Ἀλλὰ καὶ ἐμέ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστίν. Παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ. Οὐδὲν διοίσει, ἔφη. ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον; ἦν δ' ἐγώ. Μὴ γενώμεθα, ἦ δ' ὅς, μισολό*γοι, ὥσπερ οἱ D μισάνθρωποι γιγνόμενοι· ὡς οὐκ ἔστιν, ἔφη, ὅ τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης καὶ ἡγήσασθαι, παντάπασί τε ἀληθῆ εἶναι καὶ ὑγιᾶ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις

ratus ſum primum de hoc, quod tam libenter et benivole tantaque cum approbatione iuvenum disputationem acciperet, deinde, quod tam acute perſpiceret animorum noſtrorum commotionem disputationibus illis excitatam, tum, quam bonam nobis medicinam adhiberet nosque quaſi fugientes ac victos revocaret et impelleret ad ſequendum unaque inveſtigandam quaeſtionem.

Ech. Quo tandem pacto?

Phaed. Ego dicam. etenim forte ad ipſius dextram ſedebam prope lectum in ſella humili, ille vero in multo editiore quam ego. iam demulcens caput meum et comprimens capillos in cervice (conſueverat enim quandoque ludens capillos meos tractare) Cras igitur, inquit, ni fallor, Phaedo, pulchras hasce comas tondebis. Videtur vero, inquam, Socrate. Non, ſi quidem mihi obtemperas. Quid ita? inquam. Hodie, inquit, et ego meas et tu tuas, ſi quidem ratio noſtra interierit nec in vitam revocare eam potuerimus. ac ego quidem, ſi tu eſſem et ratio mihi elaberetur, iusiurandum darem, ſicut Argivi, non prius me comam eſſe nutriturum, quam viciſſem repugnans contra Simmiae et Cebetis rationem. At, inquam, contra duos ne Hercules quidem dicitur aliquid potuiſſe. Itaque me quoque, inquit, ut Iolaum advoca, dum lux eſt. Advoco igitur, inquam, non ut Hercules, ſed ut Iolaus Herculem. Nihil intererit, inquit. at ante omnia caveamus, ne quid nobis accidat. Quid tandem? inquam. Ne rationum, inquit, oſores ſiamus, quemadmodum qui hominum oſores exſiſtunt; neque enim maius eſt malum, inquit, quod cuiquam accidere poſſit, quam hoc, rationum odium habere. exſiſtit autem eodem modo rationum et hominum odium. hominum enim odium animum noſtrum ſubit, ſi cui nimiam fidem habemus artis expertes eumque arbitramur plane verum eſſe, ſincerum ac fidum hominem, paullo poſt autem eum deprehendimus pravum et infidum, rurſusque

ἕτερον· καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τού-
των μάλιστα, οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιρο-
τάτους, τε*λευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας E
καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν· ἢ
οὐκ ᾔσθησαι οὕτω τοῦτο γιγνόμενον; Πάνυ γε, ἦν δ'
ἐγώ. Οὐκοῦν, ἦ δ' ὅς, αἰσχρὸν καὶ δῆλον ὅτι ἄνευ τέ-
χνης τῆς περὶ τἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ
τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥσπερ
ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς
*σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλεί- 90
στους. Πῶς λέγεις; ἦν δ' ἐγώ. Ὥσπερ, ἦ δ' ὅς, περὶ
τῶν σφόδρα σμικρῶν καὶ μεγάλων· οἴει τι σπανιώτερον
εἶναι ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευρεῖν ἄνθρω-
πον ἢ κύνα ἢ ἄλλο ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδύν, ἢ κα-
λὸν ἢ αἰσχρόν, ἢ λευκὸν ἢ μέλανα; ἢ οὐκ ᾔσθησαι ὅτι
πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια
καὶ ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά; Πάνυ γε, ἦν
δ' ἐγώ. Οὐκοῦν οἴει, ἔφη, εἰ πονηρίας * ἀγὼν προτεθείη, B
πάνυ ἂν ὀλίγους καὶ ἐνταῦθα τοὺς πρώτους φανῆναι; Εἰ-
κός γε, ἦν δ' ἐγώ. Εἰκὸς γάρ, ἔφη· ἀλλὰ ταύτῃ μὲν οὐχ
ὅμοιοι οἱ λόγοι τοῖς ἀνθρώποις εἰσίν, ἀλλὰ σοῦ νῦν δὴ
προάγοντος ἐγὼ ἐφεσπόμην, ἀλλ' ἐκείνῃ ᾗ, ἐπειδάν τις
πιστεύσῃ λόγῳ τινὶ ἀληθεῖ εἶναι ἄνευ τῆς περὶ τοὺς λό-
γους τέχνης, κἄπειτα ὀλίγον ὕστερον αὐτῷ δόξῃ ψευ-
δὴς εἶναι, ἐνίοτε μὲν ὤν, ἐνίοτε δ' οὐκ ὤν, καὶ αὖθις
ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ περὶ τοὺς ἀντιλο-
γικοὺς λόγους διατρίψαν*τες οἶσθ' ὅτι τελευτῶντες οἴον- C
ται σοφώτατοι γεγονέναι καὶ κατανενοηκέναι μόνοι, ὅτι
οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον
οὔτε τῶν λόγων, ἀλλὰ πάντα τὰ ὄντα, ἀτεχνῶς ὥσπερ
ἐν Εὐρίπῳ, ἄνω καὶ κάτω στρέφεται καὶ χρόνον οὐδένα
ἐν οὐδενὶ μένει. Πάνυ μὲν οὖν, ἔφην ἐγώ, ἀληθῆ λέ-
γεις. Οὐκοῦν, ὦ Φαίδων, ἔφη, οἰκτρὸν ἂν εἴη τὸ πά-
θος, εἰ, ὄντος δή τινος ἀληθοῦς καὶ βεβαίου λόγου καὶ

alium; et ſi cui id ſaepius accidit, et maxime quidem ab his, quos exiſtimavit familiariſſimos et amiciſſimos, tandem, quum crebro offendit, odit omnis, nec quicquam cenſet omnino in quopiam eſſe ſincerum. an non animadvertiſti hoc ita fieri? Sane quidem, inquam. Eſtne, inquit, turpe atque perſpicuum, artis ad res humanas ſpectantis expertem aggredi illum hominibus uti? nam ſi ex arte iis uteretur, ita ut res eſt cenſeret, proborum et improborum perpaucum eſſe numerum, eorum vero, qui inter utrosque medii eſſent, maximum. Quomodo dicis? inquam. Quemadmodum, inquit, de admodum parvis et magnis: putasne rarius quicquam eſſe, quam valde magnum vel valde parvum invenire hominem aut canem aut aliud quid? vel etiam celerem aut tardum, pulchrum aut deformem, album aut nigrum? nonne animadvertiſti omnium id genus extrema et ultima rara et pauca eſſe, media vero larga et multa? Sane quidem, inquam. Putasne igitur, inquit, ſi improbitatis certamen inſtitueretur, fore ut in hoc etiam genere pauci reperirentur primi? Conſentaneum id quidem eſt, inquam. Conſentaneum vero, inquit; nec tamen in eo ſimiles ſunt rationes hominum (te enim nunc praeeuntem ſequutus ſum), ſed in hoc, quod, ſi quis credit rationem aliquam veram eſſe, artis ad rationes ſpectantis expers, et deinde non ita multo poſt ipſi videtur falſa eſſe, quae interdum falſa eſt, interdum non eſt, et rurſus alia atque alia; maxime vero eos, qui in rationibus adverſariis ſtudium ponunt, noſti ad extremum arbitrari ſapientiſſimos ſe exſtitiſſe ſolosque perſpectum habere, neque in re ulla quicquam vel ſincerum vel ſtabile ineſſe neque in ratione quapiam, ſed omnia quae exſtent, prorſus ut in Euripo, ſurſum deorſum agitari nec ad ullum punctum temporis alicubi manere. Sane quidem, inquam, vera dicis. Nonne igitur, Phaedo, miſerabilis eſſet affectio, ſi quis, licet exſtaret vera aliqua et ſtabilis ratio, quae poſſet etiam

δυνατοῦ κατανοῆσαι, ἔπειτα διὰ * τὸ παραγίγνεσθαι τοιού- D
τοις τισὶ λόγοις τοῖς αὐτοῖς τοτὲ μὲν δοκοῦσιν ἀληθέσιν
εἶναι, τοτὲ δὲ μή, μὴ ἑαυτόν τις αἰτιῷτο μηδὲ τὴν
ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν διὰ τὸ ἀλγεῖν ἄσμενος
ἐπὶ τοὺς λόγους ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσαιτο, καὶ
ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν τοὺς λόγους
διατελοῖ, τῶν δὲ ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστήμης
στερηθείη; Νὴ τὸν Δία, ἦν δ' ἐγώ, οἰκτρὸν δῆτα. Πρῶ-
τον μὲν τοίνυν, ἔφη, τοῦτο εὐλαβηθῶμεν καὶ μὴ παριῶ-
μεν εἰς τὴν * ψυχήν, ὡς τῶν λόγων κινδυνεύει οὐδὲν E
ὑγιὲς εἶναι, ἀλλὰ πολὺ μᾶλλον ὅτι ἡμεῖς οὔπω ὑγιῶς
ἔχομεν, ἀλλ' ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν,
σοὶ μὲν οὖν καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παν-
τὸς ἕνεκα, ἐμοὶ δὲ αὐτοῦ ἕνεκα τοῦ θανά*του· ὡς κιν- 91
δυνεύω ἔγωγε ἐν τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φι-
λοσόφως ἔχειν, ἀλλ' ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονεί-
κως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητήσωσιν, ὅπῃ
μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ οὐ φροντίζουσιν, ὅπως
δὲ ἃ αὐτοὶ ἔθεντο ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προ-
θυμοῦνται. καὶ ἐγώ μοι δοκῶ ἐν τῷ παρόντι τοσοῦτον
μόνον ἐκείνων διοίσειν· οὐ γὰρ ὅπως τοῖς παροῦσιν ἃ
ἐγὼ λέγω δόξει ἀληθῆ εἶναι προθυμήσομαι, εἰ μὴ εἴη
πάρεργον, ἀλλ' ὅπως αὐτῷ ἐμοὶ ὅτι μάλιστα δόξει οὕτως
ἔχειν. λο*γίζομαι γάρ, ὦ φίλε ἑταῖρε (καὶ θέασαι ὡς πλεο- B
νεκτικῶς), εἰ μὲν τυγχάνει ἀληθῆ ὄντα ἃ λέγω, καλῶς
δὴ ἔχει τὸ πεισθῆναι, εἰ δὲ μηδέν ἐστι τελευτήσαντι, ἀλλ'
οὖν τοῦτόν γε τὸν χρόνον αὐτὸν τὸν πρὸ τοῦ θανάτου
ἧττον τοῖς παροῦσιν ἀηδὴς ἔσομαι ὀδυρόμενος· ἡ δὲ ἄγνοιά
μοι αὕτη οὐ ξυνδιατελεῖ (κακὸν γὰρ ἂν ἦν), ἀλλ' ὀλίγον
ὕστερον ἀπολεῖται. παρεσκευασμένος μὲν δή, ἔφη, ὦ Σιμμία
τε καὶ Κέβης, οὑτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον· ὑμεῖς μέν-
τοι, ἂν ἐμοὶ πείθησθε, σμικρὸν * φροντίσαντες Σωκρά- C
τους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον, ἐὰν μέν τι ὑμῖν δο-
κῶ ἀληθὲς λέγειν, ξυνομολογήσατε, εἰ δὲ μή, παντὶ λόγῳ
ἀντιτείνετε, εὐλαβούμενοι ὅπως μὴ ἐγὼ ὑπὸ προθυμίας

perſpici, tamen, quia interfuiſſet eiusmodi rationibus expoſitis, quae eaedem modo verae ipſi eſſent viſae modo falſae, non ſibi ipſi culpam attribueret nec ſuae artis ignorationi, ſed ad extremum moleſtiam capiens libenter culpam a ſe demotam in orationes inferret, et iam reliquam per vitam perpetuo et odio et obiurgatione inſectaretur orationes, rerum vero ipſarum et veritate et cognitione privaretur. Et hercle, inquam, miſerabilis eſſet affectio. Ante omnia igitur, inquit, hoc caveamus nec animum inducamus, nullam fere rationem ſanam eſſe, ſed potius hoc, nos nondum ſanos eſſe, ſed viriliter nobis eſſe agendum atque enitendum, ut ſani exſiſtamus; et tibi quidem ceterisque totius poſterae vitae cauſa, mihi vero ipſius mortis gratia; quippe videor equidem in praesentia, quod ad hanc ipſam attinet, non pro philoſopho me gerere, ſed, quemadmodum illi qui a doctrina prorſus abhorrent, pro contentionis cupido. etenim hi quoque, ſi de re quapiam ambigunt, non hoc, quomodo res ſe habeat, de qua disceptetur, curant, ſed, ut quod ipſi ſtatuunt id videatur praesentibus, contendunt. atque ego mihi videor in praesentia hoc tantum ab illis differre: non enim, ut praesentibus quae ego dicam videantur vera eſſe, eniſurus ſum, niſi ſi obiter id fiet, ſed ut mihi ipſi quam maxime videantur ſe ſic habere. ratiocinor enim ita, o care amice (et vide quantopere in rem meam): ſi vera ſunt quae dico, operae pretium eſt perſuaderi, ſin nihil eſt mortuis, hoc ipſo ſaltem tempore ante mortem meam minus praesentibus moleſtus ero lamentando; ignoratio vero haec mihi non manebit (malum enim eſſet), ſed paullo poſt tolletur. ita igitur paratus, inquit, Simmia et Cebes, aggredior ad quaeſtionem; vos autem, ſi mihi obtemperatis, parum curantes Socratem, veritatem autem multo magis, ſi quid vobis videor veri dicere, aſſentimini, ſin minus, omni ratione repugnate, caventes ne

ἅμα ἐμαυτόν τε καὶ ὑμᾶς ἐξαπατήσας, ὥςπερ μέλιττα, τὸ κέντρον ἐγκαταλιπὼν οἰχήσομαι.

Ἀλλ' ἰτέον, ἔφη. πρῶτον μέν με ὑπομνήσατε ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνημένος. Σιμμίας μὲν γάρ, ὡς ἐγῷμαι, ἀπιστεῖ τε καὶ φοβεῖται μὴ ἡ ψυχὴ ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ * σώματος προαπολλύηται D
ἐν ἁρμονίας εἴδει οὖσα· Κέβης δέ μοι ἔδοξε τοῦτο μὲν ἐμοὶ ξυγχωρεῖν, πολυχρονιώτερόν γε εἶναι ψυχὴν σώματος, ἀλλὰ τόδε ἄδηλον παντί, μὴ πολλὰ δὴ σώματα καὶ πολλάκις κατατρίψασα ἡ ψυχὴ τὸ τελευταῖον σῶμα καταλιποῦσα νῦν αὐτὴ ἀπολλύηται, καὶ ᾖ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος, ἐπεὶ σῶμά γ' ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. ἆρα ἄλλ', ἢ ταῦτ' ἐστίν, ὦ Σιμμία τε καὶ Κέβης, ἃ δεῖ ἡμᾶς ἐπισκοπεῖσθαι; Ξυνωμολογείτην δὴ * ταῦτ' εἶναι E
ἄμφω. Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθεν λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ' οὔ; Τοὺς μέν, ἐφάτην, τοὺς δ' οὔ. Τί οὖν, ἦ δ' ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν ἄλλοθί που πρότερον ἡμῶν εἶναι τὴν ψυχήν, πρὶν ἐν τῷ * σώματι 92
ἐνδεθῆναι; Ἐγὼ μέν, ἔφη ὁ Κέβης, καὶ τότε θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ. Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ ἂν θαυμάζοιμι εἴ μοι περί γε τούτου ἄλλα ποτὲ ἔτι δόξειεν. Καὶ ὁ Σωκράτης Ἀλλ' ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλα δόξαι, ἐάνπερ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι ξύνθετον πρᾶγμα, ψυχὴν δὲ ἁρμονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. οὐ γάρ που ἀποδέξει γε σαυτοῦ λέ*γοντος ὡς πρότερον ἦν ἁρμο- B
νία ξυγκειμένη, πρὶν ἐκεῖνα εἶναι ἐξ ὧν ἔδει αὐτὴν ξυντεθῆναι· ἢ ἀποδέξει; Οὐδαμῶς, ἔφη, ὦ Σώκρατες. Αἰσθάνει οὖν, ἦ δ' ὅς, ὅτι ταῦτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχήν, πρὶν καὶ εἰς ἀνθρώπου εἶδός τε καὶ σῶμα ἀφικέσθαι, εἶναι δ' αὐτὴν ξυγκειμένην ἐκ τῶν οὐδέ-

prae studio et me ipsum et vos decipiens, tamquam apis, aculeo relicto aufugiam.

Sed agenda est res, inquit. primum in memoriam mihi reducite ea quae dixistis, si non satis videbor meminisse. Simmias enim, ut opinor, addubitat ac veretur, ne animus, licet et divinior et pulchrior sit corpore, prius tamen intereat, quippe qui harmoniae sit species; Cebes autem mihi visus est hoc mihi concedere, diuturniorem esse animum corpore, sed hoc neminem fore quin vereatur, ne animus, ubi multa corpora ac saepius triverit, postremum corpus relinquens ipse iam intereat et hoc ipsum mors sit, animi interitus; nam corpus quidem numquam non interire. num alia quaedam, an haec sunt, Simmia et Cebes, quae nos oporteat anquirere? Confessus est uterque haec ipsa esse. Utrum igitur, inquit, omnes superiores rationes reiicitis, an alias probatis, alias reprobatis? Probamus, inquiunt, alias, alias non probamus. Iam quid, inquit, de illa ratione sentitis qua posuimus, discere esse recordari, et, si hoc ita se haberet, necessario effici, ut usquam alibi fuisset animus noster antequam corpore illigatus esset? Equidem, ait Cebes, hoc et tum mirum quam persuasum habui et nunc sto in hac, ut in alia nulla, ratione. Quin ego quoque, ait Simmias, ita affectus sum, et valde mirarer si mihi de hoc genere aliter umquam videretur. Tum Socrates At necesse sane est, inquit, hospes Thebane, aliter tibi videri, siquidem stat haec sententia, harmoniam esse rem compositam, animum vero harmoniam quandam e rebus in corpore intentis conflatam. numquam enim te ipsum probabis dicentem, prius fuisse harmoniam conflatam, quam ea ex quibus eam oportuerit componi; an probabis? Minime vero, inquit, Socrate. Iamne intelligis, inquit, accidere tibi ut hoc dicas, si posueris, fuisse quidem animum, priusquam in hominis formam ac corpus veniret, fuisse autem conflatum ex iis quae nondum fue-

πω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν, ᾧ ἀπεικάζεις, ἀλλὰ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ
φθόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται, τελευ*ταῖον δὲ πάν- C
των ξυνίσταται ἡ ἁρμονία καὶ πρῶτον ἀπόλλυται. οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ πῶς ξυνᾴσεται; Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴπερ τῳ ἄλλῳ λόγῳ, ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας. Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. Οὗτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός· ἀλλ' ὅρα· πότερον αἱρεῖ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι, ἢ ψυχὴν ἁρμονίαν; Πολὺ μᾶλλον, ἔφη, ἐκεῖνον, ὦ Σώκρατες· ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως μετὰ εἰκότος τινὸς καὶ
*εὐπρεπείας, ὅθεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνθρώποις· ἐγὼ D
δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι καί, ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι, καὶ ἐν γεωμετρίᾳ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ὁ δὲ περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εἴρηται. ἐρρήθη γάρ που, οὕτως ἡμῶν εἶναι ἡ ψυχή, καὶ πρὶν εἰς σῶμα ἀφικέσθαι, ὥςπερ αὐτῆς ἔστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν·
ἐγὼ * δὲ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς E
ἀποδέδεγμαι. ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα μήτε ἐμαυτοῦ μήτε ἄλλου ἀποδέχεσθαι λέγοντος ὡς ψυχή ἐστιν ἁρμονία. Τί δέ, ἦ δ' ὅς, ὦ Σιμμία, τῇδε*); δοκεῖ σοι
ἁρμονίᾳ ἢ ἄλλῃ τινὶ ξυνθέσει προςήκειν ἄλλως πως ἔχειν * ἢ 93
ὡς ἂν ἐκεῖνα ἔχῃ ἐξ ὧν ἂν ξυγκέηται; Οὐδαμῶς. Οὐδὲ μὴν ποιεῖν τι, ὡς ἐγῷμαι, οὐδέ τι πάσχειν ἄλλο παρ' ἃ ἂν ἐκεῖνα ἢ ποιῇ ἢ πάσχῃ. Ξυνέφη. Οὐκ ἄρα ἡγεῖσθαί γε προςήκει ἁρμονίαν τούτων ἐξ ὧν ἂν ξυντεθῇ, ἀλλ' ἕπεσθαι. Ξυνεδόκει. Πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονίαν κινηθῆναι ἢ φθέγξασθαι ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὐτῆς μέρεσιν. Πολλοῦ μέντοι, ἔφη. Τί δέ; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ;
Οὐ μανθάνω, ἔφη. Ἢ οὐχί**), ἦ * δ' ὅς, ἐὰν μὲν μᾶλλον B
ἁρμοσθῇ καὶ ἐπὶ πλέον, εἴπερ ἐνδέχεται τοῦτο γίγνεσθαι,

*) ἴσ. τόδε.
**) ἴσ. Ἦ οὐχὶ ἢ Οὐχί.

rint? non enim harmonia tibi tale quid est quale id cum quo eam comparas, sed prius sunt et lyra et chordae et soni adhuc discrepantes, omnium vero postrema conflatur harmonia et prima perit. haec igitur ratio quomodo cum illa tibi concinet? Nullo vero modo, ait Simmias. Atqui, inquit, decet hanc de harmonia rationem, si quamquam, concinere. Decet vero, ait Simmias. Haec tamen, inquit, non concinit; at vide: utram eligis de his rationibus, discere esse recordari, an, animum harmoniam? Multo magis, inquit, illam, Socrate; haec enim ratio mihi obtigit sine demonstratione, verisimilitudinem quandam ac speciem sequuto, ex quo etiam plerisque probatur hominibus; ego vero rationes quae e verisimilibus demonstrationes ducant, scio esse vanas et, nisi quis ab iis caveat, vehementer decipere, tum in geometria tum in reliquis omnibus. illa vero de reminiscendo ac discendo ratio ex principio approbatione digno posita est. ponebatur videlicet, animum nostrum etiam ante quam in corpus veniret, perinde exstare atque proprium ipsius esse id quod vere esse diceretur; ego vero hanc rationem, ut mihi persuadeo, satis recteque probavi. quocirca necesse est, ut patet, me neque mihi ipsi neque alteri assentiri dicenti, animum esse harmoniam. Quid vero, inquit, Simmia, hoc? num videtur tibi in harmoniam vel aliam quampiam compositionem cadere ut aliter se habeat quam illa se habeant e quibus constet? Nullo vero pacto. Neque etiam ut agat quid, opinor, vel patiatur praeter id quod illa vel agant vel faciant. Concessit. Non igitur in harmoniam cadit ut regat ea ex quibus composita est, sed ut sequatur. Probavit. Multum ergo abest ut harmonia moveatur vel sonet vel aliud quid faciat contra atque partes ipsius. Multum vero, inquit. Quid? nonne quaevis harmonia ita natura est comparata, prout temperata est? Non intelligo, inquit. Nonne, inquit, si magis temperata est atque intentius, siquidem hoc fieri potest,

μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων, εἰ δ' ἧττόν τε καὶ ἐπ' ἔλαττον, ἧττόν τε καὶ ἐλάττων; Πάνυ γε. Ἦ οὖν ἔστι τοῦτο καὶ περὶ ψυχήν, ὥστε καὶ κατὰ τὸ σμικρότατον [μᾶλλον] ἑτέραν ἑτέρας [ψυχῆς] ἐπὶ πλέον καὶ μᾶλλον ἢ ἐπ' ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτο εἶναι, ψυχήν; Οὐδ' ὁπωστιοῦν, ἔφη. Φέρε δή, ἔφη, πρὸς Διός· λέγεται ψυχὴ ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή· καὶ ταῦτα ἀληθῶς λέ*γεται. C
Ἀληθῶς μέντοι. Τῶν οὖν τιθεμένων ψυχὴν ἁρμονίαν εἶναι τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς, τήν τε ἀρετὴν καὶ τὴν κακίαν; πότερον ἁρμονίαν αὖ τιν' ἄλλην καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν ἀγαθήν, καὶ ἔχειν ἐν αὐτῇ ἁρμονίᾳ οὔσῃ ἄλλην ἁρμονίαν, τὴν δὲ ἀνάρμοστον αὐτήν τε εἶναι καὶ οὐκ ἔχειν ἐν αὐτῇ ἄλλην; Οὐκ ἔχω ἔγωγε, ἔφη ὁ Σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαῦτ' ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο
*ὑποθέμενος. Ἀλλὰ προωμολόγηται, ἔφη, μηδὲν μᾶλλον D
μηδ' ἧττον ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς εἶναι· τοῦτο δ' ἔστι τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον μηδὲ ἧττον μηδ' ἐπ' ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι· ἢ γάρ; Πάνυ γε. Τὴν δέ γε μηδὲν μᾶλλον μηδὲ ἧττον ἁρμονίαν οὖσαν μηδὲ μᾶλλον μηδὲ ἧττον ἡρμόσθαι· ἔστιν οὕτως; Ἔστιν. Ἡ δὲ μήτε μᾶλλον μήτε ἧττον ἡρμοσμένη ἔστιν ὅ τι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; Τὸ ἴσον. Οὐκοῦν ψυχή, ἐ*πειδὴ οὐδὲν μᾶλλον οὐδὲ E
ἧττον ἄλλη ἄλλης αὐτὸ τοῦτο, ψυχή, ἐστίν, οὐδὲν δὴ μᾶλλον οὐδὲ ἧττον ἥρμοσται; Οὕτως. Τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας οὐδὲ ἁρμονίας μετέχοι ἄν; Οὐ γὰρ οὖν. Τοῦτο δ' αὖ πεπονθυῖα ἆρ' ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρα ἑτέρας, εἴπερ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη; Οὐδὲν πλέον. Μᾶλλον δέ γέ που, ὦ Σιμμία, κατὰ τὸν ὀρθὸν λό*γον κακίας 94
οὐδεμία ψυχὴ μεθέξει, εἴπερ ἁρμονία ἐστίν· ἁρμονία γὰρ δήπου παντελῶς αὐτὸ τοῦτο οὖσα, ἁρμονία, ἀναρμοστίας

magis erit harmonia atque intentior, sin minus et laxius, minus et laxior? Sane quidem. Num hoc etiam in animum cadit, ut vel minimum alter altero magis et intentius aut minus et laxius hoc ipsum, animus, sit? Nullo prorsus modo, inquit. Agedum, inquit, per Iovem: animusne dicitur alius mentem virtutemque habere atque bonus esse, alius vero demens, improbus et malus esse? eaque vera dicuntur? Vera sane. Iam qui ponunt animum harmoniam esse quid dicent illa in animo esse, virtutem et pravitatem? num harmoniam aliam quampiam et discrepantiam? et hunc quidem temperatum esse, bonum, aliamque in se, qui harmonia sit, harmoniam continere, illum vero discrepantem esse per se nec aliam in se continere harmoniam? Non possum equidem, ait Simmias, dicere; nec vero dubium est quin tale quid dicturus sit qui illud sumpserit. At concessum est ante, inquit, neque magis neque minus alterum altero animum esse; haec autem confessio significat, neque magis et intentius neque minus et laxius alteram altera esse harmoniam; nonne? Sane quidem. Harmoniam vero, quae neque magis neque minus harmonia sit, neque magis neque minus temperatam esse; estne ita? Est vero. Quae autem neque magis neque minus temperata est, num quid plus vel minus harmoniae habet, an tantundem? Tantundem. Itaque animus, quandoquidem alter altero neque magis neque minus hoc ipsum, animus, est, neque magis neque minus est temperatus. Ita. Hoc autem modo si comparatus est, neque discrepantiae neque harmoniae plus habebit. Minime vero. Rursus vero ita comparatus numquid plus pravitatis vel virtutis alter altero habebit, siquidem pravitas discrepantia, virtus autem harmonia est? Non plus habebit. Potius vero, Simmia, secundum rectam rationem pravitatis nullus animus particeps erit, siquidem harmonia est; harmonia enim, quae plane hoc ipsum, harmonia, est, discre-

οὔποτ' ἂν μετάσχοι. Οὐ μέντοι. Οὐδέ γε δήπου ψυχή, οὖσα παντελῶς ψυχή, κακίας. Πῶς γὰρ ἔκ γε τῶν προειρημένων; Ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζώων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴπερ ὁμοίως [ψυχαὶ] πεφύκασιν αὐτὸ τοῦτο, ψυχαί, εἶναι. Ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ καλῶς δοκεῖ, ἦ δ' ὅς, οὕτω λέγεσθαι, καὶ πάσχειν ἂν * ταῦτα ὁ λόγος, εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, B
τὸ ψυχὴν ἁρμονίαν εἶναι; Οὐδ' ὁπωστιοῦν, ἔφη. Τί δέ; ἦ δ' ὅς· τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχήν, ἄλλως τε καὶ φρόνιμον; Οὐκ ἔγωγε. Πότερον ξυγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα πάθεσιν *), ἢ καὶ ἐναντιουμένην; λέγω δὲ τὸ τοιόνδε, οἷον, καύματος ἐνόντος καὶ δίψους, ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καί, πείνης ἐνούσης, ἐπὶ τὸ μὴ ἐσθίειν· καὶ ἄλλα που μυρία ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν * τοῖς κατὰ τὸ σῶμα· ἢ οὔ; C
Πάνυ μὲν οὖν. Οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν, μήποτ' ἂν αὐτήν, ἁρμονίαν γε οὖσαν, ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ πάλλοιτο καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνοι οὖσα, ἀλλ' ἕπεσθαι ἐκείνοις καὶ οὔποτ' ἂν ἡγεμονεύειν; Ὡμολογήσαμεν, ἔφη· πῶς γὰρ οὔ; Τί οὖν; νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων ἐξ ὧν φήσει τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα
*διὰ παντὸς τοῦ βίου καὶ δεσπόζουσα πάντας τρόπους, τὰ D
μὲν χαλεπώτερον κολάζουσα καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πρᾳότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα, ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις, ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα,

Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
Τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' * ἔτλης. E

ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος πα-

---

*) ἄλλ. παθήμασιν.

pantiae numquam particeps erit. Numquam vero. Neque, ut opinor, animus, qui plane est animus, pravitatis. Quonam enim pacto ex iis quae ante dicta sunt? Ex hac igitur ratione nobis omnes animi omnium animantium pariter boni erunt, siquidem pariter naturà hoc ipsum, animi, sunt. Mihi quidem videtur, inquit, Socrate. Num etiam bene videtur, inquit, ita dici et accidere posse hoc rationi, si vera esset sumptio, animum harmoniam esse? Nullo prorsus modo, inquit. Quid? inquit: ex omnibus quae in homine insunt num aliud quid dicis imperare praeter animum, praesertim si prudens sit? Nihil aliud. Utrum ita ut corporis affectionibus indulgeat, an ita ut etiam repugnet illis? dico autem hoc, velut quum aestus et sitis urgeant, tum ipsum ad contrarium cogere, ne bibat, et si fames, ne edat, et in sexcentis aliis animadvertimus adversari animum corporis cupiditatibus; anne? Sane quidem. Nonne concessimus quoque supra, numquam fore ut animus, si harmonia esset, discreparet a tensione, remissione, agitatione aliisque affectionibus eorum, ex quibus constaret, sed sequuturum esse illa, nec umquam ductaturum? Concessimus vero, inquit, quidni? Quid igitur? nunc nonne plane contrarium nobis videtur facere: ductare omnia illa, ex quibus dixerit quis ipsum constare, et repugnare illis in omnibus fere totam per vitam dominarique in ea omni modo, tum gravius castigantem et cum doloribus, ut arte gymnastica et medicina, tum lenius, alias minitantem, alias monentem, cum cupiditatibus et iris et timoribus, tamquam ipsum alium cum alia persona, colloquentem? quale illud etiam est quod Homerus in Odyssea fecit, ubi de Ulixe dicit:

Tum pectus tundit corque increpat hisce loquelis:
Sustine, cor, tu quondam etiam peiora tulisti.

num censes illum haec finxisse arbitrantem, animum esse harmoniam et ita comparatum, ut duceretur a corporis

θῶν, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς πράγματος ἢ καθ' ἁρμονίαν; Νὴ Δία, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ. Οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ
φάναι εἶναι· οὔτε γὰρ ἄν, ὡς ἔοικεν, * Ὁμήρῳ, θείῳ ποι- 95
ητῇ, ὁμολογοῖμεν οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. Ἔχει οὕτως, ἔφη *).

Εἶεν δή, ἦ δ' ὃς ὁ Σωκράτης, τὰ μὲν Ἁρμονίας ἡμῖν τῆς Θηβαϊκῆς ἵλεά πως, ὡς ἔοικε, μετρίως γέγονε· τί δὲ δὴ τὰ Κάδμου, ἔφη, ὦ Κέβης, πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ; Σύ μοι δοκεῖς, ἔφη ὁ Κέβης, ἐξευρήσειν· τουτονὶ γοῦν τὸν λόγον τὸν πρὸς τὴν ἁρμονίαν θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν. Σιμμίου γὰρ λέγοντος ὅ τι
ἠπόρει, πάνυ ἐθαύμαζον εἴ τι ἕξει τις χρήσασθαι * τῷ λό- B
γῳ αὐτοῦ· πάνυ οὖν μοι ἀτόπως ἔδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. ταὐτὰ δὴ οὐκ ἂν θαυμάσαιμι καὶ τὸν τοῦ Κάδμου λόγον εἰ πάθοι. Ὦ 'γαθέ, ἔφη ὁ Σωκράτης, μὴ μέγα λέγε, μή τις ἡμῖν βασκανία περιτρέψῃ τὸν λόγον τὸν μέλλοντα λέγεσθαι. ἀλλὰ δὴ ταῦτα μὲν τῷ θεῷ μελήσει, ἡμεῖς δὲ Ὁμηρικῶς ἐγγὺς ἰόντες πειρώμεθα εἰ ἄρα τι λέγεις. ἔστι δὲ δὴ τὸ κεφάλαιον ὧν ζητεῖς· ἀξιοῖς ἐπιδειχθῆναι ἡμῶν τὴν ψυχὴν ἀνώλεθρόν τε
καὶ ἀ*θάνατον οὖσαν, εἰ φιλόσοφος ἀνήρ, μέλλων ἀποθα- C
νεῖσθαι, θαῤῥῶν τε καὶ ἡγούμενος ἀποθανὼν ἐκεῖ εὖ πράξειν διαφερόντως, ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα, μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάῤῥος θαῤῥήσει. τὸ δὲ ἀποφαίνειν ὅτι ἰσχυρόν τί ἐστιν ἡ ψυχὴ καὶ θεοειδές, καὶ ἦν ἔτι πρότερον πρὶν ἡμᾶς ἀνθρώπους γενέσθαι, οὐδὲν κωλύειν φῂς πάντα ταῦτα μηνύειν ἀθανασίαν μὲν μή, ὅτι δὲ πολυχρόνιόν τέ ἐστιν ἡ ψυχὴ καὶ ἦν που πρότερον ἀμήχανον
ὅσον χρόνον καὶ ᾔδει τε καὶ ἔπραττε πόλλ' ἄττα· * ἀλλὰ γὰρ D
οὐδέν τι μᾶλλον ἦν ἀθάνατον, ἀλλὰ καὶ αὐτὸ τὸ εἰς ἀνθρώπου σῶμα ἐλθεῖν ἀρχὴ ἦν αὐτῇ ὀλέθρου, ὥσπερ νόσος, καὶ

---

*) γρ. Ἔχειν οὕτως ἔφη.

affectionibus, non ipse eas duceret in easque dominaretur, quippe res multo divinior quam ut cum harmonia comparari posset? Ita hercle, Socrate, mihi quidem videtur. Nullo igitur modo, mi optime, decet animum dici harmoniam esse; neque enim, ut patet, Homero, divino poetae, consentiremus neque nobismet ipsis. Ita habet, inquit.

Iam Harmonia quidem Thebana, ait Socrates, nobis, ut videtur, satis est placata; quid vero, Cadmum, inquit, o Cebes, quomodo placabimus et qua ratione? Tu mihi videris, ait Cebes, inventurus esse; hanc certe rationem contra harmoniam mirum quam exposuisti praeter exspectationem meam. Simmias enim quum dixisset de quo addubitaret, mirum mihi videbatur si quis haberet quid faceret eius ratione. quocirca quam admirabile visum est, quod ne primam quidem disputationis tuae excursionem sustineret. idem igitur haud mirabor si Cadmi quoque rationi accidat. Noli, o bone, ait Socrates, superbe dicere, ne obtrectatio aliqua nobis prosternat quam dicturi sumus rationem. at deo hoc curae erit, nos vero, ut cum Homero loquamur, cominus euntes experiamur an aliquid dicas. est vero haec eorum quae quaeris summa: postulas ut demonstretur, animum nostrum interitus expertem et immortalem esse, nisi philosophus, qui, morte instante, confidat ac censeat fore ut post mortem ibi longe melius secum agatur, quam si aliud vitae institutum sequutus mortem obisset, insipientem ac stolidam habiturus sit fiduciam. si quis ostendat, validum aliquid esse animum et divini simile eumque etiam prius fuisse, quam nos homines exsisteremus, hoc nihil impedire ais, quominus haec omnia non immortalitatem indicent, sed hoc tantum, diuturnum esse animum et tempore immenso ante fuisse et cognovisse et fecisse permulta; nihilo tamen magis esse immortalem, sed hoc ipsum, quod in hominis corpus migret, initium ei esse interitus, tamquam morbum, et

ταλαιπωρουμένη τε δὴ τοῦτον τὸν βίον ζώη καὶ τελευτῶσά γε ἐν τῷ καλουμένῳ θανάτῳ ἀπολλύοιτο. διαφέρει δὲ δή, φής, οὐδὲν εἴτε ἅπαξ εἰς σῶμα ἔρχεται εἴτε πολλάκις, πρός γε τὸ ἕκαστον ἡμῶν φοβεῖσθαι· προςήκει γὰρ φοβεῖσθαι, εἰ μὴ ἀνόητος εἴη, τῷ μὴ εἰδότι μηδ' ἔχοντι λόγον διδόναι ὡς ἀθάνατόν ἐστι. τοιαῦτ' ἄττα ἐστίν, οἶμαι, ὦ Κέβης, ἃ E
λέγεις· καὶ ἐξεπίτηδες πολλάκις ἀναλαμβάνω, ἵνα μή τι διαφύγῃ ἡμᾶς, εἴ τέ τι βούλει, προςθῇς ἢ ἀφέλῃς. Καὶ ὁ Κέβης, Ἀλλ' οὐδὲν ἔγωγε ἐν τῷ παρόντι, ἔφη, οὔτ' ἀφελεῖν οὔτε προσθεῖναι δέομαι· ἔστι δὲ ταῦτα ἃ λέγω.

Ὁ οὖν Σωκράτης, συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς ἑαυτόν τι σκεψάμενος, Οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. * ἐγὼ οὖν σοι δίειμι περὶ αὐτῶν, ἐὰν 96
βούλῃ, τά γε ἐμὰ πάθη· ἔπειτα, ἄν τί σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις χρήσει. Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, βούλομαί γε. Ἄκουε τοίνυν ὡς ἐροῦντος.

Ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι, εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω καὶ κάτω
*μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ', ἐπειδὰν τὸ B
θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῶα ξυντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ, ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταὐτὰ γίγνεσθαι ἐπιστήμην. καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν καὶ τὰ περὶ τὸν οὐ*ρανόν τε καὶ C
τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα. τεκμήριον δέ σοι ἐρῶ ἱκανόν· ἐγὼ γὰρ ἃ καὶ πρότερον σαφῶς ἠπιστάμην, ὥς γε ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἐδόκουν, τότε ὑπὸ

afflictum fcilicet hanc vitam vivere tandemque morte fic dicta exftingui. nihil autem, ut dicis, differt, utrum femel in corpus veniat an faepius, ad noftrum cuiusque metum; par eft enim unumquemque, nifi infipiens fit, metuere, quippe qui nefciat nec rationem teneat qua probet immortalem effe animum. haec fere funt, opinor, Cebes, quae dicis, et confulto faepius ea repeto, ut ne quid nobis excidat, et tu, fi quid velis, vel adiicias vel demas.

Atque Socrates, quum diu moratus effet et fecum aliquid reputaffet, Haud leve eft, inquit, Cebes, quod quaeris; omnino enim oportet generationis et interitus caufam pertractari. ego autem tibi, fi vis, quae mihi hoc in genere evenerint, enarrabo; deinde fi quid eorum quae dicturus fum utile tibi vifum erit ad confirmanda ea quae pofuifti, eo uteris. Sane quidem, ait Cebes, ego volo. Audi igitur quae dicturus fum.

Etenim, inquit, Cebes, quum iuvenis effem, mirum me defiderium tenebat eius fapientiae quam vocant naturae rationem. eximium enim mihi videbatur quid effe cognofcere caufas cuiusque rei, de quibus interiret et de quibus effet, et faepius furfum deorfum mentem verfabam, primum hoc quaerens, num, quando calidum et frigidum putrefcerent quodammodo, ut nonnulli dixerant, tum animantia concrefcerent; et utrum fanguis id effet quo cogitaremus, an aër, an ignis, an nihil horum, fed cerebrum fenfus praeberet audiendi et videndi et olfaciendi, et ex his exfifterent memoria et opinio, ex memoria vero et opinione, quum ftabiles factae effent, eodem modo exfifteret fcientia. rurfusque harum rerum interitus perfcrutans et quae tum in caelo tum in terra gererentur, ad extremum tam parum mihi vifus fum ad hanc quaeftionem factus effe, ut nihil minus cogitari poffet. argumentum vero tibi afferam idoneum: ego enim etiam ea quae ante certo cognoveram, ut quidem et mihi et aliis videbar, tum hac

ταύτης τῆς σκέψεως οὕτω σφόδρα ἐτυφλώθην, ὥστε ἀπέμαθον καὶ ταῦτα ἃ πρὸ τοῦ ᾤμην εἰδέναι, περὶ ἄλλων τε πολλῶν καὶ διὰ τί ἄνθρωπος αὐξάνεται· τοῦτο γὰρ ᾤμην πρὸ τοῦ παντὶ δῆλον εἶναι, ὅτι διὰ τὸ ἐσθίειν καὶ πίνειν· ἐπειδὰν * γὰρ ἐκ τῶν σιτίων ταῖς μὲν σαρξὶ σάρκες προς- D
γένωνται, τοῖς δὲ ὀστοῖς ὀστᾶ, καὶ οὕτω κατὰ τὸν αὐτὸν λόγον καὶ τοῖς ἄλλοις τὰ αὐτῶν οἰκεῖα ἑκάστοις προςγένηται, τότε δὴ τὸν ὀλίγον ὄγκον ὄντα ὕστερον πολὺν γεγονέναι, καὶ οὕτω γίγνεσθαι τὸν σμικρὸν ἄνθρωπον μέγαν. οὕτω τότε ᾤμην· οὐ δοκῶ σοι μετρίως; Ἔμοιγε, ἔφη ὁ Κέβης. Σκέψαι δὴ καὶ τάδε ἔτι. ᾤμην γὰρ ἔγωγε ἱκανῶς μοι δοκεῖν, ὁπότε τις φαίνοιτο ἄνθρωπος παραστὰς μέγας σμικρῷ, μείζων εἶναι αὐτῇ *) τῇ κεφαλῇ, καὶ ἵππος ἵππου· καὶ * ἔτι γε τούτων ἐναργέστερα, τὰ δέκα μοι ἐδόκει τῶν E
ὀκτὼ πλείονα εἶναι διὰ τὸ δύο αὐτοῖς προςεῖναι, καὶ τὸ δίπηχυ τοῦ πηχυαίου μεῖζον εἶναι διὰ τὸ ἡμίσει αὐτοῦ ὑπερέχειν. Νῦν δὲ δή, ἔφη ὁ Κέβης, τί σοι δοκεῖ περὶ αὐτῶν; Πόῤῥω που, ἔφη, νὴ Δί᾽ ἐμὲ εἶναι τοῦ οἴεσθαι περὶ τούτων του τὴν αἰτίαν εἰδέναι, ὅς γε οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὡς, ἐπειδὰν ἑνί τις προςθῇ ἕν, ἢ τὸ ἓν ᾧ προςετέθη δύο γέγονεν, ἢ τὸ προςτεθὲν καὶ ᾧ προςετέθη
* διὰ τὴν πρόςθεσιν τοῦ ἑτέρου τῷ ἑτέρῳ δύο ἐγένετο· 97
θαυμάζω γὰρ εἰ, ὅτε μὲν ἑκάτερον αὐτῶν χωρὶς ἀλλήλων ἦν, ἓν ἄρ᾽ ἑκάτερον ἦν καὶ οὐκ ἤστην τότε δύο, ἐπεὶ δ᾽ ἐπλησίασαν ἀλλήλοις, αὕτη ἄρα αὐτοῖς αἰτία ἐγένετο δυοῖν γενέσθαι ἡ ξύνοδος τοῦ πλησίον ἀλλήλων τεθῆναι. οὐδέ γε [ὡς], ἐάν τις ἓν διασχίσῃ, δύναμαι ἔτι πείθεσθαι ὡς αὕτη αὖ αἰτία γέγονεν ἡ σχίσις τοῦ δύο γεγονέναι· ἐναντία γὰρ γίγνεται, ἢ τότε, αἰτία τοῦ δύο γίγνεσθαι· * τότε μὲν γάρ, ὅτι ξυνήγετο πλησίον ἀλλήλων καὶ B
προςετίθετο ἕτερον ἑτέρῳ, νῦν δ᾽, ὅτι ἀπάγεται καὶ χωρίζεται ἕτερον ἀφ᾽ ἑτέρου. οὐδέ γε διότι ἓν γίγνεται ὡς ἐπίσταμαι ἔτι πείθω ἐμαυτόν, οὐδ᾽ ἄλλο οὐδὲν ἑνὶ λόγῳ, διότι γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, κατὰ τοῦτον τὸν

*) ἴσ. αὐτοῦ.

quaeſtione tantopere occaecatus ſum, ut dediſcerem etiam ea, quae ante putaram me ſcire, quum multa alia, tum etiam quanam re homo creſceret; hoc enim putaram ante cuivis perſpicuum eſſe edendo et bibendo effici; quando enim per cibos carnibus carnes et oſſibus oſſa accederent, et ita eadem ratione ceteris quoque id quod cuiusque proprium eſſet, tum corpus quod exiguum fuiſſet poſthac magnum exſiſtere, et ſic fieri parvum hominem magnum. ita tum arbitrabar; nonne tibi videor recte? Mihi vero, ait Cebes. Conſidera dum etiam haec. arbitrabar enim equidem recte mihi videri, ſi quis homo prope ab altero parvo adſtans magnus conſpiceretur, maior illo eſſe capite, itemque equus equo, et, quod illo etiam evidentius eſt, decem mihi videbantur plura eſſe quam octo, quia illi numero duo eſſent adiecta, et bicubitale maius eſſe cubitali, quia dimidio hoc ſuperaret. Nunc vero, ait Cebes, quid tibi videtur de his? Procul, inquit, mehercule mihi abeſſe videor ab opinione hac ut cenſeam horum alicuius cauſam tenere, ut qui ne hoc quidem aſſentiri mihi poſſim, ſi quis uni addat unum, vel unum illud, cui additum ſit, duo factum eſſe, vel id quod additum et id cui additum ſit, per additionem alterius ad alterum duo facta eſſe; admiror enim quid ſit quod, quum unumquodque eorum ſeparatum ab altero eſſet, unum fuerit utrumque, non duo fuerint, quum vero coiſſent, hoc effecerit ut duo fierent, ille videlicet congreſſus quo inter ſe coiſſent. neque etiam ſi quis unum diviſerit, poſſum mihi perſuadere hanc diviſionem effeciſſe ut duo fierent; contraria enim, ac tum, cauſa exſiſtit ob quam duo fiunt: tum enim duo fiebant, quia coniungebantur inter ſe et alterum alteri addebatur, nunc vero duo fiunt, quia disiungitur ac ſeparatur alterum ab altero. neque etiam quomodo unum fiat, me ſcire iam mihi perſuadeo, neque, ut uno verbo dicam, quam ob cauſam quicquam fiat vel intereat vel ſit, ex hac quidem inveſtigationis

τρόπον τῆς μεθόδου, ἀλλά τιν' ἄλλον τρόπον αὐτὸς εἰκῆ φύρω, τοῦτον δὲ οὐδαμῆ προςίεμαι. ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινός, ὡς ἔφη, 'Αναξαγόρου ἀναγιγνώσκοντος καὶ λέγοντος, ὡς * ἄρα νοῦς ἐστὶν ὁ διακοσμῶν τε καὶ πάντων C
αἴτιος, ταύτῃ ἤδη *) τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ, ὅπῃ ἂν βέλτιστα ἔχῃ· εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστὶν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν· ἐκ δὲ δὴ τοῦ λό*γου τούτου οὐδὲν ἄλλο σκοπεῖν D
προςήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον· ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. ταῦτα δὴ λογιζόμενος ἄσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν 'Αναξαγόραν, καί μοι φράσειν πρῶτον μέν, πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη, ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγή*σεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέ- E
γοντα τὸ ἄμεινον καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαίνοιτο, παρεσκευάσμην * ὡς οὐκέτι ὑποθησόμενος **) αἰτίας ἄλλο εἶ- 98
δος. καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευάσμην ὡςαύτως πευσόμενος καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα καὶ τροπῶν καὶ τῶν ἄλλων παθημάτων, πῇ ποτὲ ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν ἃ πάσχει. οὐ γὰρ ἄν ποτε αὐτὸν ᾤμην, φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τινὰ αὐτοῖς αἰτίαν ἐπενεγκεῖν, ἢ ὅτι βέλτιστον αὐτὰ οὕτως ἔχειν ἐστὶν ὥςπερ ἔχει· ἑκάστῳ οὖν αὐ*τὸν ***) ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ B

---

*) ἄλλ. δή.

**) ἴσ. προςησόμενος.

***) ἄλλ. αὐτῶν.

ratione, ſed aliam quandam rationem, utcumque ſuccedet, ipſe concinnare ſtudeo, hanc vero nequaquam admitto. attamen quum audirem aliquando quendam e libro, ut dicebat, Anaxagorae legentem et hoc proferentem, mentem eſſe quae res in ordinem adduceret omniaque efficeret, hac iam cauſa delectabar et bene quodammodo ſe habere mihi videbatur, quod mens eſſet omnium cauſa, atque arbitrabar, ſi hoc ita ſe haberet, mentem disponentem unumquodque ita disponere ac collocare, ut optimum eſſet; quodſi quis vellet cauſam indagare ob quam quidque naſceretur vel interiret vel eſſet, hoc eum debere indagare, quomodo optimum illi eſſet vel eſſe vel aliud quid pati vel agere; atque ex hac ratione nihil aliud oportere hominem et de ſe et de reliquis rebus quaerere, niſi id quod convenientiſſimum et optimum eſſet; fieri enim non poſſe, quin hic idem etiam deterius cognoſceret, propterea quod eadem eſſet utriusque cognitio. haec igiter mecum reputans laetus me inveniſſe arbitrabar qui cauſas rerum me doceret, ut mens mea deſideraret, Anaxagoram, eumque primo mihi dicturum eſſe, utrum terra lata eſſet an globoſa, et hoc expoſito, etiam cauſam et neceſſitatem explicaturum eſſe, id quod melius eſſet afferentem, quia videlicet melius eſſet ita eam ſe habere, et ſi eam in medio eſſe mundo diceret, etiam explicaturum, quare melius eſſet in medio eam eſſe; quodſi haec mihi declaraſſet, ſtatutum habebam cum animo, nullum amplius admittere cauſae genus. atque etiam de ſole ita ſtatueram quaerere et de luna reliquisque ſtellis, ratione celeritatis qua inter ſe ferrentur, converſionum reliquarumque affectionum, quo tandem modo melius ſit quamque et facere et pati ea quae pateretur. numquam enim arbitrabar fore ut, quum dixiſſet a mente illa disponi, aliam ullam iis cauſam attribueret niſi hanc, quod optimum eſſet ita ſe illa habere ut ſe haberent; quocirca, unicuique et communiter omnibus quum cauſae loco

πᾶσι τὸ ἑκάστῳ βέλτιστον ᾤμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεκ-
διηγήσεσθαι ἀγαθόν· καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλ-
πίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους, ὡς τάχιστα
οἷός τ᾽ ἦ, ἀνεγίγνωσκον, ἵν᾽ ὡς τάχιστα εἰδείην τὸ βέλτι-
στον καὶ τὸ χεῖρον. ἀπὸ δὴ θαυμαστῆς, ὦ ἑταῖρε, ἐλπίδος
ᾠχόμην φερόμενος, ἐπειδὴ προϊὼν καὶ ἀναγιγνώσκων ὁρῶ
ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαι-
τιώμενον εἰς τὸ δια*κοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰ- C
θέρας καὶ ὕδατα αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα·
καί μοι ἔδοξεν ὁμοιότατον πεπονθέναι, ὥςπερ ἂν εἴ τις
λέγων ὅτι Σωκράτης πάντα ὅσα πράττει νῷ πράττει, κἄπει-
τα, ἐπιχειρήσας λέγειν τὰς αἰτίας ἑκάστων ὧν πράττω, λέ-
γοι πρῶτον μέν, ὅτι διὰ ταῦτα νῦν ἐνθάδε κάθημαι, ὅτι
ξύγκειταί μου τὸ σῶμα ἐξ ὀστῶν καὶ νεύρων, καὶ τὰ μὲν
ὀστᾶ ἐστὶ στεῤῥὰ καὶ διαφυὰς ἔχει χωρὶς ἀπ᾽ ἀλλήλων, τὰ
δὲ νεῦρα οἷα ἐπιτείνεσθαι * καὶ ἀνίεσθαι, περιαμπέχοντα D
τὰ ὀστᾶ μετὰ τῶν σαρκῶν καὶ δέρματος, ὃ ξυνέχει αὐτά·
αἰωρουμένων οὖν τῶν ὀστῶν ἐν ταῖς αὑτῶν ξυμβολαῖς, χα-
λῶντα καὶ ξυντείνοντα τὰ νεῦρα κάμπτεσθαί που ποιεῖ οἷόν
τ᾽ εἶναι ἐμὲ νῦν τὰ μέλη, καὶ διὰ ταύτην τὴν αἰτίαν ξυγ-
καμφθεὶς ἐνθάδε κάθημαι· καὶ αὖ περὶ τοῦ διαλέγεσθαι
ὑμῖν ἑτέρας τοιαύτας αἰτίας λέγοι, φωνάς τε καὶ ἀέρας καὶ
ἀκοὰς καὶ ἄλλα μυρία τοιαῦτα αἰτιώμενος, ἀμελήσας τὰς
ὡς ἀ*ληθῶς αἰτίας λέγειν ὅτι, ἐπειδὴ Ἀθηναίοις ἔδοξε βέλ- E
τιον εἶναι ἐμοῦ καταψηφίσασθαι, διὰ ταῦτα δὴ καὶ ἐμοὶ
βέλτιον αὖ δέδοκται ἐνθάδε καθῆσθαι, καὶ δικαιότερον πα-
ραμένοντα ὑπέχειν τὴν δίκην ἣν ἂν κελεύσωσιν· ἐπεὶ νὴ
τὸν κύνα, ὡς ἐγῷμαι, πάλαι ἂν * ταῦτα τὰ νεῦρά τε καὶ 99
τὰ ὀστᾶ ἢ περὶ Μέγαρα ἢ Βοιωτοὺς ἦν, ὑπὸ δόξης φερό-
μενα τοῦ βελτίστου, εἰ μὴ δικαιότερον ᾤμην καὶ κάλ-
λιον εἶναι πρὸ τοῦ φεύγειν τε καὶ ἀποδιδράσκειν ὑπέ-
χειν τῇ πόλει δίκην ἥντιν᾽ ἂν τάττῃ. ἀλλ᾽ αἴτια μὲν τὰ
τοιαῦτα καλεῖν λίαν ἄτοπον· εἰ δέ τις λέγοι ὅτι ἄνευ
τοῦ τὰ τοιαῦτα ἔχειν, καὶ ὀστᾶ καὶ νεῦρα καὶ ὅσα ἄλλα
ἔχω, οὐκ ἂν οἷός τ᾽ ἦ ποιεῖν τὰ δόξαντά μοι, ἀλη-
θῆ ἂν λέγοι· ὡς μέντοι διὰ ταῦτα ποιῶ ἃ ποιῶ,

posuisset id quod cuique optimum esset, arbitrabar ipsum etiam commune omnibus bonum expositurum esse, nec pecunia grandi vendidissem spes meas, sed cupidissime sumens libros quam velocissime poteram legi, ut quam celerrime cognoscerem quid optimum esset, quid deterius. hac vero mirifica spe, o amice, statim deturbatus sum, quum progrediens ac legens viderem virum mente nihil utentem nec ullam rerum disponendarum causam ei attribuentem, sed aëres et aetheras et aquas aliaque multa inepta pro causis habentem; et videbatur mihi perinde agere ac si quis poneret, Socratem quicquid faceret id mente facere, deinde, causas allaturus singulorum quae facerem, diceret primum, propterea me nunc hic sedere, quod constaret corpus meum ex ossibus ac nervis; ossa videlicet esse rigida et inter se incisa, nervos vero posse intendi et remitti, circumdantes ossa cum carnibus et cute, quae contineret illa; ossa igitur quum in commissuris suspensa essent, remittentes et intendentes nervos efficere ut flectere nunc possem membra, et hanc ob causam inflexum me hic sedere; itemque si colloquendi cum vobis similes quasdam afferret causas, voces, aëres, auditus alia innumerabilia generis eiusdem pro causis habens et omittens veras afferre causas, quod, quia Atheniensibus visum esset melius me condemnari, iccirco mihi quoque melius visum esset hic sedere atque iustius manentem poenas quas repetituri essent persolvere; alioqui per canem, ut opinor, diu iam hi nervi et ossa vel apud Megarenses vel Boeotos essent, ab eius quod optimum videretur opinione abrepta, nisi iustius censuissem atque honestius esse non elabi et aufugere, sed urbi poenam quamcumque constitutura esset persolvere. eiusmodi vero causas afferre valde absurdum est; si quis autem dicat, nisi talia haberem, velut ossa, nervos et quaecumque alia habeo, fieri non posse ut haec facerem quae mihi visa essent, verum dixerit; hoc autem dicere, propter illa me facere quae

καὶ ταύτῃ νῷ πράττω *), ἀλλ' οὐ τῇ τοῦ βελ*τίστου αἱρέσει, B
πολλὴ ἂν καὶ μακρὰ ῥᾳθυμία εἴη τοῦ λόγου· τὸ γὰρ μὴ
διελέσθαι οἷόν τ' εἶναι ὅτι ἄλλο μέν τί ἐστι τὸ αἴτιον τῷ
ὄντι, ἄλλο δ' ἐκεῖνο, ἄνευ οὗ τὸ αἴτιον οὐκ ἄν ποτ' εἴη
αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ ὥσπερ ἐν
σκότῳ, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ
προσαγορεύειν. διὸ δὴ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ
γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ ποιεῖ τὴν γῆν, ὁ δὲ ὥσπερ
καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει· τὴν δὲ τοῦ ὡς
οἷόν τε * βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, C
ταύτην οὔτε ζητοῦσιν οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν
ἔχειν, ἀλλὰ ἡγοῦνται τούτου ἄν ποτε Ἄτλαντα ἰσχυρότερον
καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα ξυνέχοντα ἐξευρεῖν,
καὶ ὡς ἀληθῶς τἀγαθὸν καὶ δέον ξυνδεῖν καὶ ξυνέχειν οὐ-
δὲν οἴονται **). ἐγὼ μὲν οὖν τῆς τοιαύτης αἰτίας ὅπῃ ποτὲ
ἔχει μαθητὴς ὁτουοῦν ἥδιστ' ἂν γενοίμην· ἐπειδὴ δὲ ταύτης
ἐστερήθην καὶ οὔτ' αὐτὸς εὑρεῖν οὔτε παρ' ἄλλου μαθεῖν
οἷός τε ἐγενόμην, τὸν δεύ*τερον πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζή- D
τησιν ᾗ πεπραγμάτευμαι, βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσω-
μαι, ὦ Κέβης; Ὑπερφυῶς μὲν οὖν, ἔφη, ὡς βούλομαι. Ἔδο-
ξε τοίνυν μοι, ἦ δ' ὅς, μετὰ ταῦτα, ἐπειδὴ ἀπείρηκα τὰ
ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι, μὴ πάθοιμι ὅπερ οἱ τὸν
ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι ***)· δια-
φθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἢ
τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐ*τοῦ. τοιοῦτόν τι καὶ E
ἐγὼ διενοήθην καὶ ἔδεισα, μὴ παντάπασι τὴν ψυχὴν τυφλω-
θείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν
αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. ἔδοξε δή μοι χρῆναι
εἰς τοὺς λόγους καταφυγόντα ἐν ἐκείνοις σκοπεῖν τῶν ὄντων
τὴν ἀλήθειαν. ἴσως μὲν οὖν, ᾧ ****) εἰκάζω, τρόπον τινὰ οὐκ
ἔοικεν· * οὐ γὰρ πάνυ ξυγχωρῶ τὸν ἐν τοῖς λόγοις σκοπούμε- 100
νον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν, ἢ τὸν ἐν τοῖς ἔργοις·

---

*) ἴσ. καὶ ταῦτα νῷ πράττων.

**) ἴσ. τὸ δὲ ὡς ἀληθῶς δέον ξυνδεῖν καὶ ξυνέχειν οὐδὲν οἴονται.

) ἄλλ. σκοπούμενοι πάσχουσι. *) ἄλλ. ὡς.

faciam, et quidem mente agentem, non ex eius quod optimum ſit optione, hominis fuerit ſane quam ſocordis; nam distinguere non poſſe aliud eſſe veram cauſam, aliud vero id, ſine quo cauſa numquam poſſit cauſa eſſe! quod quidem mihi videntur plerique, contrectantes quaſi in tenebris, alieno nomine ipſam nuncupare cauſam. quo etiam fit ut alius, turbinem circumdans terrae quo caelum eam vertat, fixam eam manere ſtatuat, alius ei, tamquam mactrae latae, aërem fundamenti loco ſubiiciat; vim autem eam, qua ita illa poſita ſint uti optime poni potuerint, neque quaerunt neque divinum quoddam eam robur habere arbitrantur, ſed Atlantem cenſent illa robuſtiorem, magis immortalem fortiusque omnia continentem aliquando ſe inventuros eſſe, id autem quod vere nectit nihil connectere ac continere exiſtimant. equidem, quae huiusmodi cauſae ratio eſſet, perlibenter a quolibet didiciſſem; quod quum mihi non obtigiſſet, eamque neque ipſe invenire neque ab alio diſcere potuiſſem, alteram tentavi navigationem ad cauſam indagandam, in quam quomodo incubuerim vis tibi, inquit, oſtentem, Cebes? Mirum quam volo, ait ille. Exiſtimavi igitur, inquit, poſthac, quum in rebus conſiderandis ſuccubuiſſem, cavendum eſſe, ne idem mihi accideret quod iis uſu veniret qui ſolem deficientem intuerentur ac conſiderarent; amittunt enim nonnulli adſpectum, niſi in aqua vel alia eiusmodi re contemplantur illius imaginem. tale quid ego quoque reputavi atque timui ne omnino mens mihi occaecaretur, ſi res adſpicerem oculis et quovis ſenſu eas attingere conarer, ſed exiſtimavi ad rationes mihi confugiendum et in his rerum veritatem conſiderandam eſſe. fortaſſe quidem ſimili illo quod poſui non ſatis id convenit; nequaquam enim aſſentior, qui res in rationibus perſcrutetur, eum magis in imaginibus eas

ἀλλ' οὖν δὴ ταύτῃ γε ὥρμησα, καὶ ὑποθέμενος ἑκάστοτε λόγον ὃν ἂν κρίνω ἐῤῥωμενέστατον εἶναι, ἃ μὲν ἄν μοι δοκῇ τούτῳ ξυμφωνεῖν, τίθημι ὡς ἀληθῆ ὄντα, καὶ περὶ αἰτίας καὶ περὶ τῶν ἄλλων ἁπάντων, ἃ δ' ἂν μή, ὡς οὐκ ἀληθῆ. βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω· οἶμαι γάρ σε νῦν οὐ μανθάνειν. Οὐ μὰ τὸν Δί', ἔφη ὁ Κέβης, οὐ σφόδρα. Ἀλλ', ἦ δ' ὅς, ὧδε * λέγω *), οὐδὲν καινόν, ἀλλ' ἅπερ ἀεὶ B
καὶ **) ἄλλοτε καὶ ἐν τῷ παρεληλυθότι λόγῳ οὐδὲν πέπαυμαι λέγων. ἔρχομαι γὰρ δὴ ἐπιχειρῶν σοι ἐπιδείξασθαι τῆς αἰτίας τὸ εἶδος ὃ πεπραγμάτευμαι, καὶ εἶμι πάλιν ἐπ' ἐκεῖνα τὰ πολυθρύλλητα καὶ ἄρχομαι ἀπ' ἐκείνων, ὑποθέμενος εἶναί τι καλὸν αὐτὸ καθ' αὑτὸ καὶ ἀγαθὸν καὶ μέγα καὶ τἄλλα πάντα· ἃ εἴ μοι δίδως τε καὶ ξυγχωρεῖς εἶναι ταῦτα, ἐλπίζω σοι ἐκ τούτων τήν τε αἰτίαν ἐπιδείξειν καὶ ἀνευρήσειν, ὡς ἀθάνατον ἡ ψυχή. Ἀλλὰ μήν, ἔφη ὁ * Κέβης, C
ὡς διδόντος σοι, οὐκ ἂν φθάνοις περαίνων. Σκόπει δή, ἔφη, τὰ ἑξῆς ἐκείνοις, ἐάν σοι ξυνδοκῇ ὥσπερ ἐμοί. φαίνεται γάρ μοι, εἴ τί ἐστιν ἄλλο καλὸν πλὴν αὐτὸ τὸ καλόν, οὐδὲ δι' ἓν ἄλλο καλὸν εἶναι, ἢ διότι μετέχει ἐκείνου τοῦ καλοῦ· καὶ πάντα δὴ οὕτω λέγω. τῇ τοιᾷδε αἰτίᾳ ξυγχωρεῖς; Ξυγχωρῶ, ἔφη. Οὐ τοίνυν, ἦ δ' ὅς, ἔτι μανθάνω οὐδὲ δύναμαι τὰς ἄλλας αἰτίας τὰς σοφὰς ταύτας γιγνώσκειν, ἀλλ' ἐάν τίς μοι λέγῃ, διότι καλόν ἐστιν ὁτιοῦν, ἢ ὅτι χρῶμα εὐανθὲς ἔ*χον ἢ σχῆμα ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, τὰ μὲν ἄλλα D
χαίρειν ἐῶ, (ταράττομαι γὰρ ἐν τοῖς ἄλλοις πᾶσι), τοῦτο δὲ ἁπλῶς καὶ ἀτέχνως καὶ ἴσως εὐήθως ἔχω παρ' ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία εἴτε κοινωνία εἴτε ὅπῃ δὴ καὶ ὅπως προσγενομένη ***)· οὐ γὰρ ἔτι τοῦτο διϊσχυρίζομαι, ἀλλ' ὅτι τῷ καλῷ πάντα τὰ καλὰ γίγνεται καλά. τοῦτο γάρ μοι δοκεῖ ἀσφαλέστατον εἶναι καὶ ἐμαυτῷ ἀποκρίνασθαι καὶ ἄλλῳ, καὶ τούτου ἐχόμενος ἡγοῦμαι οὐκ ἄν * ποτε πεσεῖν, ἀλλ' ἀσφαλὲς E

---

*) ἴσ. ὅ τι λέγω.

**) ἄλλ. ἀεί τε ἄλλοτε.

***) ἴσ. προσγενομένου.

considerare, quam qui reapse eas conspiciat; verumtamen hanc viam ingressus sum et ponens semper rationem quam existimo validissimam, ea quae mihi videntur huic consentire sumo vera esse, sive ad causas sive ad alia quaecumque spectant, quae vero discrepare videntur, ea falsa esse iudico. volo autem tibi apertius dicere quae sentio; puto enim te nondum intelligere. Non satis mehercule, ait Cebes. Ita vero, inquit, dico idque nihil novi, sed quod quum semper alias tum in superiore disputatione non est desitum a me dici aggredior igitur tibi demonstrare illud causae genus quod studiose tractavi, et redeo ad pervulgata illa ab iisque exordior ponens esse aliquid pulchrum per se ipsum et bonum et magnum et reliqua omnia; quae si mihi das et concedis esse, spero tibi ex his causam demonstrare atque invenire, cur animum oporteat immortalem existimari. Equidem, ait Cebes, id tibi do: tu quin perficis? Perpende igitur, inquit, quae deinceps sequuntur, num idem tibi de his videatur quod mihi. persuasum est enim mihi, si quid aliud pulchrum sit praeter ipsum pulchrum, hoc nullam aliam ob causam pulchrum esse, nisi quod illius pulchri particeps sit; et de omnibus sic statuo. huiusmodi causam num concedis? Concedo vero, ait. Neque igitur, inquit, amplius intelligo neque possum ceteras causas argutas illas agnoscere, sed si quis dicit, quamobrem quidque pulchrum sit, quia vel colorem habeat floridum vel formam vel aliud quid generis eiusdem, cetera missa facio (perturbor enim his omnibus), hoc vero simpliciter, tenuiter et fortasse imperite apud me teneo, nihil aliud facere hanc rem pulchram nisi pulchri illius sive praesentiam sive communionem sive qualemcumque accessionem; id enim iam pro certo non affirmo, sed hoc, ipso pulchro omnia pulchra fieri pulchra; hoc enim mihi videtur tutissimum esse et mihi respondere et alteri, atque huic adhaerescens puto numquam fore ut labar, sed tutum

εἶναι καὶ ἐμοὶ καὶ ὁτῳοῦν ἄλλῳ ἀποκρίνασθαι, ὅτι τῷ κα-
λῷ τὰ καλὰ γίγνεται καλά· ἢ οὐ καὶ σοὶ δοκεῖ; Δοκεῖ.
Καὶ μεγέθει ἄρα τὰ μεγάλα μεγάλα καὶ τὰ μείζω μείζω,
καὶ σμικρότητι τὰ ἐλάττω ἐλάττω. Ναί. Οὐδὲ σὺ ἄρ' ἂν
ἀποδέχοιο, εἴ τίς τινα φαίη ἕτερον ἑτέρου τῇ κεφαλῇ μείζω
εἶναι καὶ τὸν ἐλάττω τῷ αὐτῷ τούτῳ ἐλάττω, * ἀλλὰ δια- 101
μαρτύροιο ἂν ὅτι σὺ μὲν οὐδὲν ἄλλο λέγεις, ἢ ὅτι τὸ μὲν
μεῖζον πᾶν ἕτερον ἑτέρου οὐδενὶ ἄλλῳ μεῖζόν ἐστιν ἢ μεγέ-
θει, καὶ διὰ τοῦτο μεῖζον, διὰ τὸ μέγεθος, τὸ δὲ ἔλαττον
οὐδενὶ ἄλλῳ ἔλαττον ἢ σμικρότητι, καὶ διὰ τοῦτο ἔλαττον,
διὰ τὴν σμικρότητα, φοβούμενος, οἶμαι, μή τίς σοι ἐναν-
τίος λόγος ἀπαντήσῃ, ἐὰν τῇ κεφαλῇ μείζονά τινα φῇς εἶ-
ναι καὶ ἐλάττω, πρῶτον μὲν τῷ αὐτῷ τὸ μεῖζον μεῖζον εἶ-
ναι καὶ τὸ ἔλαττον ἔλαττον, ἔπειτα τῇ κεφαλῇ σμικρᾷ οὔσῃ
τὸν μείζω * μείζω εἶναι, καὶ τοῦτο δὴ τέρας εἶναι, τὸ B
σμικρῷ τινὶ μέγαν τινὰ εἶναι· ἢ οὐκ ἂν φοβοῖο ταῦτα;
Καὶ ὁ Κέβης γελάσας, Ἔγωγε, ἔφη. Οὐκοῦν, ἦ δ' ὅς, τὰ
δέκα τῶν ὀκτὼ δυοῖν πλείω εἶναι, καὶ διὰ ταύτην τὴν αἰ-
τίαν ὑπερβάλλειν, φυβοῖο ἂν λέγειν, ἀλλὰ μὴ πλήθει καὶ
διὰ τὸ πλῆθος, καὶ τὸ δίπηχυ τοῦ πηχυαίου ἡμίσει μεῖζον
εἶναι, ἀλλ' οὐ μεγέθει; ὁ αὐτὸς γάρ που φόβος. Πάνυ
γε, ἔφη. Τί δέ; ἑνὶ ἑνὸς προστεθέντος, τὴν πρόσθεσιν
αἰτίαν εἶναι τοῦ δύο γενέσθαι, ἢ διασχισθέντος, τὴν σχί-
σιν * οὐκ εὐλαβοῖο ἂν λέγειν, καὶ μέγα ἂν βοῴης, ὅτι C
οὐκ οἶσθα ἄλλως πως ἕκαστον γιγνόμενον, ἢ μετασχὸν
τῆς ἰδίας οὐσίας ἑκάστου οὗ ἂν μετάσχῃ, καὶ ἐν τού-
τοις οὐκ ἔχεις ἄλλην τινὰ αἰτίαν τοῦ δύο γενέσθαι, ἀλλ'
ἢ τὴν τῆς δυάδος μετάσχεσιν, καὶ δεῖν τούτου μετα-
σχεῖν τὰ μέλλοντα δύο ἔσεσθαι, καὶ μονάδος ὃ ἂν μέλ-
λῃ ἓν ἔσεσθαι, τὰς δὲ σχίσεις ταύτας καὶ προσθέσεις
καὶ τὰς ἄλλας τὰς τοιαύτας κομψείας ἐῴης ἂν χαίρειν,
παρεὶς ἀποκρίνασθαι τοῖς σεαυτοῦ σοφωτέροις, σὺ δὲ
δεδιὼς ἄν, τὸ λεγό*μενον, τὴν σαυτοῦ σκιὰν καὶ τὴν D
ἀπειρίαν, ἐχόμενος ἐκείνου τοῦ ἀσφαλοῦς τῆς ὑποθέσεως,

esse et mihi et aliis quibuscumque respondere; pulchro res pulchras fieri pulchras; an tibi quoque videtur? Videtur vero. Itaque etiam magnitudine res magnas fieri magnas et maiores maiores, et parvitate res parvas fieri parvas. Ita. Neque tu ergo assentieris, si quis dixerit alterum altero esse capite maiorem, et minorem eodem hoc capite minorem, sed pro certo affirmabis te quidem nihil aliud intelligere nisi, quodvis maius alterum altero nulla alia re esse maius quam magnitudine, et propterea esse maius, propter magnitudinem, minus vero nulla ulla re esse minus nisi parvitate, et propterea esse minus, propter parvitatem, verens, opinor, ne qua repugnans tibi occurrat ratio, si capite dicas aliquem maiorem esse et minorem, primum, uno et eodem maiorem rem esse maiorem et minorem minorem, deinde, capite, re parva, maiorem hominem esse maiorem, et hoc scilicet monstrum esse, re quapiam parva magnum quempiam esse: an hoc vereberis? Atque Cebes subridens, Ego vero, inquit. Nonne, inquit, etiam dubitabis dicere decem duobus plura esse quam octo et hanc ob causam superare, non numero et propter numerum, et bicubitale dimidio maius esse quam cubitale, non magnitudine? eandem enim, puto, hoc dubitationem habet. Sane quidem, inquit. Quid? si unum uni additur, additionem esse causam cur duo fiant, vel si dividitur, divisionem, hoc dicere nonne vereberis multumque clamabis, te nescire, quonam alio pacto quicquam fiat, nisi communione propriae naturae cuiusque rei cuius particeps fiat, nec his locis te aliam tenere causam, cur duo fiant, nisi binarii numeri communionem, eiusque debere participia esse quaecumque duo futura sint, et unitatis quicquid unum sit futurum, divisiones vero illas et additiones aliasque id genus delicias missas facies, tradens eas te sapientioribus ad respondendum, tu vero, metuens, ut aiunt, tuam ipse umbram atque imperitiam, respondebis ita ut tutae illi

οὕτως ἀποκρίναιο ἄν; εἰ δέ τις αὐτῆς τῆς *) ὑποθέσεως
ἔχοιτο, χαίρειν ἐῴης ἂν καὶ οὐκ ἀποκρίναιο, ἕως ἂν τὰ ἀπ'
ἐκείνης ὁρμηθέντα σκέψαιο, εἴ σοι ἀλλήλοις ξυμφωνεῖ ἢ
διαφωνεῖ; ἐπειδὴ δὲ ἐκείνης αὐτῆς δέοι σε διδόναι λόγον,
ὡςαύτως ἂν διδοίης, ἄλλην αὖ ὑπόθεσιν ὑποθέμενος, ἥτις
τῶν ἄνωθεν βελτίστη φαίνοιτο, ἕως ἐπί τι ἱκανὸν ἔλθοις·
ἅμα δὲ * οὐκ ἂν φύροιο, ὥςπερ οἱ ἀντιλογικοί, περί τε E
τῆς ἀρχῆς διαλεγόμενος καὶ τῶν ἐξ ἐκείνης ὡρμημένων, εἴ-
περ βούλοιό τι τῶν ὄντων εὑρεῖν; ἐκείνοις μὲν γὰρ ἴσως
οὐδὲ εἷς περὶ τούτου λόγος οὐδὲ φροντίς· ἱκανοὶ γὰρ ὑπὸ
σοφίας ὁμοῦ πάντα κυκῶντες ὅμως δύνασθαι αὐτοὶ αὑτοῖς
ἀρέσκειν· σὺ δ', εἴπερ εἶ τῶν φιλο*σόφων, οἶμαι, ἂν ὡς 102
ἐγὼ λέγω ποιοῖς. Ἀληθέστατα, ἔφη, λέγεις, ὅ τε Σιμμίας
ἅμα καὶ ὁ Κέβης.

ΕΧ. Νὴ Δία, ὦ Φαίδων, εἰκότως γε· θαυμαστῶς γάρ μοι δοκεῖ ὡς ἐναργῶς τῷ καὶ σμικρὸν νοῦν ἔχοντι εἰπεῖν ἐκεῖνος ταῦτα.

ΦΑΙΔ. Πάνυ μὲν οὖν, ὦ Ἐχέκρατες, καὶ πᾶσι τοῖς παροῦσιν ἔδοξεν.

ΕΧ. Καὶ γὰρ ἡμῖν τοῖς ἀποῦσι, νῦν δὲ ἀκούουσιν. ἀλλὰ τίνα δὴ ἦν τὰ μετὰ ταῦτα λεχθέντα;

ΦΑΙΔ. Ὡς μὲν ἐγὼ οἶμαι, ἐπεὶ αὐτῷ ταῦτα ξυνεχω-
ρήθη καὶ ὡμολογεῖτο, εἶναί τι ἕκαστον * τῶν εἰδῶν καὶ τού- B
των τἆλλα μεταλαμβάνοντα αὐτῶν τούτων τὴν ἐπωνυμίαν
ἴσχειν, τὸ δὴ μετὰ ταῦτα ἠρώτα Εἰ δή, ἦ δ' ὅς, ταῦτα
οὕτω λέγεις, ἆρ' οὐχ, ὅταν Σιμμίαν Σωκράτους φῇς μείζω
εἶναι, Φαίδωνος δὲ ἐλάττω, λέγεις τότ' εἶναι ἐν τῷ Σιμμίᾳ
ἀμφότερα, καὶ μέγεθος καὶ σμικρότητα; Ἔγωγε. Ἀλλὰ γάρ,
ἦ δ' ὅς, ὁμολογεῖς τὸ τὸν Σιμμίαν ὑπερέχειν Σωκράτους
οὐχ, ὡς τοῖς ῥήμασι λέγεται, οὕτω καὶ τὸ ἀληθὲς ἔχειν· οὐ
γάρ που πεφυκέναι Σιμμίαν ὑπερέχειν τούτῳ * τῷ Σιμμίαν C
εἶναι, ἀλλὰ τῷ μεγέθει ὃ τυγχάνει ἔχων, οὐδ' αὖ Σω-
κράτους ὑπερέχειν, ὅτι Σωκράτης ὁ Σωκράτης ἐστίν, ἀλλ'
ὅτι σμικρότητα ἔχει ὁ Σωκράτης πρὸς τὸ ἐκείνου μέγε-

---

*) ἴσ. ἄλλης τινός.

ſumptioni adhaereſcas? ſin quis alii cuidam ſumptioni adhaereſcat, eum valere iubebis nec reſpondebis, donec ea quae ex illa conſequantur conſideraveris, num inter ſe conſentiant an discrepent? et ſi illius ipſius te oporteat rationem afferre, ita eam afferes, ut aliam ſumptionem ponas quae ex altioribus optima videatur, donec ad aliquid perveneris quod ſatisfaciat; nec vero omnia confundes, ut contentioſi disputatores, ſimul de principio disſerens et de conſequentibus eius, ſiquidem aliquid veri volueris reperire? illis enim nullus profecto de hoc ſermo eſt nullaque cogitatio: poſſunt ſcilicet pro ſapientia ſua omnia ſimul commiſcere et ſibi tamen ipſis placere: tu autem, ſi es in philoſophis, ita, opinor, ut dico, facies. Veriſſima, inquit, dicis, Simmias cum Cebete.

Ech. Et id quidem, mehercule, Phaedo, merito; nam ille mihi videtur mirum quam perſpicue etiam hebetiori haec expoſuiſſe.

Phaed. Ita, Echecrate, etiam omnibus praesentibus viſum eſt.

Ech. Et nobis quoque absentibus, nunc vero audientibus. at quaenam deinde dicta ſunt?

Phaed. Quantum equidem memini, poſtquam ipſi haec conceſſa erant et inter nos convenerat, unamquamque formarum eſſe et quae illarum participia eſſent, ab his ipſis nominari, deinceps interrogans Quodſi, inquit, haec ita dicis, nonne, ſi Simmiam Socrate ais maiorem eſſe, Phaedone autem minorem, dicis tum eſſe in Simmia utrumque, et magnitudinem et parvitatem? Ego vero. At vero, inquit, concedis, hoc, quod Simmias ſuperet Socratem, non, ut ad verbum dicitur, ita quoque reapſe eſſe; neque enim ita comparatum eſſe Simmiam ut ſuperet propterea quod Simmias ſit, ſed propter magnitudinem quam habeat, neque etiam ut Socratem ſuperet propterea quod Socrates ſit Socrates, ſed quod parvitatem habet Socrates ad illius magnitudi-

θος. Ἀληθῆ. Οὐδέ γε αὖ ὑπὸ Φαίδωνος ὑπερέχεσθαι
τῷ ὅτι Φαίδων ὁ Φαίδων ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει ὁ Φαί-
δων πρὸς τὴν Σιμμίου σμικρότητα. Ἔστι ταῦτα. Οὕτως
ἄρα ὁ Σιμμίας ἐπωνυμίαν ἔχει σμικρός τε καὶ μέγας εἶναι,
ἐν μέσῳ ὢν ἀμφοτέρων, τοῦ μὲν τῷ μεγέθει ὑπερέχειν τὴν
σμι*κρότητα ὑπερέχων, τῷ δὲ τὸ μέγεθος τῆς σμικρότητος D
παρέχων ὑπερέχον *). Καὶ ἅμα μειδιάσας Ἔοικα, ἔφη, καὶ
ξυγγραφικῶς ἐρεῖν, ἀλλ' οὖν ἔχει γέ που ὡς λέγω. Ξυνέφη.
Λέγω δὲ τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοί, ὅπερ ἐμοί·
ἐμοὶ γὰρ φαίνεται οὐ μόνον αὐτὸ τὸ μέγεθος οὐδέποτ' ἐθέλειν
ἅμα μέγα καὶ σμικρὸν εἶναι, ἀλλὰ καὶ τὸ ἐν ἡμῖν μέγεθος οὐ-
δέποτε προςδέχεσθαι τὸ σμικρὸν οὐδ' ἐθέλειν ὑπερέχεσθαι,
ἀλλὰ δυεῖν τὸ ἕτερον, ἢ φεύγειν καὶ ὑπεκχωρεῖν, ὅταν αὐτῷ
*προςίῃ τὸ ἐναντίον, τὸ σμικρόν, ἢ προςελθόντος ἐκείνου E
ἀπολωλέναι· ὑπομένον δὲ καὶ δεξάμενον τὴν σμικρότητα οὐκ
ἐθέλειν εἶναι ἕτερον, ἢ ὅπερ ἦν· ὥςπερ ἐγώ, δεξάμενος καὶ
ὑπομείνας τὴν σμικρότητα καὶ ἔτι ὢν ὅςπερ εἰμί, οὗτος ὁ αὐ-
τὸς σμικρός εἰμι, ἐκεῖνο δὲ οὐ τετόλμηκε μέγα ὂν σμικρὸν εἶ-
ναι. ὡς δ' αὕτως καὶ τὸ σμικρὸν τὸ ἐν ἡμῖν οὐκ ἐθέλει ποτὲ
μέγα γίγνεσθαι οὐδὲ εἶναι, οὐδὲ ἄλλο οὐδὲν τῶν ἐναντίων, ἔτι
ὂν ὅπερ ἦν, ἅμα τοὐναντίον γίγνεσθαί τε καὶ εἶναι, ἀλλ' ἤτοι
ἀπέρ*χεται ἢ ἀπόλλυται ἐν τούτῳ τῷ παθήματι. Παντάπασιν, 103
ἔφη ὁ Κέβης, οὕτω φαίνεταί μοι. Καί τις εἶπε τῶν παρόν-
των ἀκούσας (ὅςτις δ' ἦν, οὐ σαφῶς μέμνημαι) Πρὸς θεῶν,
οὐκ ἐν τοῖς ἔμπροσθεν **) ἡμῖν λόγοις αὐτὸ τὸ ἐναντίον
τῶν νυνὶ λεγομένων ὡμολογεῖτο, ἐκ τοῦ ἐλάττονος τὸ μεῖ-
ζον γίγνεσθαι καὶ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, καὶ ἀτεχνῶς
αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις ἐκ τῶν ἐναντίων; νῦν
δέ μοι δοκεῖ λέγεσθαι ὅτι τοῦτο οὐκ ἄν ποτε γένοιτο.
Καὶ ὁ Σωκράτης παραβαλὼν τὴν κεφαλὴν καὶ ἀκούσας
Ἀνδρικῶς, ἔφη, ἀπε*μνημόνευκας· οὐ μέντοι ἐννοεῖς B
τὸ διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε. τότε μὲν

---

*) ἴσ. τοῦ μὲν τῷ μεγέθει τὴν σμικρότητα ὑπερέχων, τῷ δὲ τὸ μέγεθος τῆς σμικρότητος παρέχων ὑπερέχειν.

**) ἄλλ. πρόσθεν.

nem. Vera. Neque etiam, ut a Phaedone ſuperetur propterea quod Phaedo ſit Phaedo, ſed quod magnitudinem habeat Phaedo ad Simmiae parvitatem. Eſt vero ita. Hanc igitur ob cauſam Simmias nominatur et parvus et magnus, quia medius eſt inter utrumque, unius parvitatem magnitudine ſuperans, alteri vero concedens ut eius magnitudo ſuperet parvitatem. Atque ſimul ſubridens Videor, inquit, vel putide explicare, quaſi tabellis obſignatis agam; ſed tamen ita, opinor, habet ut dico. Aſſenſit. Dico autem haec propterea quod tibi idem cupio viſum quod mihi; mihi enim videtur non ipſa modo magnitudo nullo umquam modo velle ſimul magna et parva eſſe, verum etiam magnitudo quae in nobis eſt numquam recipere parvum neque velle ſuperari, ſed alterutrum evenire, ut vel fugiat ſeque ſubtrahat, ſi ei accedat contrarium, parvum, vel, quum illud acceſſerit, intereat; ſustinens vero ac recipiens parvitatem non velle aliud eſſe quam quod fuit; quemadmodum ego, recipiens ac ſustinens parvitatem idemque manens qui ſum, parvus ſum, illa vero neutiquam ſustinet, quum magna ſit, parvam ſe eſſe. eodem modo etiam parvum quod in nobis ineſt numquam vult magnum fieri vel eſſe, nec aliud quid de contrariis, manens id quod erat, ſimul contrarium et fieri et eſſe, ſed aut diſcedit aut interit in hoc caſu. Prorſus, ait Cebes, ita mihi videtur. Tum aliquis de iis qui aderant, quum haec audiviſſet (quis fuerit, non ſatis memini) Dii boni, inquit, nonne in praegreſſis ſermonibus ipſum contrarium eius quod nunc dicitur concedebatur, e minore maius fieri et e maiore minus, et revera hanc eſſe contrariorum generationem, e contrariis? nunc vero videtur mihi dici id numquam fieri poſſe. Atque Socrates, capite admoto quum hoc audiviſſet, Probe, inquit, admonuiſti; neque tamen intelligis quid interſit inter id quod nunc dicitur et inter id quod tum ponebatur. tum

γὰρ ἐλέγετο ἐκ τοῦ ἐναντίου πράγματος τὸ ἐναντίον πρᾶγμα
γίγνεσθαι, νῦν δὲ ὅτι αὐτὸ τὸ ἐναντίον ἑαυτῷ ἐναντίον
οὐκ ἄν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν οὔτε τὸ ἐν τῇ φύ-
σει. τότε μὲν γάρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τὰ ἐναντία
ἐλέγομεν, ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ, νῦν
δὲ περὶ ἐκείνων αὐτῶν, ὧν ἐνόντων ἔχει τὴν ἐπωνυμίαν
τὰ ὀνομαζόμενα· αὐτὰ δ' ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν * ἐθε- C
λῆσαι γένεσιν ἀλλήλων δέξασθαι. Καὶ ἅμα βλέψας εἰς τὸν
Κέβητα εἶπεν Ἆρα μή που, ἔφη, ὦ Κέβης, καὶ σέ τι τού-
των ἐτάραξεν ὧν ὅδε εἶπεν; Οὐδ' αὖ, ἔφη ὁ Κέβης, οὕτως
ἔχω, καὶ τοιοῦτό τι λέγω ὡς οὐ πολλά με ταράττει. Ξυνω-
μολογήκαμεν ἄρα, ἦ δ' ὅς, ἁπλῶς τοῦτο, μηδέποτε ἐναν-
τίον ἔσεσθαι ἑαυτῷ τὸ ἐναντίον. Παντάπασιν, ἔφη. Ἔτι
δή μοι καὶ τόδε σκέψαι, ἔφη, εἰ ἄρα ξυνομολογήσεις· θερ-
μόν τι καλεῖς καὶ ψυχρόν; Ἔγωγε. Ἆρ' ὅπερ χιόνα καὶ
πῦρ; Μὰ Δί' οὐκ * ἔγωγε. Ἀλλ' ἕτερόν τι πυρὸς τὸ θερ- D
μὸν καὶ ἕτερόν τι χιόνος τὸ ψυχρόν; Ναί. Ἀλλὰ τόδε γ',
οἶμαι, δοκεῖ σοι, οὐδέποτε χιόνα γ' οὖσαν, δεξαμένην τὸ
θερμόν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἔτι ἔσεσθαι
ὅπερ ἦν, χιόνα καὶ θερμόν, ἀλλὰ προσιόντος τοῦ θερμοῦ
ἢ ὑπεκχωρήσειν αὐτῷ ἢ ἀπολεῖσθαι. Πάνυ γε. Καὶ τὸ
πῦρ γε αὖ, προσιόντος τοῦ ψυχροῦ αὐτῷ, ἢ ὑπεξιέναι ἢ
ἀπολεῖσθαι, οὐ μέντοι ποτὲ τολμήσειν δεξάμενον τὴν ψυ-
χρότητα ἔτι εἶναι ὅπερ ἦν, πῦρ καὶ ψυχρόν. Ἀλη*θῆ, E
ἔφη, λέγεις. Ἔστιν ἄρ', ἦ δ' ὅς, περὶ ἔνια τῶν τοιούτων,
ὥστε μὴ μόνον αὐτὸ τὸ εἶδος ἀξιοῦσθαι τοῦ αὐτοῦ ὀνόματος
εἰς τὸν ἀεὶ χρόνον, ἀλλὰ καὶ ἄλλο τι, ὃ ἔστι μὲν οὐκ ἐκεῖνο,
ἔχει δὲ τὴν ἐκείνου μορφὴν ἀεὶ ὅτανπερ ᾖ. ἔτι δ' ἐν τοῖσδε *)
ἴσως ἔσται σαφέστερον ὃ λέγω. τὸ γὰρ περιττὸν ἀεί που δεῖ
τούτου τοῦ ὀνόματος τυγχάνειν, ὅπερ νῦν λέγομεν· ἢ οὔ;
Πάνυ γε. Ἆρα μόνον τῶν ὄντων (τοῦτο γὰρ ἐρωτῶ), ἢ καὶ
ἄλλο τι, ὃ ἔστι μὲν οὐχ ὅπερ τὸ πε*ριττόν, ὅμως δὲ δεῖ 104
αὐτὸ μετὰ τοῦ ἑαυτοῦ ὀνόματος καὶ τοῦτο καλεῖν ἀεί, διὰ

---

*) ἄλλ. τῷδε.

enim dicebatur e contraria re contrariam rem fieri, nunc vero, ipfum contrarium numquam fuimet ipfius contrarium fieri poffe neque in nobis neque in natura. tum videlicet, o amice, de rebus disferebamus quae contraria habent, ab his eas nominantes, nunc autem de iis ipfis, a quibus, fi infunt, res nominantur; ipfa vero haec numquam ftatuimus generationem velle inter fe recipere. Atque fimul intuens in Cebetem Numquid, inquit, Cebes, illa te perturbarunt quae hicce dixit? Non iterum, ait Cebes, ita affectus fum, et tale quid confiteor me non valde perturbare. Confenfimus igitur, inquit, fimpliciter hoc, numquam contrarium fui ipfius fore contrarium. Ita prorfus, ait ille. Praeterea etiam hoc mihi perpende, inquit, an confentias: calidumne aliquid vocas et frigidum? Ego vero. Num id quod nivem et ignem? Non equidem mehercule. Sed diverfum quid ab igne calidum et diverfum quid a nive frigidum? Ita. Hoc autem, opinor, videtur tibi, numquam nivem, quatenus nix fit, recipientem calidum, ut fupra diximus, adhuc futuram effe id quod fuerit, nivem fimulque calidam, fed accedente calido aut fe fubtracturam aut interituram effe. Sane quidem. Etiam ignem, accedente ei frigido, aut fe fubducturum aut interiturum effe, nec umquam poffe, recipientem frigus, adhuc effe quod fuerit, ignem fimulque frigidum. Vera, inquit, dicis. Eft igitur, inquit, in nonnullis rebus huiuscemodi generis, ut non ipfi modo fpeciei idem nomen impertiatur in perpetuum, fed etiam alii cui, quod non eft illa fpecies, illius vero, quotiescumque eft, femper habet formam. in his autem fortaffe etiam clarius erit quod dico. impar videlicet femper debet hoc nomen obtinere quod nunc dicimus; nonne? Sane quidem. Num id folum ex omnibus (hoc eft enim id quod quaero), an etiam aliud quid quod, licet non fit idem quod impar, tamen et proprio fuo et illo nomine femper appellemus oportet, propterea quod

τὸ οὕτω πεφυκέναι ὥςτε τοῦ περιττοῦ μηδέποτε ἀπολείπε-
σθαι; λέγω δὲ αὐτὸ εἶναι οἷον καὶ ἡ τριὰς πέπονθε καὶ
ἄλλα πολλά. σκόπει δὴ περὶ τῆς τριάδος· ἆρα οὐ δοκεῖ σοι
τῷ τε αὐτῆς ὀνόματι ἀεὶ προσαγορευτέα εἶναι καὶ τῷ τοῦ
περιττοῦ, ὄντος οὐχ οὕπερ τῆς τριάδος; ἀλλ᾽ ὅμως οὕτω
πως πέφυκε καὶ ἡ τριὰς καὶ ἡ πεμπτὰς καὶ ὁ ἥμισυς τοῦ
ἀριθμοῦ ἅπας, ὥςτε, οὐκ ὢν ὅπερ τὸ περιττόν, ἀεὶ ἕκα-
στος * αὐτῶν ἐστὶ περιττός· καὶ αὖ τὰ δύο καὶ τὰ τέτταρα B
καὶ ἅπας ὁ ἕτερος αὖ στίχος τοῦ ἀριθμοῦ, οὐκ ὢν ὅπερ
τὸ ἄρτιον, ὅμως ἕκαστος αὐτῶν ἄρτιός ἐστιν ἀεί. ξυγχω-
ρεῖς, ἢ οὔ; Πῶς γὰρ οὐκ; ἔφη. Ὃ τοίνυν, ἔφη, βούλο-
μαι δηλῶσαι, ἄθρει· ἔστι δὲ τόδε, ὅτι φαίνεται οὐ μόνον
ἐκεῖνα τὰ ἐναντία ἄλληλα οὐ δεχόμενα, ἀλλὰ καὶ ὅσα οὐκ
ὄντα ἀλλήλοις ἐναντία ἀεὶ ἔχει τὰ ἐναντία, οὐδὲ ταῦτα
ἔοικε δεχομένοις ἐκείνην τὴν ἰδέαν, ἣ ἂν τῇ ἐν αὐτοῖς
οὔσῃ ἐναντία ᾖ, ἀλλ᾽ ἐπιούσης αὐτῆς ἤτοι ἀπολλύμενα ἢ
*ὑπεκχωροῦντα· ἢ οὐ φήσομεν τὰ τρία καὶ ἀπολεῖσθαι C
πρότερον καὶ ἄλλο ὁτιοῦν πείσεσθαι, πρὶν ὑπομεῖναι ἔτι
τρία ὄντα ἄρτια γενέσθαι; Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης.
Οὐδὲ μήν, ἦ δ᾽ ὅς, ἐναντίον γ᾽ ἐστὶ δυὰς τριάδι. Οὐ γὰρ
οὖν. Οὐκ ἄρα μόνον τὰ εἴδη τὰ ἐναντία οὐχ ὑπομένει
ἐπιόντα ἄλληλα, ἀλλὰ καὶ ἄλλ᾽ ἄττα τὰ ἐναντία οὐχ ὑπομέ-
νει ἐπιόντα. Ἀληθέστατα, ἔφη, λέγεις. Βούλει οὖν, ἦ δ᾽
ὅς, ἐὰν οἷοί τε ὦμεν, ὁρισώμεθα ὁποῖα ταῦτ᾽ ἐστίν; Πάνυ
γε. Ἆρ᾽ οὖν, ἔφη, * ὦ Κέβης, τάδε εἴη ἄν, ἃ, ὅ τι ἂν D
κατάσχῃ, μὴ μόνον ἀναγκάζει τὴν αὐτοῦ ἰδέαν αὐτὸ ἴσχειν,
ἀλλὰ καὶ μηδ᾽ ἐναντίου αὐτῷ τινός *); Πῶς λέγεις; Ὥςπερ
ἄρτι ἐλέγομεν· οἶςθα γὰρ δήπου ὅτι, ἃ ἂν ἡ τῶν τριῶν
ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι, ἀλλὰ
καὶ περιττοῖς. Πάνυ γε. Ἐπὶ τὸ τοιοῦτον δή, φαμέν,
ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ μορφῇ, ἣ ἂν τοῦτο ἀπεργά-
ζηται, οὐδέποτ᾽ ἂν ἔλθοι. Οὐ γάρ. Εἰργάζετο δέ γε ἡ περιτ-
τή; Ναί. Ἐναντία δὲ ταύτῃ ἡ τοῦ ἀρτίου; Ναί. Ἐπὶ

---

*) γρ. δήνος. ἴσ. δή τινος.

ita comparatum eſt ut perpetuo impari adhaereat? dico vero id quod verbi cauſa in numerum quoque ternarium aliosque multos cadit. conſidera dum ternarium: nonne videtur tibi et proprio ſuo et imparis nomine ſemper appellandus eſſe, licet hoc non idem ſit quod ternarius? verumtamen ita comparatus eſt et ternarius et quinarius et univerſum numerorum dimidium ut, licet non ſint idem quod impar, tamen unusquisque eorum ſemper ſit impar, binarius contra et quaternarius et univerſa altera numerorum ſeries, licet non ſint id quod par, tamen unusquisque eorum ſemper par ſit. aſſentiris necne? Quidni, inquit, aſſentiar? Iam id, inquit, quod volo declarare, conſidera; eſt autem hoc: videri non ſolum contraria inter ſe non recipere, ſed etiam ea quae, licet inter ſe non ſint contraria, tamen contraria ſemper in ſe contineant, non videri recipere ſpeciem eius contrariam quam in ſe contineant, ſed hac invadente vel interire vel ſe ſubtrahere; an non dicemus fore ut ternarius prius et intereat et aliud quodvis patiatur quam ſuſtineat ternarium ſe manentem fieri parem? Sane quidem, ait Cebes. Neque tamen, inquit, contrarius eſt binarius ternarii. Non eſt. Non ſolum ergo ſpecies contrariae non inter ſe recipiunt invadentes, ſed etiam alia quaedam non ſuſtinent contraria invadentia. Veriſſima, ait, dicis. Visne igitur, inquit, ſi potuerimus, definiamus qualia haec ſint? Sane quidem. Nonne, inquit, Cebes, haec erunt quae, quodcumque occupant, id non ſolum cogunt ſuam ipſum ſpeciem habere, ſed etiam contrarii cuiusdam ſpeciem non habere? Quomodo iſtud dicis? Quemadmodum modo dicebamus: ſcis enim ſane ea, quae ternarii ſpecies occupet, non ſolum oportere tria eſſe, verum etiam imparia. Sane quidem. Ad tale vero, dicimus, ſpecies contraria illius formae, quae hoc efficit, numquam accedet. Numquam vero. Effecit autem impar? Ita. Et contraria huius eſt paris ſpecies? Etiam. Ad

τὰ * τρία ἄρα ἡ τοῦ ἀρτίου ἰδέα οὐδέποτε ἥξει. Οὐ δῆτα. E
Ἄμοιρα δὴ τοῦ ἀρτίου τὰ τρία. Ἄμοιρα. Ἀνάρτιος ἄρα ἡ τριάς. Ναί. Ὃ τοίνυν ἔλεγον ὁρίσασθαι, ποῖα οὐκ ἐναντία τινὶ ὄντα ὅμως οὐ δέχεται αὐτὸ [τὸ ἐναντίον], οἷον νῦν ἡ τριὰς τῷ ἀρτίῳ οὐκ οὖσα ἐναντία οὐδέν τι μᾶλλον αὐτὸ δέχεται, τὸ γὰρ ἐναντίον αὐτῷ ἀεὶ ἐπιφέρει, καὶ ἡ δυὰς τῷ περιττῷ καὶ τὸ πῦρ τῷ ψυχρῷ καὶ ἄλ*λα 105
πάμπολλα, ἀλλ' ὅρα δὴ εἰ οὕτως ὁρίζει, μὴ μόνον τὸ ἐναντίον τὸ ἐναντίον μὴ δέχεσθαι, ἀλλὰ καὶ ἐκεῖνο, ὃ ἂν ἐπιφέρῃ τι ἐναντίον ἐκείνῳ, ἐφ' ὅ τι ἂν αὐτὸ ἴῃ, αὐτὸ τὸ ἐπιφέρον τὴν τοῦ ἐπιφερομένου ἐναντιότητα μηδέποτε δέξασθαι. πάλιν δὲ ἀναμιμνήσκου· οὐ γὰρ χεῖρον πολλάκις ἀκούειν. τὰ πέντε τὴν τοῦ ἀρτίου οὐ δέξεται, οὐδὲ τὰ δέκα τὴν τοῦ περιττοῦ, τὸ διπλάσιον· τοῦτο μὲν οὖν καὶ αὐτὸ ἄλλῳ ἐναντίον, ὅμως δὲ τὴν τοῦ περιττοῦ οὐ δέξεται, οὐδὲ δὴ τὸ ἡμιόλιον οὐδὲ *τἄλλα τὰ τοιαῦτα, τὸ ἥμισυ, τὴν τοῦ ὅλου *), καὶ τριτημόριον αὖ καὶ πάντα τὰ τοιαῦτα, εἴπερ ἕπει τε καὶ ξυνδοκεῖ σοι οὕτως. Πάνυ σφόδρα καὶ ξυνδοκεῖ, ἔφη, καὶ ἕπομαι. Πάλιν δή μοι, ἔφη, ἐξ ἀρχῆς λέγε, καὶ μή μοι ὃ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλ' ἄλλῳ, μιμούμενος ἐμέ. λέγω δὲ παρ' ἣν τὸ πρῶτον ἔλεγον ἀπόκρισιν, τὴν ἀσφαλῆ ἐκείνην, ἐκ τῶν νῦν λεγομένων ἄλλην ὁρῶν ἀσφάλειαν. εἰ γὰρ ἔροιό με ᾧ ἂν **) τί [ἐν τῷ] σώματι ἐγγένηται, θερμὸν ἔσται, οὐ τὴν * ἀσφαλῆ σοι ἐρῶ ἀπόκρισιν ἐκείνην τὴν ἀμαθῆ, C
ὅτι ᾧ ἂν θερμότης, ἀλλὰ κομψοτέραν ἐκ τῶν νῦν, ὅτι ᾧ ἂν πῦρ· οὐδὲ ἂν ἔρῃ, ᾧ ἂν σώματι τί ἐγγένηται, νοσήσει, οὐκ ἐρῶ ὅτι ᾧ ἂν νόσος, ἀλλ' ᾧ ἂν πυρετός· οὐδ' ᾧ ἂν ἀριθμῷ τί ἐγγένηται, περιττὸς ἔσται, οὐκ ἐρῶ ᾧ ἂν περιττότης, ἀλλ' ᾧ ἂν μονάς, καὶ τἄλλα οὕτως. ἀλλ' ὅρα εἰ ἤδη ἱκανῶς οἶσθ' ὅ τι βούλομαι. Ἀλλὰ πάνυ ἱκανῶς, ἔφη. Ἀποκρίνου δή, ἦ δ' ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται; Ὧι ἂν ψυχή, ἔφη. Οὐκοῦν ἀεὶ τοῦτο οὕτως * ἔχει; Πῶς γὰρ οὐχί; ἦ δ' ὅς. Ἡ ψυχὴ D

*) ἴσ. τὸ ἥμισυ, τὸ ὅλον, καὶ τὸ τριτ.

**) γρ. ὃ ἂν τί.

ternarium igitur paris ſpecies numquam accedet. Numquam vero. Expers ergo paris eſt ternarius. Expers. Itaque impar ternarius. Ita. Quod igitur dicebam definiendum eſſe, qualia illa eſſent quae, licet non eſſent alicuius contraria, tamen hoc non reciperent, veluti nunc ternarius, licet paris non ſit contrarius, nihilo tamen magis id recipit, propterea quod hoc ipſi contrarium affert, et binarius impar et ignis frigidum et alia permulta: ſed vide an ita definias, ut non ſolum contrarium contrarium non recipiat, verum etiam illud, quod contrarii aliquid afferat ei ad quod accedat, hoc ipſum afferens numquam recipiat allati ab ipſo contrarium. rurſus vero recordare; non eſt enim inutile ſaepius audire. quinarius paris ſpeciem non recipiet, neque denarius imparis, duplus; hoc ipſum vero duplum, licet alius contrarium ſit, tamen imparis ſpeciem non recipiet; neque etiam ſesquialterum aliaque generis eiusdem, ut dimidium, totum, tertia pars omniaque id genus, ſiquidem ſequeris et idem tibi videtur. Omnino et videtur mihi, inquit, et ſequor. Iterum igitur mihi, inquit, dic ab initio, nec mihi id quod interrogo reſponde, ſed aliud quid, me imitans. dico autem hoc, quia praeter tutam illam quam ante commemoravi reſponſionem, ex iis quae nunc explicata ſunt, aliam item tutam perſpicio. etenim ſi ex me quaeſiveris, quid in corpore inſit quo caleſcat, non tutam et indoctam illam dabo reſponſionem, calorem in eo ineſſe, ſed magis ſcitam ſecundum ea quae nunc diſputata ſunt: ignem ineſſe; neque ſi quaeſiveris, quid in corpore inſit quo aegrotet, reſpondebo, morbum ineſſe, ſed, febrem: nec ſi rogaveris, quid in numero inſit, quo impar fiat, reſpondebo, imparis ſpeciem, ſed, unitatem, et ſic reliqua. at vide tu an ſatis iam intelligas quid velim. Satis vero, ait. Reſponde igitur, inquit: quid in corpore inerit quo vivat? Animus, inquit. Nonne ſemper hoc ſe ſic habet? Quidni habeat? inquit.

ἄρα, ὅ τι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν.
Ἥκει μέντοι, ἔφη. Πότερον δ' ἔστι τι ζωῇ ἐναντίον, ἢ οὐδέν;
Ἔστιν, ἔφη. Τί; Θάνατος. Οὐκοῦν ἡ ψυχὴ τὸ ἐναντίον, ᾧ
αὐτὴ ἐπιφέρει ἀεὶ, οὐ μή ποτε δέξεται *), ὡς ἐκ τῶν πρόσθεν
ὡμολόγηται; Καὶ μάλα, ἔφη, σφόδρα, ὁ Κέβης. Τί οὖν; τὸ
μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν τί νῦν δὴ ὠνομάζομεν;
Ἀνάρτιον, ἔφη. Τὸ δὲ δίκαιον μὴ δεχόμενον καὶ ὃ ἂν μουσι-
κὸν μὴ δέχηται; Ἄμου*σον, ἔφη, τὸ δὲ ἄδικον. Εἶεν, ὃ δ' ἂν E
θάνατον μὴ δέχηται, τί καλοῦμεν; Ἀθάνατον, ἔφη. Οὐκοῦν
ἡ ψυχὴ οὐ δέχεται θάνατον; Οὔ. Ἀθάνατον ἄρα ἡ ψυχή.
Ἀθάνατον. Εἶεν, ἔφη, τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν,
ἢ πῶς δοκεῖ; Καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες. Τί οὖν, ἦ
δ' ὅς, ὦ Κέβης; εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶ-
ναι, * ἄλλο τι τὰ τρία ἀνώλεθρα ἂν ἦν; Πῶς γὰρ οὔ; Οὐκ- 106
οῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε
τις ἐπὶ χιόνα θερμὸν ἐπαγάγοι, ὑπεξῄει ἂν ἡ χιὼν οὖσα σῶς
καὶ ἄτηκτος; οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα
ἐδέξατο ἂν τὴν θερμότητα. Ἀληθῆ, ἔφη, λέγεις. Ὡς δ' αὔ-
τως, οἶμαι, κἂν εἰ τὸ ἄψυκτον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ
πῦρ ψυχρόν τι ἐπίοι **), οὔποτ' ἂν ἀπεσβέννυτο οὐδ' ἀπώλ-
λυτο, ἀλλὰ σῶν ἂν ἀπελθὸν ᾤχετο. Ἀνάγκη, ἔφη. Οὐκοῦν
καὶ ὧδε, ἔφη, ἀνάγ*κη περὶ τοῦ ἀθανάτου εἰπεῖν· εἰ μὲν τὸ B
ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνα-
τος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ δὴ ἐκ τῶν
προειρημένων οὐ δέξεται οὐδ' ἔσται τεθνηκυῖα, ὥσπερ τὰ
τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδέ γ' αὖ τὸ περιττόν, οὐδὲ
δὴ τὸ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης. ἀλλὰ τί
κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι
ἐπιόντος τοῦ ἀρτίου, ὥσπερ ὡμολόγηται, ἀπολλυμένου δὲ αὐ-
τοῦ ἀντ' ἐκεί*νου ἄρτιον γεγονέναι; τῷ ταῦτα λέγοντι οὐκ ἂν C
ἔχοιμεν διαμάχεσθαι ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ
ἀνώλεθρόν ἐστιν· ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν

---

*) γρ. δέξηται.
**) γρ. ἐπῄει.

Animus ergo, quicquid occupat, ei semper affert vitam. Affert vero, inquit. Num est autem aliquid vitae contrarium, an nihil? Est vero, inquit. Quid? Mors. Nonne animus contrarium eius quod ipse semper affert, numquam recipiet, ut ex iis quae supra concessimus efficitur? Est sane ita, ait Cebes. Quid vero? quod paris speciem non recipit quomodo id modo appellavimus? Impar, inquit. Et quod iustum vel doctrinam non recipit? Hoc indoctum, inquit, illud iniustum. Iam, quod mortem non recipit, quomodo id appellamus? Immortale, inquit. Nonne animus non recipit mortem? Non recipit. Immortalis ergo animus. Immortalis. Iamne dicamus, inquit, hoc demonstratum esse, an quomodo videtur? Et satis quidem, Socrate. Quid igitur, inquit, Cebes? si impar necessario esset interitus expers, nonne ternarius foret interitus expers? Quidni? Nonne etiam si calore vacuum necessario esset interitus expers, quotiescumque nivi quisquam calidum admoveret, subterfugeret nix incolumis, nec liquata? non enim interiret neque sustinens reciperet calorem. Vera, inquit, dicis. Similiter, opinor, si frigore vacuum esset interitus expers, quando ignem aliquid frigidi adoriretur, numquam ille exstingueretur neque interiret, sed incolumis discederet. Necesse est, ait. Nonne ita, inquit, etiam de immortali statuendum est: si immortale est idem interitus expers, fieri nequit ut animus, quando mors eum adoritur, intereat; mortem enim ex iis quae ante dicta sunt non recipiet nec erit mortuus, sicut ternarius non erit, ut dicimus, par, neque etiam numerus impar, neque ignis frigidus neque qui in igne est calor. sed quid impedit, dixerit quispiam, quominus impar par quidem non fiat accedente pare, ut concessimus, hoc autem exstincto pro ipso par fiat? ei qui haec diceret non possemus repugnare ac contendere impar non interire; impar enim non est interitus expers; alioqui si hoc nobis constaret, facile possemus

διεμαχόμεθα ὅτι, ἐπελθόντος τοῦ ἀρτίου, τὸ περιττὸν καὶ τὰ
τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν
ἄλλων οὕτως ἂν διεμαχόμεθα· ἢ οὔ; Πάνυ μὲν οὖν. Οὐκ-
οῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται
καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι
καὶ ἀνώλεθρος, * εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου; Ἀλλ' οὐ- D
δὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθο-
ρὰν μὴ δέχοιτο, εἰ τό γε ἀθάνατον καὶ ἀΐδιον φθορὰν δέ-
ξεται. Ὁ δέ γε θεός, οἶμαι, ἔφη ὁ Σωκράτης, καὶ αὐτὸ
τὸ τῆς ζωῆς εἶδος καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστι, παρὰ
πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι. Παρὰ πάν-
των μέντοι νὴ Δί', ἔφη, ἀνθρώπων τε καὶ ἔτι μᾶλλον, ὡς
ἐγῷμαι, παρὰ θεῶν. Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιά-
φθορόν * ἐστιν, ἄλλο τι ψυχή, εἰ ἀθάνατος τυγχάνει οὖσα, E
καὶ ἀνώλεθρος ἂν εἴη; Πολλὴ ἀνάγκη. Ἐπιόντος ἄρα θα-
νάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ
ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται
ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. Φαίνεται. Παντὸς μᾶλ-
λον ἄρα, ἔφη, ὦ Κέβης, ψυχὴ ἀθάνατον καὶ ἀνώ*λεθρον, 107
καὶ τῷ ὄντι ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου. Οὔκουν
ἔγωγε, ὦ Σώκρατες, ἔφη, ἔχω παρὰ ταῦτα ἄλλο τι λέγειν
οὐδέ πῃ ἀπιστεῖν τοῖς λόγοις· ἀλλ' εἰ δή τι Σιμμίας ὅδε
ἤ τις ἄλλος ἔχει λέγειν, εὖ ἔχει μὴ κατασιγῆσαι· ὡς οὐκ
οἶδα εἰς ὅντιν' ἄν τις ἄλλον καιρὸν ἀναβάλλοιτο ἢ τὸν νῦν
παρόντα, περὶ τῶν τοιούτων βουλόμενος ἤ τι εἰπεῖν ἢ
ἀκοῦσαι. Ἀλλὰ μήν, ἦ δ' ὃς ὁ Σιμμίας, οὐδ' αὐτὸς ἔχω
ἔτι ὅπῃ ἀπιστῶ ἔκ γε τῶν λεγομένων· ὑπὸ μέντοι τοῦ με-
γέθους, περὶ ὧν οἱ λόγοι εἰσί, καὶ τὴν ἀνθρωπίνην ἀσθέ-
νειαν ἀτιμά*ζων ἀναγκάζομαι ἀπιστίαν ἔτι ἔχειν παρ' ἐμαυ- B
τῷ περὶ τῶν εἰρημένων. Οὐ μόνον γ', ἔφη, ὦ Σιμμία, ὁ
Σωκράτης, ἀλλὰ ταῦτά τε εὖ λέγεις *), καὶ τὰς ὑποθέσεις
τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσίν, ὅμως ἐπισκεπτέαι σαφέ-
στερον· καὶ ἐὰν αὐτὰς ἱκανῶς διέλητε, ὡς ἐγῷμαι, ἀκολουθή-
σετε τῷ λόγῳ, καθ' ὅσον δυνατὸν μάλιστα ἀνθρώπῳ ἐπα-

---

*) ἴσ. ταῦτά γε εὖ λέγεις.

contendere, pare accedente impar numerumque ternarium discedere, idemque de igne, de calido, de ceteris contenderemus; nonne? Sane quidem. Nonne etiam nunc de immortali: si nobis constat immortale esse idem interitus expers, animus non solum immortalis, verum etiam interitus expers erit, sin autem minus, alia opus erit ratione? Sed nihil, inquit, iccirco opus est; vix enim quicquam erit, quod dissolutionem nullam recipiat, si immortale et sempiternum dissolutionem recipiet. Deum certe, opinor, ait Socrates, ipsam vitae speciem et si quid aliud immortale est, inter omnes constet numquam interire. Inter omnes mehercule, inquit, et homines et magis etiam, uti arbitror, deos. Quodsi immortale idem est dissolutionis expers, nonne animus, si immortalis est, idem interitus erit expers? Prorsus necesse est. Accedente igitur morte ad hominem, mortalis eius pars, ut patet, moritur, immortalis vero incolumis et dissolutionis expers abit, se subtrahens a morte. Patet. Omnino igitur, inquit, Cebes, animus immortalis est atque interitus expers, et revera erunt animi nostri apud inferos. Nihil equidem, Socrate, inquit, aliud nisi hoc dicere habeo nec possum diffidere disputationi; verum si Simmias hic vel alius quis habet quod moneat, non oportet reticere; nescio enim in quod aliud tempus opportunum, praeter hoc praesens, quisquam differat, si quid de hoc genere vel dicere vel audire cupiat. At neque ego, ait Simmias, iam diffidere possum, his disputatis; sed tamen magnitudo rei, quae agitur, et humana imbecillitas, quam imparem illi existimo, adhuc me cogunt ut mecum dubitem de iis quae dicta sunt. Non solum hoc, inquit, Simmia, Socrates, sed, id si confiteris, etiam de sumptionibus primis, ut certae vobis sint, tamen quaerendum est accuratius, et, si satis eas perscrutati estis, assequemini, ut opinor, rationem, quantum maxime potest homo

κολουθῆσαι· κἂν τοῦτο αὐτὸ σαφὲς γένηται, οὐδὲν ζητήσετε
περαιτέρω. Ἀληθῆ, ἔφη, λέγεις. Ἀλλὰ τόδε γ', ἔφη, ὦ
ἄνδρες, δίκαιον διανοη*θῆναι ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατός C
ἐστιν, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μό-
νον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός, καὶ ὁ κίν-
δυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελή-
σει. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον
ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλά-
χθαι καὶ τῆς αὐτῶν*) κακίας μετὰ τῆς ψυχῆς· νῦν δὲ ἐπειδὴ
ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ
κακῶν οὐδὲ * σωτηρία πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμω- D
τάτην γενέσθαι. οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρ-
χεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ λέγεται μέ-
γιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς
ἐκεῖσε πορείας. λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκα-
στον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπι-
χειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ τοὺς ξυλλεγέντας διαδικασαμέ-
νους εἰς Ἅιδου πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου, ᾧ δὴ
προστέ*τακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. τυχόντας δ' ἐκεῖ E
ὧν δεῖ τυχεῖν καὶ μείναντας ὃν χρὴ χρόνον ἄλλος δεῦρο πάλιν
ἡγεμὼν κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. ἔστι
δὲ ἄρα ἡ πυρεία οὐχ, ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· ἐκεῖ*νος 108
μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε
ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι· οὐδὲ γὰρ ἂν ἡγεμόνων
ἔδει· οὐ γάρ πού τις ἂν διαμάρτοι οὐδαμόσε μιᾶς ὁδοῦ οὔ-
σης· νῦν δὲ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν·
ἀπὸ τῶν ὁσίων τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέ-
γω. ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί [τε] καὶ
οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δὲ ἐπιθυμητικῶς τοῦ σώματος ἔχου-
σα, ὅπερ ἐν τῷ πρόσθεν **) εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον
ἐπτοη*μένη καὶ περὶ τὸν ὁρατὸν τόπον, πολλὰ ἀντιτείνασα καὶ B
πολλὰ παθοῦσα, βίᾳ καὶ μόγις ὑπὸ τοῦ προστεταγμένου δαί-
μονος οἴχεται ἀγομένη. ἀφικομένην δὲ ὅθιπερ αἱ ἄλλαι, τὴν

---

*) ἴσ. αὐτῶν.

**) ἄλλ. ἔμπροσθεν.

aſſequi; quodſi hoc ipſum vobis perſpectum erit, nihil quaeretis amplius. Vera, inquit, dicis. At hoc certe, inquit, viri, par eſt cogitari, ſi animus eſt immortalis, curam eſſe adhibendam, non propter hoc tantum tempus in quod vivere quod dicimus cadit, ſed univerſi cauſa, et periculum nunc ſcilicet videbitur ingens eſſe, ſi quis eum neglexerit. etenim ſi mors eſſet diſceſſus omnia tollens, lucro foret improbis hominibus moriendo ſimul a corpore liberari et a pravitate ſua una cum animo; nunc quum immortalem eum eſſe pateat, nullum aliud ei erit effugium malorum neque ſalus niſi haec, quam optimum exſiſtere atque prudentiſſimum. nihil enim aliud ſecum ducens ad inferos animus migrat niſi eruditionem et inſtitutionem, quae quidem dicuntur etiam plurimum prodeſſe vel obeſſe mortuo in ipſo ſtatim initio migrationis ad inferos. dicitur vero ita: mortuum quemque a proprio ipſius genio, qui vivum ſortitus ſit, duci ad locum quendam, ubi oporteat congregatos iudicium ſubire et dein ad inferos proficiſci duce genio illo cui mandatum ſit ut hinc decedentes illuc traducat. ibi quum illis obtigerint quae par ſit et manſerint quamdiu oporteat, alium eos huc ducem reducere poſt multos temporis longosque circuitus. eſt igitur migratio non talis qualem Aeſchyli Telephus dicit; hic enim ſimplicem ſemitam ait ad inferos ducere, illa vero neque ſimplex neque una videtur mihi eſſe: opus enim non eſſet ducibus, quia nullam in partem quisquam aberraret, una ſi via eſſet; nunc vero patet anfractus eam et ambages multas habere: e ſacris et ritibus noſtris colligens hoc dico. iam modeſtus et prudens animus ſequitur, haud ignorans ſcilicet ſortem ſuam: qui vero corporis cupiditate flagrat, is, ut ſupra dixi, diu illo attonitus et ad locum adſpectabilem multum reluctatus multaque paſſus, vi et aegre a genio ei praefecto abducitur. qui quum pervenit eo quo ceteri quoque animi,

μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην ἢ ἄλλ' ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑπεκτρέπεται καὶ οὔτε ξυνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι, αὐτὴ δὲ πλανᾶται ἐν * πάσῃ C
ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται, ὧν ἐξελθόντων ὑπ' ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν· ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα, καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα, ᾤκησε τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα. εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι, καὶ αὐτὴ οὔτε οἵα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπό τινος πέπεισμαι. Καὶ ὁ Σιμμίας Πῶς * ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρα- D
τες; περὶ γάρ τοι τῆς γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα, οὐ μέντοι ταῦτα ἃ σὲ πείθει· ἡδέως ἂν οὖν ἀκούσαιμι. Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ *) Γλαύκου γέ μοι τέχνη δοκεῖ εἶναι διηγήσασθαι ἅ γ' ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην, καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τε εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπει*σμαι E
εἶναι, καὶ τοὺς τόπους αὐτῆς οὐδέν με κωλύει λέγειν. Ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ.

Πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγὼ ὡς πρῶτον μέν, εἰ ἔστιν ἐν μέσῳ τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν * μήτε ἄλλης ἀνάγκης 109
μηδεμιᾶς τοιαύτης, ἀλλὰ ἱκανὴν εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ ἑαυτῷ πάντῃ καὶ τῆς γῆς αὐτῆς τὴν ἰσοῤῥοπίαν· ἰσόῤῥοπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν οὐχ ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι, ὁμοίως δ' ἔχον ἀκλινὲς μενεῖ. πρῶτον μὲν τοίνυν, ἦ δ' ὅς, τοῦτο πέπεισμαι. Καὶ ὀρθῶς γ', ἔφη ὁ Σιμμίας. Ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό, καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων * στηλῶν ἀπὸ Φάσιδος ἐν σμικρῷ τινὶ μορίῳ, ὥσπερ B

---

*) ἴσ. οὐχί.

impurum quidem ſcelereque adſtrictum, velut caedibus iniuſtis contaminatum vel aliis quibusdam his ſimilibus ſimiliumque animorum flagitiis inquinatum, unusquisque fugit et averſatur nec itineris comes neque dux vult fieri; ille tum vagatur omni affectus inopia, donec ſpatia quaedam temporis praeterierint, quibus exactis fertur coactus ad habitationem ei accommodatam; qui vero pure et continenter vitam traduxit, et comites et duces deos nactus migrat in locum quisque ſibi convenientem. ſunt autem multi et admirabiles terrae loci, et ipſa non eſt qualis et quanta exiſtimatur ab his qui de terra ſolent disſerere, ut mihi quidam perſuaſit. Tum Simmias Quomodo, inquit, haec dicis, Socrate? etenim de terra et ipſe quoque multa iam audivi, nondum tamen haec quae tibi probantur; libenter igitur audierim. Minime quidem, Simmia, Glauci ars mihi videtur eſſe exponere quae illa ſint, ſed demonſtrare vera iſta eſſe, difficilius iudico quam pro Glauci arte; ſimul etiam vereor ut id poſſim, ſimul, etiamſi poſſim, vita mihi videtur mea, Simmia, longitudini explicationis non ſuppetere. de forma tamen terrae, qualem eſſe mihi perſuaſi, et de locis illius nihil impedit quominus exponam. At, ait Simmias, etiam hoc ſatis eſt.

Perſuaſus igitur ſum, inquit, primum, ſi in medio eſt coelo, formam habens globoſam, nihil ei opus eſſe neque aëre, ne decidat, neque alia ulla huiusmodi neceſſitate, ſed ſatis eſſe ad eam ſuſtinendam caeli aequalitatem omnibus partibus ipſiusque terrae aequilibritatem; aequilibris enim res in medio quodam aequali poſita nec magis nec minus poterit ullam in partem vergere, aequaliter vero ſe habens ſine ulla inclinatione manebit. primum igitur, inquit, hoc eſt quod perſuaſum habeo. Et recte id quidem, ait Simmias. Praeterea, inquit, permagnam eam eſſe nosque a Phaſide ad Herculeas columnas incolere exiguam quandam partem,

περὶ τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖσι τοιούτοις τόποις οἰκεῖν. εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη, εἰς ἃ ξυνεῤῥυηκέναι τό τε ὕδωρ καὶ τὴν ὁμίχλην καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπερ ἐστὶ τὰ ἄστρα,
ὃν δὴ αἰθέρα ὀνομάζειν * τοὺς πολλοὺς τῶν περὶ τὰ τοιαῦτα C
εἰωθότων λέγειν· οὗ δὴ ὑποστάθμην ταῦτα εἶναι καὶ ξυῤῥεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λεληθέναι καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς οἰκεῖν, ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν οἴοιτό τε ἐπὶ τῆς θαλάττης οἰκεῖν καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα ἄστρα τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι, διὰ δὲ
βραδυτῆτά τε καὶ ἀσθένειαν μηδεπώποτε ἐπὶ τὰ * ἄκρα τῆς D
θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσῳ καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος· ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωροῦντα· τὸ δὲ εἶναι ταὐτόν, ὑπ' ἀσθενείας καὶ
βραδυτῆτος * οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον E
τὸν ἀέρα, ἐπεὶ εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ἂν ἀνακύψαντα, ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν, καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνέχεσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθινὸς οὐρανὸς
καὶ τὸ ἀληθινὸν *) φῶς καὶ ἡ * ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ 110
γῆ καὶ οἱ λίθοι καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμένα ἐστὶ καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης, καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον ὡς ἔπος εἰπεῖν οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ ἡ γῆ ᾖ, καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια·

---

*) ἄλλ. ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθῶς φ.

veluti circa paludem formicas vel ranas, circa mare habitantes, et alios multos in aliis multis huiusmodi locis habitare. esse enim ubique circum terram multa cava variâ et formâ et magnitudine, in quae confluant aqua, nebula et aër; ipsam vero terram puram in puro sitam esse caelo, in quo sunt stellae, quem quidem aethera nominant plerique qui his de rebus solent exponere; huiusque sedimentum esse ea quae confluant semper in cava terrae. nos igitur nescientes habitare in eius cavis et putare in superiore terrae parte habitare, velut si quis in medio maris fundo habitans opinetur supra mare habitare et per aquam spectans solem ceterasque stellas mare arbitretur caelum esse, propter tarditatem vero et imbecillitatem numquam ad summum mare progressus nec contemplatus sit, emergens et caput erigens e mari ad hunc locum, quanto is purior ac pulchrior sit illo suo, neque ex alio qui hunc spectasset audierit: idem etiam nobis accidere; habitantes enim in cavo quodam terrae nos arbitrari supra ipsam habitare et aërem vocare caelum, quia per hunc tamquam caelum astra currant; hoc autem esse idem illud: propter imbecillitatem ac tarditatem non posse nos pervenire ad summum aërem; nam si quis ad altitudinem eius veniret vel alis acceptis evolaret, hunc emergentem, sicut pisces e mari emergentes conspiciunt quae hic sunt, conspecturum esse quae ibi sunt, et si natura satis posset sustinere contemplationem, cogniturum esse, illud esse verum caelum, veram lucem et veram terram. haec enim terra, hi lapides et totus hic locus corruptus est atque exesus, veluti res in mari ab aqua salsa, ita ut neque quicquam nascatur insigne in mari neque ulla propemodum res perfecta reperiatur, sed rupes, arena, limus immensus ac coenum conspiciantur, ubicumque etiam terra exstat, quae quidem cum pulchritudinibus apud nos exstantibus collata nihili prorsus facienda

ἐκεῖνα δὲ αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον φανείη διαφέ*ρειν. εἰ γὰρ δεῖ καὶ μῦθον λέγειν καλόν, ἄξιον ἀκοῦσαι, B
ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Ἀλλὰ μήν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν. Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλοις χρώμασι διειλημμένη, ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα ὥσπερ δείγματα, οἷς δὴ οἱ γραφεῖς κα*ταχρῶνται· ἐκεῖ C
δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὅση λευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων ξυγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων καὶ καλλιόνων, ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔμπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι, * στίλβοντα ἐν τῇ τῶν ἄλλων χρω- D
μάτων ποικιλίᾳ, ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ ἀνὰ λόγον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς, καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τήν τε λειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους καὶ
*πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὅ τι οὐ τοιοῦτον εἶναι E
καὶ ἔτι τούτων κάλλιον. τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι καὶ οὐ κατεδηδεσμένοι οὐδὲ διεφθαρμένοι, ὥσπερ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἅλμης, ὑπὸ *) τῶν δεῦρο ξυνεῤῥυηκότων, ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι καὶ
ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις αὖ τοῖς * τοιού- 111
τοις· ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει καὶ μεγάλα καὶ πανταχοῦ τῆς γῆς, ὥστε αὐτὴν ἰδεῖν εἶναι θέα-

---

*) ἴσ. καί.

ſunt; illa vero etiam magis his noſtris praeſtantia reperientur. nam ſi fabulam oportet narrari pulchram, operae pretium eſt audire, Simmia, quomodo ſe habeant res in terra ſub caelo exſtantes. Nos vero, inquit Simmias, Socrate, avemus hanc audire fabulam. Dicitur igitur, inquit, amici, primum terra ipſa talis videri, ſi quis deſuper ſpectet, quales ſint pilae e duodecim corii particulis conſutae, variis coloribus distincta, quorum ſpecimina quaſi ſint colores noſtri, quibus videlicet pictores utantur; ibi vero univerſa terra talibus conſtare multoque etiam ſplendidioribus ac purioribus quam hi ſint; una enim eius pars purpurea eſſe et admirabili pulchritudine, altera auro ſimilis, et quantum eius candidum ſit, id gypſo et nive eſſe candidius, et e reliquis coloribus dicitur conſtare eadem ratione, etiam pluribus ac pulchrioribus quam quos conſpexerimus. nam haec ipſa eius cava, aqua et aëre plena, coloris ſpeciem quandam exhibere, ſplendentia in ceterorum colorum varietate: ut una quaedam eius ſpecies, variis continenter coloribus distincta, conſpiciatur. in hac vero ita comparata ea quae naſcantur eadem ratione dicunt naſci: arbores, flores et fructus, itemque montes ac lapides eidem rationi convenientem habere et laevitatem et perſpicuitatem coloresque pulchriores: quorum particulas eſſe lapillos illos qui apud nos in pretio habeantur, ſardas, iaſpides, ſmaragdos omniaque generis eiusdem; illic autem nihil reperiri quod non ſit tale atque etiam pulchrius. cauſam vero eius rei eſſe hanc, quod illi lapides puri ſint nec exeſi vel corrupti, ſicut noſtri, a putredine, aqua ſalſa rebusque huc confluentibus, quae non ſolum lapidibus ac terrae, verum etiam animantibus et plantis deformitates ac morbos afferunt. ipſam vero terram ornatam eſſe his omnibus, praeterea auro et argento et aliis huiusmodi rebus; exſtare enim haec et copioſa et multa ubique in terra, ut

μα εὐδαιμόνων θεατῶν. ζῶα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ *) οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν, τοὺς δὲ ἐν νήσοις, ἃς περιῤῥεῖν τὸν ἀέρα πρὸς τῇ ἠπείρῳ οὔσας, καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέ*ρα, ὃ δὲ B
ἡμῖν ὁ ἀήρ, τοῦτο **) ἐκείνοις τὸν αἰθέρα. τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι καὶ χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε, καὶ ὄψει καὶ ἀκοῇ καὶ ὀσφρήσει ***) καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει, ᾗπερ ἀήρ τε ὕδατος ἀφέστηκε καὶ αἰθὴρ ἀέρος πρὸς καθαρότητα. καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν καὶ τοιαύτας ξυνουσίας γίγνεσθαι * αὐτοῖς πρὸς αὐτούς· καὶ τόν C
γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν, οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι. καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι καὶ τὰ περὶ τὴν γῆν· τόπους δ' ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς κύκλῳ περὶ ὅλην πολλούς, τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον, ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν, τοὺς δὲ βαθυτέρους ὄντας τὸ χάσμα αὐτῶν ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου, ἔστι δ' οὓς καὶ βραχυτέ*ρους τῷ βάθει D
τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους. τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους ξυντετρῆσθαί τε πολλαχῇ, καὶ κατὰ στενώτερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν, ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους ὥσπερ εἰς κρατῆρας, καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν, πολὺ δὲ πῦρ καὶ πυρὸς μεγάλους ποταμούς, πολλοὺς δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου, ὥσπερ ἐν * Σικε- E
λίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ· ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὧν ἂν ἑκάστοις τύχῃ ἑκάστοτε ἡ περιῤῥοὴ γιγνο-

---

*) ἄλλ. μεσογείᾳ. **) γρ. τοῦτο ἐκεῖ.

***) γρ. φρονήσει.

eam conspicere spectaculum sit beatorum spectatorum. animantia in ea esse quum alia multa tum etiam homines, partim in locis mediterraneis habitantes, partim circum aërem, sicut nos circum mare, partim in insulis quas aër circumfluat prope continentem sitas, et uno verbo, quod nobis aqua et mare sit ad usum nostrum, hoc ibi esse aërem, et quod nobis aër, id illis aethera. tempestates vero iis eiusmodi caeli temperationem habere, ut morbis illi sint vacui, longe diutius vivant quam qui hic sunt, et ad videndum, audiendum, olfaciendum omniaque generis eiusdem eadem a nobis ratione distent, qua aër ab aqua et aether ab aëre distat ad sinceritatem. atque etiam deorum templa locaque sacrata iis esse, in quibus revera habitatores sint dii, et voces, oracula visionesque deorum et huiusmodi congressiones cum diis contingere illis; ac solem, lunam stellasque conspici ab iis quales vere sint, reliquamque his felicitatem respondere. et universam quidem terram ita esse natura comparatam atque res circum terram; esse vero loca in ipsa secundum eius cava circumcirca multa, partim profundiora magisque aperta quam in quo nos habitamus, partim profundiora quidem, sed minore hiatu quam nostrum locum; nonnulla etiam minus profunda esse hoc loco, at latiora. haec autem omnia sub terra inter se esse perforata multis partibus, tum angustius tum latius, et canales habere, per quos multum aquae fluat ex aliis in alia tamquam in aquarum conceptacula, itemque immensas perennium fluminum magnitudines sub terra et calidarum aquarum et frigidarum, multum quoque ignis ignisque magna flumina multaque luti liquidi, et limpidioris et coenosioris, eorum instar qui in Sicilia fluvium ferventem antecedunt luti rivi ipseque fluvius fervens; et his quidem compleri locos singulos, prout quemque illa cir-

μένη. ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω, ὥςπερ αἰώραν
τινὰ ἐνοῦσαν ἐν τῇ γῇ. ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα διὰ φύσιν
τοιάνδε τινά· ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον
τυγχάνει ὂν καὶ διαμπερὲς τετρημένον δι' * ὅλης τῆς γῆς, τοῦ- 112
το ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτὸ

Τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον·

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρ-
ταρον κεκλήκασιν· εἰς γὰρ τοῦτο τὸ χάσμα ξυῤῥέουσί τε πάν-
τες οἱ ποταμοὶ καὶ ἐκ τούτου πάλιν ἐκρέουσι· γίγνονται δὲ
ἕκαστοι τοιοῦτοι, δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. ἡ δ' αἰ-
τία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰςρεῖν * πάντα τὰ ῥεύ- B
ματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο·
αἰωρεῖται δὴ καὶ κυμαίνει ἄνω καὶ κάτω, καὶ ὁ ἀὴρ καὶ τὸ
πνεῦμα τὸ περὶ αὐτὸ ταὐτὸν ποιεῖ· ξυνέπεται γὰρ αὐτῷ καὶ
ὅταν εἰς τὸ ἐπ' ἐκεῖνα τῆς γῆς ὁρμήσῃ καὶ ὅταν εἰς τὸ ἐπὶ
τάδε, καὶ ὥςπερ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀνα-
πνεῖ ῥέον τὸ πνεῦμα, οὕτω καὶ ἐκεῖ ξυναιωρούμενον τῷ
ὑγρῷ τὸ πνεῦμα δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους πα-
ρέχεται καὶ εἰςιὸν καὶ ἐξιόν. ὅταν τε οὖν ὁρμῆσαν ὑπο*χω- C
ρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς
κατ' ἐκεῖνα τὰ ῥεύματα διὰ τῆς γῆς *) εἰςρεῖ τε καὶ πληροῖ
αὐτὰ ὥςπερ οἱ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν μὲν ἀπο-
λίπῃ, δεῦρο δὲ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις, τὰ δὲ
πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς
τοὺς τόπους ἕκαστα ἀφικνούμενα, εἰς οὓς ἑκάστους ὁδοποι-
εῖται, θαλάττας τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποι-
εῖ. ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν * μα- D
κροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους
καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει, τὰ μὲν
πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑπο-
κάτω εἰςρεῖ τῆς ἐκροῆς. καὶ ἔνια μὲν καταντικρὺ ἢ εἰςρεῖ

*) ἴσ. κατ' ἐκεῖνα τ. ῥ. τῆς γῆς.

cumfluant. haec autem omnia furfum deorfum moveri, quafi ofcillatio quaedam in terra fit. eft vero haec ofcillatio ex hac fere caufa repetenda: unus ex illis terrae hiatibus tum maximus eft tum per totam continenter terram perforatus, is quem Homerus intellexit canens:

Longius hinc, ubi fub terra eft immane barathrum;

quem quidem aliis quoque locis et ille et alii multi poetae Tartarum nuncuparunt; in hunc enim hiatum confluunt omnia flumina exque hoc rurfus effluunt; evadunt autem omnia talia, qualis per quam fluunt terra eft. in caufa vero, cur effluant illinc et influant omnia flumina, hoc eft, quod neque fundum habet neque fulcimentum haec aquarum colluvies; quocirca fuspenfa tenetur fluctuatque furfum deorfum; idemque aër et ventus circa illam facit; fequitur enim illam, et quando in ulteriorem terrae partem prorumpit, et quando in citeriorem, et ut refpirantium femper exfpirat et refpirat flatus fluens, fic etiam illic fimul cum aquarum colluvie fuspenfus flatus horribiles et immenfos efficit ventos et influens et effluens. quando igitur aqua prorumpens recedit in locum qui inferior dicitur, in flumina terrae quae illic funt influit eaque implet ficut ii qui infundunt, quando vero illinc digreditur et huc prorumpit, flumina quae hic funt rurfus implet, quae impleta fluunt per canales et terram, et in loca fingula quum venerunt, ad quae viam fibi quodque facit, maria, lacus, fluvios ac fontes fingunt. illinc vero rurfus terram fubeuntia, quum partim ampliores circumiverunt et plures locos, partim minores ac breviores, rurfus in Tartarum effunduntur, alia multo inferius quam ubi infundendo implebantur, alia parum, omnia vero inferius influunt quam effluxerunt. et nonnulla quidem e regione eius loci ubi influunt effunduntur, nonnulla

ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος, ἔστι δὲ καὶ ἃ παντάπασι κύκλῳ περιελθόντα ἢ ἅπαξ ἢ καὶ πλεονάκις, περιελιχθέντα περὶ τὴν γῆν ὥσπερ οἱ ὄφεις, εἰς τὸ δυνατὸν κάτω καθέντα πάλιν ἐμβάλλει· δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι E
τοῦ μέσου καθιέναι, πέρα δ' οὔ· ἄναντες γὰρ*) ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος. τὰ μὲν οὖν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δ' ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρ' ἄττα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον περὶ κύκλῳ**) ὁ καλούμενος Ὠκεανός ἐστι, τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων, ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων * εἰς τὴν λίμνην ἀφικνεῖ- 113
ται τὴν Ἀχερουσιάδα, οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται καί τινας εἱμαρμένους χρόνους μείνασαι, αἱ μὲν μακροτέρους, αἱ δὲ βραχυτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζώων γενέσεις. τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καόμενον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ· ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ * πηλώδης, περιελιτ- B
τόμενος δὲ [τῇ γῇ] ἄλλοσέ τε ἀφικνεῖται καὶ παρ' ἔσχατα τῆς Ἀχερουσιάδος λίμνης, οὐ ξυμμιγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου. οὗτος δ' ἐστὶν ὃν ἐπονομάζουσι Πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν, ὅπῃ ἂν τύχωσι τῆς γῆς. τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα δὲ ἔχοντα ὅλον οἷον ὁ κυανός, * ὃν δὴ ἐπονομάζουσι Στύγιον C
καὶ τὴν λίμνην, ἣν ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα. ὁ δ' ἐμπεσὼν ἐνταῦθα καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ

---

*) ἴσ. ἄναντες γὰρ πρόσω κτλ.
**) ἴσ. περιῤῥέον κύκλῳ.

eadem parte; ſunt vero etiam quae, quum ubique circumcirca fluxerunt vel ſemel vel ſaepius, circumvolventia ſe circum terram ſicut angues, quam altiſſime poſſunt ſe demittentia, rurſus effundantur; poſſunt autem in utramque regionem usque ad medium ſe demittere, ultra nequeunt: abrupta eſt enim utrique flumini ulterior utriusque partis regio. atque alia quidem flumina ſunt multa et magna et varia; in his vero multis quattuor quidam ſunt fluvii, quorum maximus et extima parte circumfluens Oceanus eſt qui dicitur; huius e regione parteque oppoſita fluit Acheron, qui quum per alia loca effunditur deſerta, tum vero etiam ſub terra fluens in paludem venit Acheruſiam, quo animi plurimorum mortuorum deveniunt, et quum praeſtituta quaedam tempora manſerunt, alii longiora, alii breviora, rurſus emittuntur in animantium generationes. Tertius vero fluvius medius inter hos erumpit et prope ab eruptione labitur in locum magnum igni multo flagrantem, et paludem facit maiorem hoc noſtro mari, ferventem illam aqua et limo; illinc currit circumcirca turbidus et lutulentus, circumvolvens autem ſeſe quum alio tum ad extremam paludem Acheruſiam pervenit, non ſe commiſcens cum huius aqua; circumvolutus ſaepius ſub terra effunditur inferius in Tartarum. hic vero eſt quem Pyriphlegethontem nominant, a quo partes divulſas fluvii ardentes, ubicumque terrae ſunt, eiiciunt. huius autem e regione quartus effunditur in locum primo horribilem ac ferum, ut dicitur, totum vero colore praeditum, qualis eſt lapidis caerulei, quem quidem cognomine appellant Stygium et paludem, quam facit fluvius ſeſe effundens, Styga; ille vero in hanc delapſus horribilibus viribus in aqua aſſumptis, quum ſubît terram, ſe circumvolvens fluit contra Pyriphlegethontem et occurrit huic in Acheruſia palude ex adverſo; nec huius aqua cum alia ſe commiſcet, ſed,

οὗτος κύκλῳ περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον ἐναντί-
ως τῷ Πυριφλεγέθοντι· ὄνομα δὲ τούτῳ ἐστίν, ὡς οἱ ποιη-
ταὶ λέγουσι, Κωκυτός. * τούτων δὲ οὕτω πεφυκότων, ἐπει- D
δὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον, οἷ ὁ δαί-
μων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς
καὶ ὁσίως βιώσαντες καὶ οἱ μή· καὶ οἳ μὲν ἂν δόξωσι μέ-
σως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες
ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν
λίμνην, καὶ ἐκεῖ οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε ἀδι-
κημάτων διδόντες δίκας ἀπολύονται, εἴ τίς τι ἠδίκηκε, τῶν
τε εὐεργεσιῶν τιμὰς φέρον*ται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ E
δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημά-
των, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους
καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι ἢ ἄλλα ὅσα τυγχάνει
τοιαῦτα ὄντα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς
τὸν Τάρταρον, ὅθεν οὔ ποτε ἐκβαίνουσιν· οἳ δ' ἂν ἰάσιμα
μέν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς
πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μετα-
μέλον * αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοι- 114
ούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν
εἰς τὸν Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς καὶ ἐνιαυ-
τὸν ἐκεῖ γενομένους ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφό-
νους κατὰ τὸν Κωκυτόν, τοὺς δὲ πατραλοίας καὶ μητραλοί-
ας κατὰ τὸν Πυριφλεγέθοντα· ἐπειδὰν δὲ φερόμενοι γένων-
ται κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε
καὶ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ οὓς ὕβρισαν,
καλέσαντες δ' ἱκετεύουσι καὶ δέονται ἐᾶ*σαι σφᾶς ἐκβῆναι B
εἰς τὴν λίμνην καὶ δέξασθαι, καὶ ἐὰν μὲν πείσωσιν, ἐκβαί-
νουσί τε καὶ λήγουσι τῶν κακῶν, εἰ δὲ μή, φέρονται αὖθις
εἰς τὸν Τάρταρον κἀκεῖθεν πάλιν εἰς τοὺς ποταμούς, καὶ
ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν
οὓς ἠδικήκασιν· αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐ-
τοῖς ἐτάχθη. οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσί-
ως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ
γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥσπερ δεσμω-
τηρίων, * ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι C

quum circumcirca fluxit, effunditur in Tartarum e regione Pyriphlegethontis, nomen vero illi eſt, ut poetae dicunt, Cocytus. his igitur ita comparatis, quando venerunt mortui ad locum, quo ſuus quemque genius ducit, iudicium ſubeunt, qui bene pieque vixerint necne; et qui videntur mediocriter vixiſſe, proficiſcuntur ad Acherontem et conſcendentes quae videlicet iis ſunt vehicula migrant ad pludem, ibique habitant et ſeſe expiantes ſcelerumque poenas perſolventes liberantur, ſi quis quid iniuſte fecit, benefactorum etiam praemia conſequuntur pro ſua quisque dignitate; qui vero reperiuntur inſanabiles propter ſcelerum magnitudinem, vel ſacrilegiis multis ac magnis vel caedibus iniuſtis et iniquis multis perpetratis vel aliis generis eiusdem commiſſis, eos ſors conveniens coniicit in Tartarum, unde numquam evadunt. qui ſanabilia quidem, ſed magna iudicantur concepiſſe ſcelera, velut patri vel matri per iram vim attulerunt, poenitentesque reliquam vitam traduxerunt, vel qui alia huic ſimili ratione homicidae exſtiterunt, ii in Tartarum quidem coniiciantur neceſſe eſt, coniectos vero et per annum ibi commoratos eiicit fluctus, et homicidas quidem in Cocytum, parricidas vero ac matricidas in Pyriphlegethontem. qui quum delati prope acceſſerunt ad paludem Acheruſiam, clamitant atque invocant alii quos interfecerunt, alii quos contumelia affecerunt, invocantesque supplicant et orant, ut ſinant ſe egredi in paludem atque recipiant, et ſi illis perſuaſerunt, egrediuntur ac liberantur a malis, ſin minus, deferuntur iterum in Tartarum indeque rurſus in fluvios, neque prius ita affligi deſinunt, quam perſuaſerunt iis quibus fecerunt iniuriam; haec eſt enim iis poena a iudicibus conſtituta. qui vero videntur excelluiſſe vitae ſanctitate, hi ſunt qui ab his in terra locis liberantur atque disiunguntur tamquam a carceribus, ſurſum vero in purum domicilium perveniunt et

καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πάντα *) ποιεῖν ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη.

Τὸ μὲν οὖν ταῦτα * διϊσχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ D διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί, ὅτι μέντοι ἢ ταῦτ' ἐστὶν ἢ τοιαῦτ' ἄττα περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν· καλὸς γὰρ ὁ κίνδυνος καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ ἐπᾴδειν ἑαυτῷ· διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω τὸν μῦθον. ἀλλὰ τούτων δὴ ἕνεκα θαῤῥεῖν χρὴ περὶ τῇ αὑτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς * τὰς περὶ τὸ σῶμα E καὶ τοὺς κόσμους εἴασε χαίρειν ὡς ἀλλοτρίους τε ὄντας καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι, τὰς δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ, ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ καὶ * ἀληθείᾳ, οὕτω περιμένει τὴν 115 εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ. ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, ἐσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε, ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικός, ἡ εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν· δοκεῖ γὰρ δὴ βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον, καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λούειν.

Ταῦτα δὴ εἰπόντος αὐτοῦ, ὁ Κρίτων Εἶεν, * ἔφη, B ὦ Σώκρατες, τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιστέλλεις ἢ περὶ τῶν παίδων ἢ περὶ ἄλλου του, ὅ τι ἂν σοι ποιοῦντες ἡμεῖς ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅπερ ἀεί, ἔφη, λέγω, ὦ Κρίτων, οὐδὲν καινότερον, ὅτι ὑμῶν αὐτῶν ἐπιμελού-

*) ἄλλ. πᾶν.

ſupra terram habitant. in his ipſis autem qui philoſophia ſatis ſe purgarunt ſine corporibus vivunt per omne poſterum tempus et in domicilia etiam pulchriora illis aſcendunt, quae neque facile eſt deſcribere neque tempus ſuppetit praesens. horum vero cauſa quae expoſuimus, Simmia, omni hoc nos ſtudio agere oportet ut virtutem ac prudentiam in vita nanciſcamur; praeclarum enim eſt praemium et ſpes magna.

Ac pro certo quidem affirmare haec ita ſe habere, ut perſequutus ſum, haud decet virum prudentem, hanc tamen eſſe vel ſimilem quandam animorum noſtrorum ac domiciliorum rationem, ſiquidem immortalem eſſe animum patet, hoc credi et decere mihi videtur et dignum eſſe periculum quod ſuſcipiatur; pulchrum enim eſt periculum et oportet talibus quaſi incantatis animum erigi; quamobrem ego quoque iam diu produxi narrationem. horum autem cauſa securum oportet de animo ſuo eſſe virum, qui in vita ceteras corporis voluptates atque ornatus miſſos fecit, exiſtimans alienos illos eſſe et magis obeſſe quam prodeſſe, eos vero qui ad doctrinam ſpectant coluit et, quum animum ornavit non alieno, ſed proprio ſuo ornatu, temperantia, iuſtitia, fortitudine, libertate ac veritate, ita exſpectat migrationem ad inferos, paratus ad migrandum, quando fatum vocat. vos quidem, inquit, Simmia et Cebes et reliqui, alias ſuo quisque tempore migrabitis, me autem nunc iam vocat, dixerit vir tragicus, fatum, et tempus fere urget ut pergam ad lavationem; videtur enim melius eſſe lavare antequam venenum potem, nec mulieribus id negotii exhibere ut cadaver lavent.

Quae quum dixiſſet, Crito Iam vero, inquit, Socrate, quid his aut mihi mandas vel de filiis vel de alia quapiam re, quod gratiſſimum tibi facere poſſimus? Quod ſemper, ait, dico, Crito, nihil novi: vos curam

μενοι ὑμεῖς καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χά-
ριτι ποιήσετε, ἅττ' ἂν ποιῆτε, κἂν μὴ νῦν ὁμολογήσητε·
ἐὰν δὲ ὑμῶν αὐτῶν ἀμελῆτε καὶ μὴ θέλητε ὥςπερ κατ'
ἴχνη κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν
χρόνῳ ζῆν, οὐδ', ἐὰν πολλὰ ὁμολογήσητε * ἐν τῷ παρόντι C
καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν
προθυμηθησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δὲ τίνα
σε τρόπον; Ὅπως ἄν, ἔφη, βούλησθε, ἐάνπερ γε λάβητέ
με καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῇ καὶ πρὸς
ἡμᾶς ἀποβλέψας εἶπεν Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτω-
να, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης ὁ νυνὶ διαλεγόμενος
καὶ διατάττων ἕκαστα τῶν λεγομένων, ἀλλ' οἴεταί με ἐκεῖ-
νον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν, καὶ ἐρωτᾷ δὴ
* πῶς με θάπτῃ· ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι D
ὡς, ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ'
οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι
δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα
δ' ἐμαυτόν. ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν
ἐναντίαν ἐγγύην, ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο·
οὗτος μὲν γάρ, ἦ μὴν παραμενεῖν, ὑμεῖς δέ, ἦ μὴν μὴ
παραμενεῖν, ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰ*χήσε- E
σθαι ἀπιόντα, ἵνα Κρίτων ῥᾷον φέρῃ καὶ μὴ ὁρῶν μου
τὸ σῶμα ἢ καόμενον ἢ κατορυττόμενον ἀγανακτῇ ὑπὲρ
ἐμοῦ ὡς δείν' ἄττα πάσχοντος, μηδὲ λέγῃ ἐν τῇ ταφῇ ὡς
ἢ προτίθεται Σωκράτη ἢ ἐκφέρει ἢ κατορύττει. εὖ γὰρ
ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν οὐ
μόνον εἰς αὐτὸ τοῦτο πλημμελές, ἀλλὰ καὶ κακόν τι ἐμποι-
εῖ ταῖς ψυχαῖς. ἀλλὰ θαῤῥεῖν τε χρὴ καὶ φάναι τοὐμὸν
σῶμα θάπτειν, καὶ θάπτειν οὕτως * ὅπως ἄν σοι φίλον ᾖ 116
καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι.

Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τοτὲ δ' αὖ περὶ τῆς

in vosmet ipſos conferentes et mihi et iis quae ad me pertinent et vobismet ipſis gratum facturos eſſe quicquid faciatis, etiamſi nunc non promiſeritis; ſin vos ipſi negligitis nec voltis tamquam veſtigia ea quae tum nunc tum in ſuperiore vita dicta ſunt, ſequentes vivere, etiamſi multum promiſeritis in praesentia idque religioſe, nihil tamen proficietis. Haec ſane ſtudebimus, inquit, ut ita faciamus; ſed quomodo te ſepeliamus? Quomodocumque, ait, voltis, ſiquidem me nacti eritis nec vos effugero. Simul placide ridens et in nos intuens Non perſuadeo, inquit, o viri, Critoni, me eſſe hunc Socratem qui nunc vobiscum colloquitur et ſingula mandans dicit, ſed arbitratur me illum eſſe, quem viſurus ſit paullo poſt mortuum; atque iccirco interrogat quomodo me ſepeliat; id autem in quo iam diu multus fui, me veneno poto non amplius vobis manſurum, ſed abiturum eſſe ad beatorum quasdam felicitates, hoc igitur mihi videor fruſtra ei dicere conſolans ſimul vos ſimul me ipſum. ſponſionem igitur Critoni, inquit, facite contrariam eius quam ipſe iudicibus fecit; ipſe enim ſpopondit, fore ut maneam, vos autem, non fore ut maneam, ſpondete, quum mortuus ſim, ſed ut abeam, quo Crito facilius id ferat nec corpus meum cernens vel cremari vel ſepeliri vicem meam doleat quaſi indigna patiar, neque dicat in ſepultura, ſe Socratem vel mortuum collocare vel efferre vel in ſepulcro condere, probe enim ſcito, inquit, optime Crito, non recte dicere non modo per ſe abhorrere, ſed etiam mali quid inferre animis. at ſecuro te animo eſſe oportet atque dicere, corpus te meum ſepelire, idque ita ſepelire debes, ut tibi placet et maxime arbitraris legibus conſentaneum eſſe,

Haec quum dixiſſet, ſurrexit et in cellam quandam ivit ut ſe lavaret; Crito ipſum ſequutus eſt, nos autem iuſſit praeſtolari. praeſtolati igitur ſumus, partim inter nos colloquentes de iis quae dicta erant eorumque me-

ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγού-
μενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπει-
τα βίον. ἐπειδὴ δὲ ἐλούσατο * καὶ ἠνέχθη παρ' αὐτὸν τὰ B
παιδία (δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας)
καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ
Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς
μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ
ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον
γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος,
καὶ οὐ πόλλ' ἄττα μετὰ ταῦτα διελέχθη· καὶ ἧκεν ὁ τῶν
ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ' αὐτόν Ὦ Σώκρα*τες, ἔφη, C
οὐ καταγνώσομαί γε σοῦ, ὅπερ τῶν ἄλλων καταγιγνώσκω,
ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς πα-
ραγγείλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόν-
των· σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γεν-
ναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώ-
ποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ
ἐμοὶ χαλεπαίνεις (γιγνώσκεις γὰρ τοὺς αἰτίους), ἀλλ' ἐκεί-
νοις. νῦν οὖν (οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν) χαῖρέ τε καὶ
πειρῶ ὡς ῥᾷστα φέ*ρειν τὰ ἀναγκαῖα. Καὶ ἅμα δακρύσας D
μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς
αὐτόν Καὶ σύ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν.
Καὶ ἅμα πρὸς ἡμᾶς Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ
παρὰ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε
καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γενναίως με ἀποδα-
κρύει. ἀλλ' ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγ-
κάτω τις τὸ φάρμακον, εἰ τέτριπται, εἰ δὲ μή, τριψάτω ὁ
ἄνθρωπος. Καὶ ὁ Κρίτων Ἀλλ' οἶμαι, * ἔφη, ἔγωγε, ὦ E
Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι καὶ οὔπω δεδυ-
κέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας,
ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ
μάλα, καὶ ξυγγενομένους γ' ἐνίους, ὧν ἂν τύχωσιν ἐπιθυμοῦν-
τες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης

moriam repetentes, partim exponentes quantam acce-pissemus calamitatem, revera nos existimantes, quasi patre orbatos, traducturos esse orbos posteram vitam. postquam lavatus erat et allati ad ipsum erant pueruli (duos enim filios habebat parvulos, unum vero grandem), simulque mulieres propinquae venerant, cum his coram Critone colloquutus est iisque mandavit quae cupiebat; tum mulieres ac puerulos abire iussit, ipse vero ad nos redit. atque iam propius solis occasum erat; diu enim intus fuerat commoratus. quum redisset, consedit lotus, nec multa posthac loquutus est. tum undecimvirorum minister venit et consistens ad eum O Socrates, inquit, non arbitror in te me offensurum esse quod in aliis offendo, qui quidem mihi succensent atque exsecrantur, quando iis denuncio ut venenum bibant, cogentibus magistratibus; te vero quum alias cognovi per hoc tempus generosissimum, humanissimum et optimum esse virum ex omnibus, qui umquam huc venerant, tum etiam nunc sat scio te non mihi succensere, sed illis quos scis in culpa esse. nunc igitur (nosti enim quae tibi nunciatum venerim) vale et conare quam facillime ferre quod necesse est. Effusis simul lacrimis conversus ille abit. Tum Socrates illum respectans Et tu, inquit, vale, nos vero ita faciemus. Simul ad nos conversus Quam comis, inquit, est homo! per totum hoc tempus ad me accedebat et colloquebatur nonnumquam mecum et optimus erat virorum, et nunc quoque quam ingenue me deplorat! agedum vero, Crito, obtemperemus isti et afferto quis venenum, si contritum est, sin minus, conterito homo. Tum Crito At reor, inquit, equidem, Socrate, solem adhuc in montibus esse, necdum occidisse. praeterea scio etiam alios bene sero bibisse, hoc iis iam nunciato, coenantes ante beneque potantes, quin nonnullos etiam consuescentes cum iis quos concupissent. itaque ne festina; tempus enim suppetit. Atque Socrates Convenienter quidem sibi, inquit,

Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις· οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες· καὶ ἔγωγε εἰκότως ταῦτα οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδαίνειν*) * ὀλί- 117
γον ὕστερον πιὼν ἄλλο γε, ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, ἔφη, πιθοῦ καὶ μὴ ἄλλως ποίει. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι· καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἧκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον Εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιϊέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένη*ται, ἔπειτα B
κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει. Καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ', ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν, ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς
* θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖ- C
σε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ. Καὶ ἅμα εἰπὼν ταῦτα ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε καὶ αὐτοῦ βίᾳ καὶ ἀστακτὶ **) ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς * ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρί- D
των ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη, Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλάων καὶ ἀγανακτῶν, οὐδένα ὅν τινα οὐ κα-

*) ἴσ. κερδανεῖν.
**) γρ. ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστ. ἄλλ. ἐμοῦ γε βίᾳ καὶ ἀστ.

Crito, illi quos dicis haec faciunt; arbitrantur enim aliquid lucrari haec facientes; ego autem convenienter mihi haec non sum facturus; nihil enim aliud opinor aliquanto serius veneno bibendo me lucraturum esse nisi hoc, quod mihi ipse risui sim futurus, adhaerens vitae eique parcens quae pro nihilo iam sit. at agedum, inquit, obtemperato nec aliter facito. Tum Crito his auditis annuit puero prope stanti; atque puer egressus diuque moratus redit cum homine qui venenum daturus erat, in poculo id afferens contritum. quem Socrates quum vidisset Iam, inquit, mi bone, quoniam tu hoc intelligis, quid facere me oportet? Nihil aliud, inquit, quam, eo poto, circumire, donec gravitatem senseris in cruribus, tum recumbere; ita per se efficax erit. Et simul porrexit poculum Socrati. hic vero illud accipiens et quidem admodum hilaris, Echecrate, non tremens nec mutans neque colorem neque vultum, sed oculis, ut solebat, defixis hominem intuens Quid dicis? inquit; num licet de hac potione alicui libare, necne? Tantum, ait ille, Socrate, conterimus quantum satis esse arbitramur ad bibendum. Intelligo, inquit; at precari certe deos licet et oportet, ut migratio quam hinc illuc instituo felix faustaque sit; quod quidem etiam precor et ut fiat opto. Haec dum dicebat, poculum ori admovit et admodum strenue ac facile ebibit. atque maxima nostrum pars adhuc satis potuerat a lacrymando se continere, quum autem videremus ipsum bibentem et postquam biberat, non amplius potuimus nos tenere, sed mihi ipsi quoque vi et effuse fluxerunt lacrymae, ita ut pallio me obvolvens deplorarem vicem meam: non enim illum, sed meam ipse sortem deflevi, quod tali amico orbatus essem. Crito etiam prior me quum lacrymas non potuisset continere, surrexerat, Apollodorus autem iam ante non desierat flere, tum vero eiulavit, ploravit et lamentatus est adeo ut nemo de praesen-

τέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δέ Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι; ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ * χρὴ τελευτᾶν. E ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν· ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις * τὰς κνήμας, καὶ ἐπανιὼν οὕτως ἡμῖν 118 ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πήγνυτο *)· καὶ αὐτὸς ἥπτετο καὶ εἶπεν ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γάρ) εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο, Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε **) καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων ξυνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

---

*) ἴσ. πηγνῦτο ἢ πηγνύοιτο.

**) ἴσ. ἐκινήθη· καὶ ὁ ἄνθρ.

tibus esset cuius animum non frangeret, ipso videlicet Socrate excepto; hic enim Quid, inquit, facitis, admirabiles? ego tamen hanc potissimum ob causam mulieres amandavi ne tale quid committerent; audivi enim bonis ominibus esse moriendum. itaque quieti estote vobisque temperatote. Atque nos his auditis erubuimus et tenuimus lacrymas; ille vero, quum circumivisset, crura sibi gravari dixit supinusque recubuit; hoc enim iusserat homo. simulque ipsum contrectans is qui venenum dederat, paullo post inspexit eius pedes ac crura, deinde vehementer premens eius pedem interrogavit an sentiret. ille negavit. postea rursus tibias pressit et manu ita ascendens ostendit nobis eum frigescere fierique rigidum; ipse quoque tetigit dixitque, quum ad cor ei perventum esset, tum eum mortem esse obiturum. iam fere partes circa ventrem imum ei frigidae erant, quum se detegens (tectus enim erat) diceret, quod quidem postremum loquutus est: O Crito, inquit, Aesculapio debemus gallum; reddite hunc, nec negligite. Hoc sane, inquit, fiet, Crito; sed vide num quid aliud velis. Ad haec quae ille dixerat nihil amplius respondit, sed aliquanto post palpitavit; homo eum detexit, et oculi eius obriguerant; quod Crito quum vidisset, compressit os atque oculos.

Hic fuit finis, Echecrate, amici nostri, viri, ut nos dicamus, omnium nostrae memoriae, quos consuetudine cognovimus, quum optimi tum prudentissimi atque iustissimi.

CORRIGENDA.

P. 4 v. 4 a f. σοφωτερον leg. σοφώτερον.
— 22 v. 10 Ιxxος leg. Ἴxxος.
— 47 v. 24 accufare leg. accufari.
— 74 v. 9 οὐ leg. οἱ.
— 81 v. 6 a f. fieri leg. fieri.
— 89 v. 20 huiusmodi inter focietates leg. ita etiam huiusmodi foc.
— 110 v. 16 ἴοτε leg. οἴτε.
— 132 v. 8 Poft v. ἔχειν puncto diftinguendum.
— 147 v. 19 nullius leg. ullius.
— 157 v. 23 tunc leg. tum.
— 170 v. 2 Πῇ leg. Πῇ, itemque in feqq. ὅπῃ.
— 177 v. 3 vero leg. vero.
— 195 v. 5 comma ante v. pinnati delendum.
— 207 v. 2 a f. Qui aliter leg. Qui aliter?
— 219 v. 7 discindere leg. discidere.
— 240 v. 15 ἐπῃνει leg. ἐπῄνει.
— 250 v. 5 poft v. βοηθεῖν commate diftinguendum.
— 251 v. 10 Quidnam leg. Quodnam.
— — v. 1 a f. attigerint leg. attigerunt.
— 264 v. 18 poft v. xaχεξίαν interrogationis pone fignum.
— 281 v. 4 a f. poft v. creetur comma delendum.
— 285 v. 4 a f. ad hos leg. hos.
— 305 v. 23 Interrogationum leg. Interrogatio num.
— 313 v. 11 his leg. hic.
— — v. 21 facere leg. faceret.
— 331 v. 8 a f. erat leg. erit.
— 347 v. 4 perfe verare leg. perfeverare.
— 352 v. 11 a f. ἐρωτωμένου leg. ἐρωτώμενον.
— 358 v. 3 οἶμαι leg. οἶμαι.
— 369 v. 17 poft v. Quid interrogationis fignum ponendum.
— 382 v. 12 πότερον φῂς leg. πότερόν φῃς.
— 389 v. 18 gerat leg. gereret.
— 417 v. 1 vifui leg. vifus.
— 437 v. 6 a f. fuerit leg. fuiffet.
— 454 v. 4 ἀποθνἰοιμι leg. ἀποθάνοιμι.
— 465 v. 22 aacinora leg. facinora.
— 472 v. 1 a f. ᾧ leg. ᾧ.
— 500 v. 9 το leg. τό.
— 504 not. **) ουν leg. οὖν.
— 508 v. 5 a f. παὶ leg. καὶ.
— 516 v. 22 τοῦτ' ἐστί leg. τοῦτ' ἔστι.
— 526 v. 26 not. *) αεὶ leg. ἀεὶ.
— 530 v. 17 ἀπικομένῃ leg. ἀφικομένῃ.
— 549 v. 12 nobis leg. nos.
— 596 v. 19 tenere leg. me tenere.
— 571 v. 6 a f. fit leg. effet.
— 581 v. 1 a f. habet leg. habeat.
— 549 v. 3 a f. comma poft v. τόπου delendum.

